530. εϝελιξεν. commovit, a ϝελισσω, Α. 317. Vulgò, ελελιξεν.

Αλλ᾽ ακεουσα καθιζευ, εμῳ δ᾽ επιπειθεο μυθῳ·
Μη νυ τοι ου χραισμωσιν, ὁσοι Θεοι εισ᾽ εν Ολυμπῳ,
Ασσον ιονθ᾽, ὁτε κεν τοι ααπτους χειρας εφειω.
Ὡς εφατ᾽· εδδεισεν δε βοωπις ποτνιας Ἡρη·
Και ϝρ᾽ ακεουσα καθεζετ᾽, επιγναμψασα φιλον κῆρ.
Ωχθησαν δ᾽ ανα δωμα Διος Θεοι Ουρανιωνες.
Τοισιν δ᾽ Ἡφαιστος κλυτοτεχνης ηρχ᾽ αγορευειν,
Ηρα φερων επι μητρι φιλῃ λευκωλενῳ Ἡρῃ·
Η δη λοιγια ϝεργα ταδ᾽ εσσεται, ουδ᾽ ετ᾽ ανεκτα,
Ει σφωϊ γ᾽ ἑνεκα θνητων εριδαινετον ὡδε,
Εν δε Θεοισι κολωον ελαυνετον· ουδε τι δαιτος
Εσθλης εσται ϝηδος, επει τα χερειονα νικᾳ.
Μητρι δ᾽ εγω παραφημι, και αυτῃ περ νοεουσῃ,
Ηρα φερειν επι πατρι φιλῳ Διϊν, ὀϕρα μη αυτε
Νεικειησι πατηρ, συν θ᾽ ἡμιν δαιτα ταραξῃ.
Ειπερ γαρ κ᾽ εθελησιν Ολυμπιος αστεροπητης

---

565. καθιζευ. sede, sedem cape: Juno nondum sedisse videtur. Ita, Αλλα συ μεν νυν ἱζευ ιων, Η. 115. Καθιζευ ad stantem, καθησο ad sedentem, dici monet Lucianus; Pseudolog. ad finem; sed vide Β. 191. Vulgò, καθησο legitur, sed hiatus non licet.

567. Ασσον ιονθ᾽, ὁτε κεν τοι. Propiùs accedentes, quando tibi: Ita, Αυσαι δ᾽ ουκ εδυναντο παρασταδον, Ο. 22, quod locum hunc explicat. Interpretes omnes ιοντε pro ιοντες esse intellexerunt, quod in Hymnis et Apollonio Rhodio solenne est. Clarkius tamen hoc in Iliade licere non putat, et pro ιοντα esse vult, trium locorum auctoritate adductus, ubi χραισμεῖν ολεθρον legitur; hoc tamen minimè idem est. Ασσον ιων non semper minitantis est, ut vult; vide Α. 335, Ι. 504, Σ. 443, Ψ. 8, 44, 97. Forma forsan antiqua pluralis erat, ut in αμμε, σφε, μελοντων, νεεσθων, et aliis multis. Dubitationem quidem omnem emendatione facili et tutâ tollere potes, legendo, Ασσον ιοντες, ὁκεν τοι. Α. 519.

569. καθεζετο. sedit: Vulgò, καθηστο. Vide Α. 565.

570. Ουρανιωνες. ab Urano prognati: ille enim Deorum omnium origo; vide Ε. 898.

572. Ηρα φερων επι μητρι φιλῃ. Grata ferens versus matrem caram: Ita, επ᾽ Ατρειδῃ Αγαμεμνονι ηρα φεροντες, Od. γ. 164, et vide Ξ. 132, Od. π. 375, σ. 56. Vulgò, Μητρι φιλῃ επιηρα φερων· επι tamen casui debetur, et ηρα non mihi videtur digamma adsciscere; est enim ab εραω, et in επηρατα vocalem elidit. Verba igitur transposui, ut et Α. 578.

574. Ει σφωϊ γ᾽ ἑνεκα θνητων. Si vos quidem propter mortales: Vulgò, Ει δη σφω ἑνεκα θνητων· sed νωϊ et σφωϊ neque contrahi neque elidi possunt.

576. εσται ϝηδος. erit gaudium: Vulgò, εσσεται ηδος· sed cùm ϝηδος et ϝηδυς a ϝανδανω fluant, digamma adsciscunt. Ϝηδος in quatuor locis admittit.

Εξ ἑδεων στυφελιξαι, ὁγ' αρ πολυ φερτατος εστιν.
Αλλα συ τονγε ϝεπεσσι καθαπτεσθαι μαλακοισιν·
Αυτικ' επειθ' ἱλαος κεν Ολυμπιος εσσεται ἡμιν.
Ὡς αρ εφη, και αναϊξας δεπας αμφικυπελλον
Μητρι φιλῃ εν χερσι τιθει, και μιν προσεϝειπε·
Τετλαθι, μητερ εμη, και ανασχεο, κηδομενη περ,
Μη σε, φιλην περ εουσαν, εν οφθαλμοισι ϝιδωμαι
Θεινομενην· τοτε δ' ουτι δυνησομαι, αχνυμενος περ,
Χραισμεῖν· αργαλεος γαρ Ολυμπιος αντιφερεσθαι.
Ηδη γαρ με και αλλοτ' αλεξησαι μεμαωτα
Fριψε ποδος τεταγων απο βηλου θεσπεσιοιο·
Παν δ' ημαρ φερομην, ἁμα δ' Ηελιῳ καταδυντι
Καππεσον εν Λημνῳ, ολιγος δ' ετι θυμος ενηεν·
Ενθα με Σιντιες ανδρες αφαρ κομισαντο πεσοντα.
Ὡς φατο· ϝμειδησεν δε Θεα λευκωλενος Ἡρη·
Fμειδησασα δε παιδος εδεξατο χειρι κυπελλον.

---

578. Ηρα φερειν επι πατρι φιλῳ Διϊν. Grata ferre versus patrem carum Jovem: Vulgò, Πατρι φιλῳ επιηρα φερειν Διϊ, ut Α. 572. Dativus in ι nusquam eliditur, Δ. 259, et vocalis sequitur in quatuor et viginti Iliadis locis, quorum duo in cæsurâ; Β. 781, Ω. 285. Forma antiqua dativi Διοθι, et Διοθιν ante vocalem erat, unde Διϊ, et Διϊν, vel Διθιν· vide Α. 208.

580. Ειπερ γαρ κε. Si tamen enim tum: Forsan, Ειπερ κε ϝρα, Si tamen tum sanè.

581. ὁγ' αρ πολυ φερτατος εστιν. ille sanè longè potentissimus est: Ita sententia perfecta redditur; vulgò, post στυφελιξαι colo distinguitur, et ὁ γαρ legitur. Vide Α. 123.

582. τονγε ϝεπεσσι καθαπτεσθαι. hunc quidem verbis demulceto: infinitivus pro imperativo. Vulgò, τονγ' επεεσσι.

583. Αυτικ' επειθ' ἱλαος κεν Ολυμπιος. Statim postea propitius tum Jupiter erit nobis: sic, επειτα δε κεν, Ξ. 79. Vulgò, ἱλαος Ολυμπιος, contra metrum; ἱλαος enim primam aut brevem aut ancipitem habet, et secundam nullâ ratione producere potest; Ι. 635, Τ. 178. Editio princeps Ουλυμπιος habet, quod digamma indicaret, sed hæc forma nusquam alibi occurrit; tutius igitur duxi particulam, quæ desideratur, inferre. Potuit etiam scripsisse, Αυτικ' επειτα κεν αμμιν Ολυμπιος ἱλαος εσται.

590. μεμαωτα. cupientem: antepenultimam semper corripit; alia forma μεμαοτα producit; μεμαως penultimam ancipitem habet.

591. Fριψε. Jecit: Fριπτω digamma postulat, cùm augmentum producat, et præpositiones in compositis.

591. τεταγων. suspendens: aoristus secundus Ionicus irregularis a τεινω.

595. ϝμειδησεν. subrisit: Digamma præfixi, cùm sæpe in φιλοϝμειδης postuletur; Γ. 424.

Αυταρ ὁ τοις αλλοισι Θεοις ενδεξια πασι
Ϝοινοχοει, γλυκυ νεκταρ απο κρητηρος αφυσσων.
Ασβεστος δ' αρ ενωρτο γελος μακαρεσσι Θεοισιν,
Ὡς ϝιδον Ἡφαιστον δια δωματα ποιπνυοντα.
Ὡς τοτε μεν προπαν ημαρ ες Ηελιον καταδυντα
Δαινυντ', ουδε τι θυμος εδευετο δαιτος εϊσης,
Ουδε τε φορμιγγος περικαλλεος, ἡν εχ' Απολλων,
Μουσαων θ', αἱ αειδον αμειβομεναι ϝοπι καλῃ.
Αυταρ επει κατεδυ λαμπρον φαος Ηελιοιο,
Οἱ μεν κακκειοντες εβαν ϝοικονδε ϝεκαστος,
Ἡχι ϝεκαστῳ δωμα περικλυτος αμφιγυηεις
Ἡφαιστος ποιησε ϝιδυιῃσι πραπιδεσσι.
Ζευς δ' ες ϝον λεχος ηϊ' Ολυμπιος αστεροπητης,
Ενθα παρος κοιμᾶθ', ὁτε μιν γλυκυς ὑπνος ἱκανοι·
Ενθα καθευδ' αναβας, παρα δε χρυσοθρονος Ἡρη.

---

599. γελος. risus: Ita rectè Bentleius; sic γελῳ εκθανον, Od. σ. 100, et ερος, Α. 469. Vulgò, γελως.

600. ποιπνυοντα. ministrantem: Ποιπνυω iterum penultimam producit, Ω. 475; corripit contrà, Σ. 421. Vide Α. 13.

603. Ουδε τε. Neque et: τε eidem voci in versa sequenti respondet. Vulgò, Ου μεν, quod male sententiam nectit. MS. unus Ουδε γε habet. Cantum et saltationem δαιτος αναθηματα vocat; Od. α. 152. Knightius quidem duos versus damnat.

604. ϝοπι. voce: Ϝοψ in locis duodecim digamma admittit, in duobus rejicit, Λ. 137, Φ. 98. Cùm tamen ϝοσσομαι, εϝειπον, et ϝεπος postulent, præfigendum judicavi. Hinc, vox, in linguâ Latinâ.

607. Ἡχι. Ubi: εν ᾗ χωρῃ, vel εν ᾗθι χωρηθι, in quo loco. Vide Β. 418.

608. ϝιδυιῃσι πραπιδεσσι. solertibus præcordiis: ιδυιῃσι Hesychius, qui semper optimas lectiones præbet, et ita in multis locis MSS. Alii ειδυιῃσι· sed hæc forma nullibi postulatur, nisi Ρ. 5. Ita ϝεϝοικως, τεθηλως, et μεμηκως, ϝεϝικυια, τεθαλυια, et μεμακυια fiunt.

609. Ζευς δ' ες ϝον λεχος ηϊ'. Jupiter verò ad suum cubile ivit: Vulgò, προς ὁν, quod per digamma non licet. Forsan vera lectio est προ ϝον· προ enim sæpe cum dativo invenitur, ut ουρανοθι προ, Γ. 3, Θ. 557, Λ. 50; non video igitur, quare non et accusativum regat; vide Λ. 403, Α. 3. Potes etiam ϝον omittere.

611. Ενθα. Knightius versum damnat, quia Jupiter non obdormierit.

ὉΜΗΡΟΥ FΙΛΙΑΣ.

Β.

ARGUMENTA.

Ονειρος· Αγορη· Νηων Αριθμος.
Βητα δ', ὑφ' ἡγεμονων Δαναοι και Τρωες αγερθεν.

1. Jupiter, Somnio misso, Agamemnonem ad prælium incitat.—47. Agamemnon Jovis mandata concilio Seniorum narrat.—87. Græci in concionem adunantur.—110. Agamemnon oratione militum animos tentat.—142. Græci fugere parant.—155. Ulysses, Junonis et Minervæ jussu, fugientes sistit.—212. Thersites convitia in Agamemnonem ingerit. —244. Ulysses eum castigat.—273. Ulysses militum animos dictis mulcet.—336. Nestor auctoritate corrigit.—369. Agamemnon milites pransum dimittit.—400. Jovi aliisque Diis sacra fiunt.—442. Exercitus iterum adunatur.—484. Poeta Musas invocat.—494. Bæotis Peneleus, Leitus, Arcesilaus, Prothoenor et Clonius imperant.—511. Orchomeniis Ascalaphus et Ialmenus.—517. Phocensibus Schedius et Epistrophus.—527. Locris Ajax minor.—536. Abantibus Elephenor.—546. Atheniensibus Menestheus.—557. Salaminiis Ajax major.—559. Argivis Diomedes, Sthenelus, et Euryalus.—569. Mycenæis Agamemnon.—581. Lacedæmoniensibus Menelaus.—591. Pyliis Nestor.—603. Arcadibus Agapenor.—625. Epeis ex Elide Meges.—631. Cephallenibus Ulysses. —638. Ætolis Thoas.—645. Cretensibus Idomeneus.—653. Rhodiis Tlepolemus.—671. Symæis Nireus.—676. Insularibus Phidippus, et Antiphus.—681. Myrmidonibus Achilles.—695. Phylacesiis Podarces. —711. Pheræis Eumelus.—716. Methonensibus Medon.—734. Ormeniis Eurypylus.—738. Argissæis Polypætes.—748. Enienibus Guneus. —756. Magnetibus Prothous.—761. Achille remoto, Eumeli equi optimi, virorum optimus Ajax.—786. Jupiter, Iride missâ, Trojanos ordinari jubet.—816. Hector Trojanis imperat.—819. Æneas, Archelochus, et Acamas Dardaniis.—824. Pandarus Trojanis ex Zeleâ.—828. Adrastus et Amphius Adrastinis.—835. Asius Percosiis.—840. Hippothous et Pylæus Larissæis.—844. Acamas et Pirous Thracibus.—846. Euphemus Ciconibus.—848. Pyræchmus Pæonibus.—851. Pylæmenes Paphlagonibus.—856. Odius et Epistophus Halizonibus.—858. Chromius et Ennomus Mysis.—862. Phorcys, et Ascanius Phrygibus.—864. Mesthles et Antiphus Mæonibus.—867. Nastes, et Amphimachus Caribus.—876. Sarpedon et Glaucus Lyciis.

ʻΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Β.

ΑΛΛΟΙ μεν ϝρα Θεοι τε και ανερες ἱπποκορυσται
Εὕδον παννυχιοι· Δια δ' ουκ εχε ϝηδυμος ὑπνος.
Αλλ' ὁγε μερμηριζε κατα φρενας, ὡς Αχιληα
Τιμησῃ, ολεσῃ δε πολεας επι νηυσιν Αχαιων.
Ἡδε δε ϝοι κατα θυμον αριστη φαινετο βουλη,
Πεμψαι επ' Ατρεΐδην Αγαμεμνονα ϝουλον Ονειρον·
Και μιν φωνησας, ϝεπεα πτεροεντα προσηυδα·
Βασκ' ιθι θασσον, Ονειρε, θοας επι νηας Αχαιων,
Ελθων ες κλισιην Αγαμεμνονος Ατρεΐδαο,

---

1. ἱπποκορυσται. ex equis armati pugnantes: Porphyr. Quæst. Homer. § 15. Ita, ανδρα κορυστην, Δ. 457, χαλκοκορυστης, Ε. 699, et, πολεμον τε κορυσσων, Β. 273. Eustathius in hoc loco vocem ϝρα digamma adsciscere monet, et a ϝραδιον, id est, ϝρηΐδιον, deducit.

2. Δια δ' ουκ εχε ϝηδυμος ὑπνος. Jovem verò non tenuit dulcis animo somnus: id est, non per totam noctem, ου παννυχιον· Schol. Ϝηδυμος vox concisa est pro ϝηδυθυμος, ut προμος pro προμαχος, et μαννυξ pro μονονυξ. Non nisi ut Somni epitheton occurrit; in nullo loco digamma postulat, in octo admittit. Ita Somnus ϝηδυς vocatur, Δ. 131, γλυκυς, Β. 71, μελιφρων, Β. 34, λυων μελεδηματα θυμου, Ψ. 62, et, γλυκυθυμος ανηρ, occurrit, Ψ. 487. Eustathius, et Hesychius, εχεν ἡδυμος, exhibent; alii, εχε νηδυμος.

3. κατα φρενας. in mente: Ita Α. 103, 107, 362. Vulgò, κατα φρενα, contra metrum.

5. Ἡδε δε ϝοι. Hæc alternanti potior sententia visa est. Æn. iv. 287.

6. ϝουλον Ονειρον. turbidum Somnium: Hesychius ουλος inter alia ταραχωδης, μεμιγμενος, συνεστραμμενος, explicat, et Eustathius a ϝειλεω deducit, et στρεβλος, σκολιος, explicat. Digamma postulare videtur, Φ. 536, rejicere, Ε. 461, 717. Huc pertinet ϝουλαμος, turba, Δ. 251. Somnium ita vocatur, quia Agamemnonis consilia turbaturum sit. Alii pro ολοον poni volunt. Vide Κ. 134, Ρ. 756. Mallem ipse θειον legere. Knightius, αγαμεμνον' ολοϝον ονειρον, edidit. Alii, Ατρεΐδῃ Αγαμεμνονι· sed vide Β. 18, Κ. 464.

8. Βασκ' ιθι θασσον, Ονειρε. Vade i citiùs, Somnium: Ita, Vade, age, nate; Æn. iv. 223. Vulgò, Βασκ' ιθι, ουλε Ονειρε· Bentleius θασσον emendavit. Minimè Jupiter nomine hoc probroso nuntium suum alloqueretur, et hiatus turpissimus in metrum peccat. Knightius, βασκ' ειθ', ολοϝ' ονειρε, edidit. Vide Β. 6.

Παντα μαλ' ατρεκεως αγορευεμεν, ὡς επιτελλω·
Θωρηξαι ϝε κελευε καρηκομοωντας Αχαιους
Πανσυδιῃ· νυν γαρ κε ϝελοι πολιν ευρυαγυιαν
Τρωων· ου γαρ ετ' αμφις Ολυμπια δωματ' εχοντες
Αθανατοι φραζονται· επεγναμψεν γαρ ἁπαντας
Ἡρη ϝλισσομενη· Τρωεσσι δε κηδε' εφηπται.
Ὡς φατο· βη δ' αρ Ονειρος, επει τον μυθον ακουσε·
Καρπαλιμως δ' ἱκανε θοας επι νηας Αχαιων·
Βη δ' αρ επ' Ατρεϊδην Αγαμεμνονα· τον δ' εκιχανεν
Εὑδοντ' εν κλισιῃ, περι δ' αμβροσιος κεχυθ' ὑπνος.
Στη δ' αρ ὑπερ κεφαλης, Νηληϊῳ υἱϊ ϝεϝοικως,
Νεστορι, τον ϝρα μαλιστα γεροντων τι' Αγαμεμνων·
Τῳ μιν ϝεισαμενος προσεφωνεε θειος Ονειρος·
Εὑδεις, Ατρεος υἱε δαϊφρονος, ἱπποδαμοιο;
Ου χρη παννυχιον εὑδειν βουληφορον ανδρα,
Ὡι λαοι τ' επιτετραφαται, και τοσσα μεμηλε.
Νυν δ' εμεφιν ξυνες ωκα· Διος δε τοι αγγελος ειμι,

---

10. Παντα μαλ' ατρεκεως αγορευεμεν. Omnia valde accuratè narrare: Infinitivus verba motûs passim sequitur.

12. Πανσυδιῃ. Properè: Alii, Πασσυδιῃ. Alii, Cum omni exercitu, vertunt.

15. Τρωεσσι δε κηδε' εφηπται. Trojanis verò curæ impendent: Alii, διδομεν δε ϝοι ευχος αρεσθαι.

20. Στη δ' αρ ὑπερ κεφαλης. Devolat, et supra caput astitit. Æn. iv. 702.

21. τι' Αγαμεμνων. honorabat Agamemnon: Τιω in duobus locis primam corripit, Δ. 257, Ι. 378; τιε in tribus, Ν. 176, Ο. 551, Ρ. 576; ita et τιει in Odysseâ. Contrà prima, ut hîc, passim producitur; Ι. 238, Π. 146. Est igitur proculdubio anceps. In futuro, et aoristo primis semper producitur. In τισις corripitur, in τετιμενος secunda producitur; ατιτος secundam corripit, Ν. 414, in MSS. producit, Ξ. 484. Knightius τιϝω edidit. Vide Α. 13.

22. Τῳ μιν ϝεισαμενος. Huic eum simile se reddens: μιν a προσεφωνεε regitur. Vulgò, εεισαμενος, augmento contra grammaticam addito ad metrum implendum. MSS. nonnulli ουλος pro θειος habent, ut Β. 6.

23. Εὑδεις, Ατρεος υἱε;
Nate Deâ, potes hoc sub casu ducere somnos? Æn. iv. 560.

23. ἱπποδαμοιο. Picus, equûm domitor. Æn. vii. 189; Lausus, equûm domitor. Æn. vii. 651; At Messapus, equûm domitor. Æn. vii. 691.

26. εμεφιν. mei: Vulgò, εμεθεν, quod ablativus est, Α. 180, 525. Sed συνιημι genitivum personæ postulat; Β. 182.

῾Ος σευ, ανευθεν εων, ϝμεγα κηδεται, ηδ᾽ ελεαιρει·
Θωρηξαι σε κελευσε καρηκομοωντας Αχαιους
Πανσυδιῃ· νυν γαρ κε ϝελοις πολιν ευρυαγυιαν
Τρωων· ου γαρ ετ᾽ αμφις Ολυμπια δωματ᾽ εχοντες
Αθανατοι φραζονται· επεγναμψεν γαρ ἁπαντας
῞Ηρη ϝλισσομενη· Τρωεσσι δε κηδε᾽ εφηπται
Εκ Διος· αλλα συ σῃσιν εχε φρεσι, μηδε σε ληθη
Αἱρειτω, ὁτε κεν σε μελιφρων ὑπνος ανειῃ.
῾Ως αρα φωνησας απεβησατο· τον δ᾽ ελιπ᾽ αυτου
Τα φρονεοντ᾽ ανα θυμον, ἁ ϝρ᾽ ου τελεεσθαι εμελλε.
Φη γαρ ὁγ᾽ αἱρησειν Πριαμου πολιν ηματι κεινῳ,
Νηπιος· ουδε τα ϝοιδε᾽, ἁ ϝρα Ζευς μηδετο ϝεργα.
Θησειν γεϝρ᾽ ετ᾽ εμελλεν επ᾽ αλγεα τε στοναχας τε
Τρωσι τε και Δαναοισι δια κρατερας ὑσμινας.
Εγρετο δ᾽ εξ ὑπνου· θειη δε μιν αμφεχυτ᾽ ομφη·
῾Εζετο δ᾽ ορθωθεις· μαλακον δ᾽ ενδυνε χιτωνα,
Καλον, νηγατεον· περι δε ϝμεγα βαλλετο φαρος·

---

26. Διος δε τοι αγγελος ειμι.

Imperio Jovis huc venio, qui classibus ignem
Depulit, et cœlo tandem miseratus ab alto est. Æn. v. 726.

27. 64. ῾Ος σευ. Nonnulli versum damnant, ut ab Ω. 174 male illatum.

34. ὁτε κεν σε μελιφρων ὑπνος ανειῃ. quando te mellitus somnus remittat: Vulgò, ευτ᾽ αν· vide Α. 242. μελιφρων, menti, ut mel, dulcis; Β. 2. Ανειω subjunctivus priscus aoristi est ab ανιημι· Α. 26. Hesychius, Ανειη, αφῇ, ανῇ, habet. Alii ανῃη, et ανῃῃ, scribunt.

35. ῾Ως αρα φωνησας. Sic fatus, nocti se immiscuit atræ. Æn. iv. 570. απεβησατο, abiit: Ita Ed. Pr. et Clarkius; Barnesius et Heynius, απεβησετο. MSS. in hoc variant.

37. Φη γαρ ὁγ᾽ αἱρησειν. Dixit enim ille capturum: "Tota hæc Poetica machinatio id unum narrat, Agamemnonem, postquam decessisset Achilles, sibi tamen assentatum, sibi somniâsse, sibi temerè finxisse, urbem se Trojam, illo absente, posse nihilominus expugnare." Clark.

38. Νηπιος· ουδε τα ϝοιδε᾽. Insulsus; neque hæc noverat: Vulgò, τα ηδη. vide Α. 70.

41. Εγρετο δ᾽ εξ ὑπνου. Corripit e somno corpus. Æn. iv. 572. Εγρετο, pro εγερετο, aoristus secundus est ab εγειρω.

42, 43. χιτωνα, φαρος. tunicam, pallium: hæc pacis indumenta erant. νηγατεον, alii noviter factam, alii bene netam explicant; thema incertum. Vulgò, περι δ᾽ αυ, legitur, particulâ αυ ob metrum post digamma omissum insertâ.

Ποσσι δ' ὑπο ϝλιπαροισιν εδησατο καλα πεδιλα·
Αμφι δ' αρ ωμοισιν βαλετο ξιφος αργυροηλον·
Εϝλετο δε σκηπτρον πατρωϊον αφθιτον αιει,
Συν τῳ εβη κατα νηας Αχαιων χαλκοχιτωνων.
  Ηως μεν ϝρα Θεα προσεβησατο μακρον Ολυμπον,
Ζηνι φαος ϝερεουσα και αλλοις αθανατοισιν·
Αυταρ ὁ κηρυκεσσι ϝλιγυφθογγοισι κελευε,
Κηρυσσειν αγορηνδε καρηκομοωντας Αχαιους·
Οἱ μεν εκηρυσσον, τοι δ' ηγειροντο μαλ' ωκα.
Βουλην δε πρωτον ϝμεγαθυμων ἱζε γεροντων,
Νεστορεῃ παρα νηϊ Πυλοιγενεος βασιληος·
Τους ὁγε συγκαλεσας, πυκινην ηρτυνετο βουλην·
  Κλυτε, φιλοι, θειος μοι ενυπνιον ηλθεν Ονειρος,
Αμβροσιην δια νυκτα· μαλιστα δε Νεστορι διῳ,
Ϝειδος τε, ϝμεγεθος τε, φυην τ', αγχιστα ϝεϝοικει.
Στη δ' αρ ὑπερ κεφαλης, και με προς μυθον εϝειπεν·
Εὑδεις, Ατρεος υἱε δαϊφρονος, ἱπποδαμοιο;
Ου χρη παννυχιον εὑδειν βουληφορον ανδρα,
Ὡι λαοι τ' επιτετραφαται, και τοσσα μεμηλε.
Νυν δ' εμεφιν ξυνες ωκα· Διος δε σοι αγγελος ειμι,
Ὁς σευ, ανευθεν εων, ϝμεγα κηδεται, ηδ' ελεαιρει.
Θωρηξαι σε κελευσε καρηκομοωντας Αχαιους

---

44. Ποσσι δ' ὑπο ϝλιπαροισι. Pedibus verò sub nitidis: Ϝλιπαρος passim vocales breves ante se producit, et digamma postulat, x. 406.

Et Tyrrhena pedum circundat vincula plantis;
Tum lateri atque humeris Tegeæum subligat ensem. Æn. viii. 458.

49. φαος. lucem: Vulgò, φοως· sed hæc forma nusquam postulatur contrà φαος passim postulatur.

53. Βουλην ἱζε. Consilium sedere fecit: Ita MSS. et Edd. et ita Zenodotus, et Hesychius; Aristophanes verò, Aristarchus, et Heynius, Βουλ… legere volunt, cùm ἱζε non alibi, præter Ω. 553, sensum activum habeat καθιζω tamen passim. Seniores erant Nestor, Idomeneus, duo Ajaces Diomedes, Ulysses, et Menelaus; B. 405.

54. Πυλοιγενεος. Pylo geniti: Πυλοθι γεινομενου. Alii, Πυληγενεος.

57. μαλιστα δε Νεστορι διῳ.

Omnia Mercurio similis, vocemque coloremque,
Et crines flavos, et membra decora juventâ. Æn. iv. 558.
Omnia longævo similis, vocemque, coloremque,
Et crines albos, et sæva sonoribus arma. Æn. ix. 650.

Πανσυδιῃ· νυν γαρ κε ϝελοις πολιν ευρυαγυιαν
Τρωων· ου γαρ ετ᾽ αμφις Ολυμπια δωματ᾽ εχοντες
Αθανατοι φραζονται· επεγναμψεν γαρ ἁπαντας
Ἡρη ϝλισσομενη· Τρωεσσι δε κηδε᾽ εφηπται
Εκ Διος· αλλα συ σῃσιν εχε φρεσιν. Ὡς ὁγε ϝειπων
Ωιχετ᾽ αποπταμενος· εμε δε γλυκυς ὑπνος ανηκεν.
Αλλ᾽ αγετ᾽, αι κεν πως θωρηξομεν υἱας Αχαιων·
Πρωτα δ᾽ εγω ϝεπεσιν πειρησομαι, ἡ θεμις εστι,
Και φευγειν συν νηυσι πολυκληϊσι κελευσω·
Ὑμεις δ᾽ αλλοθεν αλλος εϝρητυειν ϝεπεεσσιν.
Ητοι ὁγ᾽ ὡς ϝειπων, κατ᾽ αρ ἑζετο· τοισι δ᾽ ανεστη
Νεστωρ, ὁς ϝρα Πυλοιο ϝαναξ ην ημαθοεντος·
Ὁ σφιν εϋφρονεων αγορησατο και μετεϝειπεν·
Ω φιλοι, Αργειων ἡγητορες ηδε μεδοντες,
Ει μεν τις τον ονειρον Αχαιων αλλος ενισπε,
Ψευδος κεν φαιμεν, και νοσφιζοιμεθα μαλλον·
Νυν δε ϝιδ᾽, ὁς ϝμεγ᾽ αριστος ενι στρατῳ ευχεται ειναι.
Αλλ᾽ αγετ᾽, αι κεν πως θωρηξομεν υἱας Αχαιων.
Ὡς αρα φωνησας, βουλης εξ ηρχε νεεσθαι.
Οἱ δ᾽ επανεστησαν, πειθοντο τε ποιμενι λαων,
Σκηπτουχοι βασιληες· επεϝσευοντο δε λαοι.
Ηΰτε ϝεθνε᾽ ιασι μελισσαων αδιναων,

---

70. Ὡς ὁγε ϝειπων. Ita ille dicens: Ita Bentleius, et sic, Η τοι ὁγ᾽ ὡς ϝειπων. Vulgò, Ὡς ὁ μεν ειπων.

74. πολυκληϊσι. multa transtra habentibus: κληϊς, remigum sedes.

75. εϝρητυειν. retinere: Infinitivus pro imperativo; vide Α. 277, 582.

76. Η τοι ὁγ᾽ ὡς ϝειπων. Knightius cum veteribus nonnullis versus octo damnat.

77. ημαθοεντος. arenosi: ab αμαθος, arena.

82. Νυν δε ϝιδ᾽. Nunc verò vidit: Vulgò, Νυν δ᾽ ιδεν.

87. Ηΰτε ϝεθνε᾽ ιασι. Veluti gentes eunt: Ita Bentleius, et sic, αγεληδον ιασι, Π. 160; vulgò, Ηΰτε εθνεα εισι. Ϝεθνος in locis octo digamma postulat, in quindecim admittit.

Qualis apes æstate novâ per florea rura
Exercet sub sole labor. Æn. i. 433.

Ac veluti in pratis ubi apes æstate serenâ
Floribus insidunt variis, et candida circum
Lilia funduntur; strepit omnis murmure campus. Æn. vi. 707.

Πετρης εκ γλαφυρης αιει νεον ερχομεναων,
Βοτρυδον δε πετονται επ᾽ ανθεσι ϝειαρινοισιν,
Αἱ μεν τ᾽ ενθα ϝαλις πεποτηαται, αἱ δε και ενθα·
Ὡς των ϝεθνεα πολλα νεων απο και κλισιαων
Ηϊονος προπαροιθε βαθειης εστιχοωντο
Ιλαδον εις αγορην· μετα δε σφισι Ϝοσσα δεδηει,
Οτρυνουσ᾽ ιεναι, Διος αγγελος· οἱ δ᾽ αγεροντο·
Τετρηχει δ᾽ αγορη, ὑπο δ᾽ εστοναχιζετο γαια,
Λαων ἱζοντων, ὁμαδος δ᾽ ην· εννεα δε σφεας
Κηρυκες βοοωντες εϝρητυον, ει ποτ᾽ αϋτης
Σχοιατ᾽, ακουσειαν δε Διοτρεφεων βασιληων.
Σπουδῃ δ᾽ ἑζετο λαος, εϝρητυθεν δε καθ᾽ ἑδρας,
Παυσαμενοι κλαγγης· ανα δε κρειων Αγαμεμνων

---

89. Βοτρυδον δε πετονται. Jamque arbore summâ
Confluere, et lentis *uvam* demittere ramis. Georgic. iv. 557.

89. επ᾽ ανθεσι ϝειαρινοισι. super flores vernos: Ϝειαρινος in duobus quide locis digamma rejicit, et in nullo postulat; emendatio tamen facillima e et Hesychius præfigendum indicat; hinc quoque Latinè, vernus; duobus locis admittit. Ϝεαρ in uno loco admittit, et Hesychius, Γεαρ, habet. Rectè igitur præfixit Bentleius.

90. αἱ δε και ενθα. hæ verò et hâc: Vulgò, αἱ δε τε ενθα, contra metru Homerus forsitan, Αἱ ϝρα τε τηθι ϝαλις πεποτηαται, αἱ δε τε τηθι, scripsit; και ενθα tamen passim legitur, ut Β. 462. Knightius versum damnat.

93. Ιλαδον. Catervatim: Alii, Ειλαδον. Vox non iterum occurrit. Knigh-tius ϝιλϝαδον edidit. Confer ειλιπους, Ζ. 424.

93. Ϝοσσα δεδηει. Fama accensa erat: ut flamma, spargebatur. Ϝοσ non iterum in Iliade occurrit; in Odysseâ bis digamma admittit. An logia tamen verbi ϝοσσομαι præfigere indicat.

95. Τετρηχει δ᾽ αγορη. Trepidavit verò concio: id est, commota est; τρεω. Eustathius pro τεταραχει poni censet; Heynius verbum τρη fingit.

95. ὑπο δ᾽ εστοναχιζετο γαια. pulsuque pedum tremit excita tellus. Æ vii. 722.

96. σφεας. eos: Vocalis ε apud Homerum cum quâvis aliâ diphtho-gum efficit. Nostris auribus gratius esset σφας scribere; σφεας du syllabas habet, Μ. 43, 86, et σφε legitur, Λ. 111. Vocalis tamen ε in mult vocibus cum vocali sequente conjungi nequit, ut in Θεος, κλεος, ϝρεω, χε.

97. βοοωντες. clamantes: Verbum optimè sonum imitatur. Knightiu βοαοντες.

99. εϝρητυθεν τε καθ᾽ ἑδρας. manseruntque in sedibus: pro ηϝρητυθησα vide Α. 192, Β. 211. Vulgò, καθεδρας, unâ voce legebatur, sed rec Wolfius divisit, cùm neque Homerus, nec Lexica antiqua, vocem agno cant, et MS. Venetus divisim exhibeat.

Εστη, σκηπτρον εχων, το μεν Ἡφαιστος καμε τευχων·
Ἡφαιστος δε ϝ' εδωκε Διϊ Κρονιωνι ϝανακτι·
Αυτε ϝ' αρα Ζευς δωκε διακτορῳ Αργειφοντῃ·
Ἑρμειας δε ϝ' εδωκε ϝαναξ Πελοπι πληξιππῳ·
Αυταρ ὁ ϝ' αυτε Πελοψ δωκ' Ατρεϊ, ποιμενι λαων·
Ατρευς δε θνησκων ϝ' ελιπε πολυϝαρνι Θυεστῃ·
Αυταρ ὁ ϝ' αυτε Θυεστ' Αγαμεμνονι λειπε φορηναι,
Πολλῃσιν νησοισι και Αργεϊ παντι ϝανασσειν·
Τῳ ὁγ' ερεισαμενος, ϝεπεα πτεροεντα προσηυδα·
Ω φιλοι, ἡρωες Δαναοι, θεραποντες Αϝρηος,
Ζευς με ϝμεγα Κρονιδης αϝατῃ ενεδησε βαρειῃ·
Σχετλιος, ὁς πριν μεν μοι ὑπεσχετο και κατενευσεν,
Ϝιλιον εκπερσαντ' ευτειχεον απονεεσθαι·

---

101. Εστη σκηπτρον εχων. Agamemnonis familiæ recensendæ occasionem capit. Tantalus, cujus pœna memoratur, Od. λ. 582, Pelopis pater fuisse dicitur. Thyestes Atrei frater erat; ab ejus filio Ægistho Agamemnon interfectus est, Od. δ. 517. Recentiorum historias, nisi quatenus fundamentum quoddam in Homero habeant, narrare nolo.

102. Ἡφαιστος δε ϝ' εδωκε. Vulcanus verò id dedit: Vulgò, Ἡφαιστος μεν δωκε· pronomen tamen, quod desideratur, in hoc versu, et quinque sequentibus, restitui.

103. Αυτε ϝ' αρα Ζευς δωκε διακτορῳ Αργειφοντῃ. Rursus id sanè Jupiter dedit portitori Argi interfectori: Vulgò, Αυταρ αρα, quod dici nequit, cùm αυταρ pro αυτε αρα ponatur. Mercurius portitor vocatur, quòd animas ad inferos ducere crederetur; a διαγω· ut, Πορθμηες δ' αρα τουσδε διηγαγον, Od. υ. 187. Forsitan, Αργοφιφοντῃ· nomen enim Αργος erat. De hâc fabulâ nihil ex Homero constat.

104. Ἑρμειας δε ϝ' εδωκε ϝαναξ. Mercurius verò id dedit rex: Vulgò, Ἑρμειας δε αναξ δωκεν.

105, 107. Αυταρ ὁ ϝ' αυτε. Verùm ille id rursus: Vulgò, Αυταρ ὁ αυτε.

106. ϝ' ελιπε. id reliquit: Vulgò, pronomen omittitur.

107. φορηναι. ferre: a φορημι. Ita γοημεναι, Ξ. 502, τιθημεναι, Ψ. 83, et διδουναι, Ω. 425.

108. Πολλῃσιν νησοισι, και Αργεϊ παντι ϝανασσειν. Multis insulis, et Græciæ toti imperare: Hinc constat Agamemnonem ditionem quandam superiorem, etiam ante bellum Trojanum, per totam Græciam exercuisse.

110. Ω φιλοι. In hâc oratione Agamemnon militum animos tentat. Dionysius Halicarnassensis eum omnia, quare ne fugerent, suggerere censet, ita ut locum Ulyssi et Nestori ad eos retinendos præberet.

110. Αϝρηος. Martis: Αϝρης, cùm primam ancipitem habeat, ut, Αϝρες, Αϝρες, βροτολοιγε, Ε. 31, digamma postulat; Eustathius a ϝερεω deduci indicat, ut sit, infandus, vel, non alloquendus. Ita αϝρητος, Ρ. 37. Penultimam in obliquis non corripere opinor; Β. 479.

Νυν δε κακην απατην βουλευσατο, και με κελευει
Δυσκλεε' Αργος ἱκεσθαι, επει πολυν ωλεσα λαον.
Οὑτω που Διϊ μελλει ὑπερμενεϊ φιλον ειναι,
Ὁς δη πολλαων πολιων κατελυσε καρηνα,
Ηδ' ετι και λυσει· του γαρ κρατος εστι ϝμεγιστον·
Αισχρον γαρ τοδε γ' εστι και εσσομενοισι πυθεσθαι,
Μαψ οὑτω τοιονδε τοσονδε τε λαον Αχαιων
Απρηκτον πολεμον πολεμιζειν ηδε μαχεσθαι
Ανδρασι παυροτεροισι· τελος δ' ουπω τι πεφανται.
Ει περ γαρ κ' εθελοιμεν Αχαιοι τε Τρωες τε,
Ὁρκια πιστα ταμοντες, αριθμηθημεναι αμφω·
Τρωες μεν λεξασθ', επιϝιστιοι ὁσσοι εασιν·
Ἡμεις δ' ες δεκαδας διακοσμηθειμεν Αχαιοι,
Τρωων δ' ανδρα ϝεκαστον εϝλοιμεθα ϝοινοχοευειν,
Πολλαι κεν δεκαδες δευοιατο ϝοινοχοοιο.
Τοσσον εγω φημι πλεας εμμεναι υἱας Αχαιων
Τρωων, οἱ ναιουσι κατα πτολιν· αλλ' επικουροι

---

115. Δυσκλεε' Αργος ἱκεσθαι. patriam remeabo inglorius urbem. Æn. xi. 793. Ita Knightius; vulgò, Δυσκλεα· potuit quoque, Δυσκλεες, scripsisse.

118. του γαρ κρατος εστι ϝμεγιστον. cui rerum summa potestas. Æn. i. 100.

122. παυροτεροισι. Vix hostem, alterni si congrediamur, habemus. Æn. xii. 233.

124. Ὁρκια. Knightius hunc versum, et quatuor a versu 130 damnat, causis, ut mihi videtur, parum idoneis.

125. Τρωες μεν λεξασθ', επιϝιστιοι ὁσσοι εασιν. Trojani quidem seligere, incolæ quot sint: id est, εθελοιεν, vellent. Alii, Τρωας· potuit etiam λεξαι, vel λεξαιντο, scripsisse. Vulgò, etiam εφεστιοι legitur, sed Hesychius, Γιστια, εσχαρα, habet, et hinc vox Latina, Vesta. Pro Vesta usurpatur, Ϝιστιη, ἡν πρωτην τεκετο Κρονος, Hymn. ad Vener. 22.

126. διακοσμηθειμεν. ordinaremur: Optativi forma Homerica. Alii, διακοσμηθημεν.

127. ανδρα ϝεκαστον. hominem unumquemque: Alii, ϝεκαστοι. Ϝεκαστ in locis quinque et sexaginta digamma postulat, et in quinque et viginti admittit; proculdubio igitur adsciscit. In septem verò et viginti rejicit; hoc evenit, quia criticus quidam pro synonymo ἁπαντες substituit. Ε. 470.

129. πλεας. plures: Vox concisa est pro πλεονας, ut προμος pro προμαχος. Aliæ formæ sunt, πλειονας et πλειους. Knightius quatuor versus post hunc damnat.

132. και ουκ ϝεωσ' εθελοντα. et non permittunt volentem: Vulgò, ειωσι' vide Α. 276, Β. 165.

135. Και δη δουρα. Et revera trabes putrent navium, et funes solvuntur: ii nempe, quibus trabes consuebantur. "Liburni plerasque naves loris

Πολλεων εκ πολιων εγχεσπαλοι ανδρες εασιν,
Οἵ με ϝμεγα πλαζουσι, και ουκ εϝωσσ' εθελοντα
Ϝιλιου εκπερσαι ευναιομενον πτολιεθρον.
Εννεα δη βεβαασι Διος ϝμεγαλου ενιαυτοι,
Και δη δουρα σεσηπε νεων, και σπαρτα λελυνται·
Αἵ δε που ἡμετεραι τ' αλοχοι, και νηπια τεκνα,
Εἵατ' ενι ϝμεγαροις ποτιδεγμεναι· αμμι δε ϝεργον
Αυτως ακρααντον, οὗ εἵνεκα δευρ' ἱκομεσθα.
Αλλ' αγεθ', ὡς αρ εγω ϝειπω, πειθωμεθα παντες·
Φευγωμεν συν νηυσι φιλην ες πατριδα γαιαν.
Ου γαρ ετι Τροΐην αἱρησομεν ευρυαγυιαν.
Ὡς φατο· τοισι δε θυμον ενι στηθεσσιν ορινε,
Πασι μετα πληθυν, ὅσοι ου βουλης επακουσαν.
Κινηθη δ' αγορη, ὡς κυματα μακρα θαλασσης
Ποντοφιν Ικαριοιο, τα μεν τ' Ευρος τε Ϝνοτος τε
Ωρορ' επαΐξας πατρος Διος εκ ϝνεφελαων.
Ὡς δ' ὅτε κινησει Ζεφυρος βαθυ ληΐον ελθων,

---

suebant; Græci magis cannabo, et stupâ, cæterisque sativis rebus, a quibus σπαρτα appellabant." Varro apud Gellium. lib. 17. c. 3. Verba singulare et plurale cum neutris pluralibus in eâdem sententiâ junguntur.

137. Εἵατ' ενι ϝμεγαροις. Sedent in domibus: pro ἡνται. Alii, Εἵαται εν μεγαροις.

139. ὡς αρ εγω ϝειπω. ut sanè ego dicam: Sic, Ὡς αρ εφη, et, Ὡς αρα φωνησας, passim. Vulgò, ὡς αν εγων ειπω· in promptu est κεν substituere, sed αρα loco meliùs convenit. Ita Ι. 26, Μ. 75, Ξ. 74, 370, Ο. 294, Σ. 297. Nequa meis dictis esto mora. Æn. xii. 565.

141. Τροΐην. Trojam: Hæc vox nusquam in initio pedis occurrit, nisi Ω. 256, unde solutè scripsi; similiter, adjectivus. Vide Γ. 384.

143. Πασι. Knightius versum damnat.

144. Κινηθη δ' αγορη. variusque per ora cucurrit
Ausonidum turbata fremor; ceu saxa morantur
Cùm rapidos amnes; clauso fit gurgite murmur,
Vicinæque fremunt ripæ crepitantibus undis. Æn. xi. 296.

145. Ποντοφιν Ικαριοιο. Ponti Icarii: Vulgò, Ποντου, quod Dunbarus non licere censet, et, Ποντου τε, emendat. Formam igitur Æolicam, quæ passim occurrit, ut numerosiorem, exhibui. Ita, εκ ποντοφιν, Od. ω. 83; απο χαλκοφι, Λ. 351; απ' αυτοφι, Λ. 44; et vide Α. 208, Β. 325, 363, 418, 461, 480, 518, 621, 625, 731.

145. Ευρος τε Ϝνοτος τε. Unà Eurusque Notusque ruunt. Æn. i. 85. Homerus non nisi quatuor ventos nominat. Ϝνοτιος bis digamma postulat, Λ. 811, Ψ. 715, et analogia vocis ϝνεφος accipere indicat.

146. Ωρορ' επαΐξας. Excitavit irruens: ab ωρορον, aoristo secundo ab ορω·

Λαβρος επαιγιζων, επι τ' ημυει ασταχυεσσιν.
Ὡς των πασ' αγορη κινηθη· τοι δ' αλαλητῳ
Νηας επεϝσευοντο· ποδων δ' ὑπενερθε κονιη
Ἱστατ' αειρομενη· τοι δ' αλληλοισι κελευον,
Ἁπτεσθαι νηων, ηδ' ἑλκεμεν εις ἁλα διαν·
Oϝρους τ' εξεκαθαιρον· αϋτη δ' ουρανον ἱκε
Fοικαδε ϝιεμενων, ὑπο δ' ᾑρεον ἑρματα νηων.
  Ενθα κεν Αργειοισιν ὑπερϝμορα νοστος ετυχθη,
Ει μη Αθηναιην Ἡρη προς μυθον εϝειπεν·
  Ω ποποι, αιγιοχοιο Διος τεκος, Ατρυτωνη,
Οὑτω δη ϝοικονδε, φιλην ες πατριδα γαιαν,
Αργειοι φευξονται επ' ευρεα νωτα θαλασσης;
Καδδε κεν ευχωλην Πριαμῳ, και Τρωσι λιποιεν
Αργειην Ἑλενην, ἡς εἱνεκα πολλοι Αχαιων
Εν Τροΐῃ απολοντο, φιλης απο πατριδος αιης;
Αλλ' ιθι νυν μετα λαον Αχαιων χαλκοχιτωνων,
Σοις δ' αγανοις ϝεπεεσσι ϝερητυε φωτα ϝεκαστον,
Μηδε ϝ' εϝα νηας ἁλαδ' ἑλκεμεν αμφιϝελισσας.
  Ὡς εφατ'· ουδ' απιθησε Θεα γλαυκωπις Αθηνη·
Βη δε κατ' Ουλυμποιο καρηνων αΐξασα·

---

idem sensum activum ter in Odysseâ obtinet; ita ηραρε, Δ, 110, Π. 21[2]. Perfectum medium, ωρορα, non nisi sensum neutralem habet. Facil[è], Ωρσαν επαΐξαντε, scripsisse potuit.

148. επι τ' ημυει ασταχυεσσιν. et inclinat in spicas: id est, segetem. Schol. επικατακλινει τους αστυχυας τοις σταχυσιν. Hesychius, Ημυει, κλιν[ει]. Confer Θ. 308, Τ. 405.

150. κονιη Ἱστατο. Jam pulvere cœlum Stare vident. Æn. xii. 407.

152. ἑλκεμεν· trahere: ab ἑλκω, cujus aliæ formæ, ἑλκεω, ἑλκυω, [et] ἑλκυσταζω.

153. Oϝρους τ' εξεκαθαιρον. Fossasque expurgabant: Vulgò, Ουρους· sed verbum oϝρυσσω, fodio, veram formam oϝρος fuisse indicat: vox non alibi [in] hoc sensu occurrit; cognatas habet βοθρος et ταφρος. Græci canalibus us[i] videntur ad naves in terram trahendas; vix aliter navem, quæ centum et viginti remiges contineret, in terram traxissent. Remos tamen transtr[is] alligabant, ita ut vis magna hominum propellere posset. Vide Apoll. Rhod. Arg. i. 363.

155. ὑπερϝμορα. contra fatum: fatale enim Trojæ excidium erat. Nec fato, meritâ nec morte peribat, Sed misera ante diem. Æn. iv. 696.

157. Ατρυτωνη. Indomita: a τρυω, tero.

158. Οὑτω δη. Sic revera: Τοις παραπληρωματικοις συνδεσμοις χρηστεον, [ουχ] ὡς προσθηκαις κεναις, ὡσπερ τινες του "Δη" χρῶνται προς ουδεν, αλλ' εαν συμβαλλ[ωσι]

Καρπαλιμως δ' ἱκανε θοας επι νηας Αχαιων·
Εὑρεν επειτ' Οδυσηα, Διϊ μητιν αταλαντον,
Ἑσταοτ'· ουδ' ὁγε νηος εϋϝσελμοιο μελαινης
Ἁπτετ', επει μιν αχος κραδιην και θυμον ἱκανεν.
Αγχοθι δ' ἱσταμενη προσεφη γλαυκωπις Αθηνη·
Διογενες Λαερτιαδη, πολυμηχαν' Οδυσσευ,
Οὑτω δη ϝοικονδε, φιλην ες πατριδα γαιαν,
Φευξεσθ', εν νηεσσι πολυκληῗσι πεσοντες;
Καδδε κεν ευχωλην Πριαμῳ και Τρωσι λιποιτε
Αργειην Ἑλενην, ἡς εἱνεκα πολλοι Αχαιων
Εν Τροιῃ απολοντο, φιλης απο πατριδος αιης;
Αλλ' ιθι νυν μετα λαον Αχαιων, μηδε ϝερωει,
Σοις δ' αγανοις ϝεπεεσσι ϝερητυε φωτα ϝεκαστον,
Μηδε ϝ' εϝα νηας ἁλαδ' ἑλκεμεν αμφιϝελισσας.
Ὡς φαθ'· ὁ δε ξυνεηκε Θεας ϝοπα φωνησασης·
Βη δε θεειν, απο δε χλαιναν βαλε· την δ' εκομισσε
Κηρυξ Ευρυβατης Ιθακησιος, ὁς ϝοι οπηδει.
Αυτος δ' Ατρεϊδεω Αγαμεμνονος αντιος ελθων,
Δεξατο ϝοι σκηπτρον πατρωϊον αφθιτον αιει·
Συν τῳ εβη κατα νηας Αχαιων χαλκοχιτωνων.

ται τι τῳ μεγεθει του λογου. Λαμβανεται δε και εν παθητικοις πολλακις ὁ συνδεσμος οὑτος, ὡσπερ, Οὑτω δη ϝοικονδε; ει γουν τον συνδεσμον εξελοις, συνεξαιρησεις και το παθος. Demetr. Phaler.

159, 160. φευξονται, καταλιποιεν. fugient, relinquerent: Fuga enim voluntaria esset; Helenæ desertio non nisi fugæ sequela. Mutatio modorum Homero non insolita est. Vide Α. 60, Β. 339, 340, Γ. 52, 253, et passim. Knightius versus 160, 161, 162, et 164, omittit.

165. Μηδε ϝ' εϝα. Neque eum sine: Vulgò, Μηδε εα· Bentleius, Μηδ' εαα· Knightius, Μηδ' εϝαε. Hiatus in quinque aliis locis antecedit; in omnibus tamen facillimum est remedium; Β. 181, Θ. 428, Ρ. 16, Χ. 339, Ψ. 73. Vide Λ. 276.

165. αμφιϝελισσας. quæ citò huc vel illuc vertuntur: a ϝελισσω.

169. Οδυσηα. Ulyssem: Poeta Ulyssem Græcorum omnium maximè dilexit; prudentiâ omnes præter Nestorem antecellit. Hunc igitur Dea, non Diomedem aut Ajacem, alloquitur.

170. εϋϝσελμοιο. bene transtris aptatæ: Vulgò, εϋσσελμοιο· secundam ubique producit. Thema non occurrit.

172. Αγχοθι. Prope: Vulgò, Αγχου· sed nusquam ita locatur, ut non dactylum efficiat.

179. μηδε ϝερωει. neque retrocede: Vulgò, μηδε τ' ερωει. vide Α. 303.

181. Μηδε ϝ' εϝα. Neque eum sine: Vulgò, Μηδε εα· Β. 165.

῾Οντινα μεν βασιληα και εξοχον ανδρα κιχειη,
Τον δ' αγανοις ϝεπεεσσι ϝερητυσασκε παραστας.
Δαιμονι', ου σε ϝεϝοικε, κακον ὡς, δειδισσεσθαι·
Αλλ' αυτος τε καθησο και αλλους ἱδρυε λαους.
Ου γαρ πω σαφα ϝοισθ', οἱος νοος Ατρεϊδαο·
Νυν μεν πειρᾶται, ταχα δ' ιψεται υἱας Αχαιων.
Εν βουλῃ δ' ου παντες ακουσαμεν, οἱον εϝειπε·
Μη τι χολωσαμενος ϝρεξῃ κακον υἱας Αχαιων.
Θυμος δε ϝμεγας εστι Διοτρεφεος βασιληος·
Τιμη δ' εκ Διος εστι, φιλεῖ δε ϝε μητιετα Ζευς.
῾Ον δ' αυ δημοφιν ανδρα ϝιδοι, βοοωντα τ' εφευροι,
Τον σκηπτρῳ ελασασκεν, ὁμοκλησασκε τε μυθῳ·
Δαιμονι', ατρεμας ἡσο, και αλλων μυθον ακουε,
Οἱ σεο φερτεροι εισι· συ δ' απτολεμος και αναλκις,
Ουτε ποτ' εν πολεμῳ εναριθμιος, ουτ' ενι βουλῃ.
Ου μεν πως παντες βασιλευσομεν ενθαδ' Αχαιοι·
Ουκ αγαθον πολυκοιρανιη· εἱς κοιρανος εστω,
Εἱς βασιλευς, ᾡ εδωκε Κρονου παις αγκυλομητεω

---

190. δειδισσεσθαι. pavitare: Forsan, δεδρισσεσθαι· A. 33.

191. καθησο. sede: ut et Δ. 412; vide A. 565.

193. Νυν μεν. Knightius cum criticis antiquis quinque versus damnat.

194. Εν βουλῃ δ' ου παντες ακουσαμεν. In concilio verò non omnes audivimus: Minimè hinc sequitur, Ulyssem concilio non interfuisse; ulteriùs enim Agamemnonis secretum consilium prodere non licuit.

196. Θυμος δε ϝμεγας εστι. Animus verò magnus est: Hinc constat ϝμεγας digamma accipere; A. 78. Τε enim nusquam, et δε non nisi in tribus locis ante simplicem consonantem producitur, et in omnibus facillima est emendatio; M. 459, O. 478, P. 17.

198. ῾Ον δ' αυ δημοφιν ανδρα ϝιδοι. Quem verò rursus populi virum videret: Vulgò, δημου τ' ανδρα· sed τε male locatur. Vide B. 145.

206. ἱνα σφισι βουλευησιν. ut iis consulat: id est, sceptro et legibus; ita ϝε ad sceptrum refertur, A. 236; et sic, ἱνα σφισι βουλευησθα, I. 99. Versus in MSS. nonnullis deest, et a quibusdam rejicitur. Laudat tamen Dio Chrysostomus, et loco convenit. MSS. quidem et Edd. βασιλευη habent, contra metrum. Barnesius εμβασιλευη emendavit, sed præpositio loco non convenit, et Ed. Ven. βουλευησι habet, et ita edidit Caselius; vide E. 572.

210. ϝμεγαλα βρεμεται. valde sonat: Ita rectè Bentleius, ut Δ. 425, Ξ. 399; vulgò, μεγαλῳ.

211. ἑζοντο, ϝερητυθεν τε. sederunt, manseruntque: Si ϝερυτυω digamma non habuisset, ἑζοντ', ηρητυθεν τε, vel ἑζοντο τ', scripsisset.

212. Θερσιτης. Poeta in Thersite eorum, quæ orator vitare debeat, utile

Σκηπτρον τ᾽ ηδε θεμιστας, ἱνα σφισι βουλευησιν.
  Ὡς ὁγε κοιρανεων διεπε στρατον· οἱ δ᾽ αγορηνδε
Αυτις επεϝσευοντο, νεων απο και κλισιαων,
Ϝηχῃ· ὡς ὁτε κυμα πολυφλοισβοιο θαλασσης
Αιγιαλῳ ϝμεγαλα βρεμεται, σμαραγεῖ δε τε ποντος.
  Αλλοι μεν ϝρ᾽ ἑζοντο, ϝερητυθεν δε καθ᾽ ἑδρας.
Θερσιτης δ᾽ ετι μουνος αμετροϝεπης εκολωα,
Ὁς ϝεπεα φρεσι ϝῃσιν ακοσμα τε πολλα τε ϝοιδει,
Μαψ, αϝαρ ου κατα κοσμον, εριζεμεναι βασιλευσιν,
Αλλ᾽, ὁτι ϝοι ϝεισαιτο γελοιΐον Αργειοισιν
Εμμεναι· αισχιστος δ᾽ ανηρ ὑπο Ϝιλιον ηλθε·
Φολκος εεν, χωλος δ᾽ ἑτερον ποδα· τω δε ϝοι ωμω
Κυρτω, επι στηθος συνοχωκοτες· αυταρ ὑπερθε
Φοξος εεν κεφαλην, ψεδνη δ᾽ επενηνοθε λαχνη.
Εχθιστος δ᾽ Αχιληϊ μαλιστ᾽ ην, ηδ᾽ Οδυσηϊ·
Τω γαρ νεικειεσκε. Τοτ᾽ αυ Αγαμεμνονι διῳ
Οξεα κεκληγως λεγ᾽ ονειδεα· τῳ δ᾽ αρ Αχαιοι
Εκπαγλως κοτεοντο, νεμεσσηθεν τ᾽ ενι θυμῳ·

---

exemplum dedit. Achillis quidem orationem imitatur, sed eadem in personâ turpi in contrarium suadent. Thersites nusquam iterum inducitur, ut neque Nireus, omnium formosissimus, sed bellicâ virtute destitutus. Β. 671.

212. αμετροϝεπης εκολωα. "Verba illius multa et ακοσμα, strepentium sine modo graculorum similia." Gell. lib. i. c. 15.

215. Αλλ᾽ ὁτι ϝοι ϝεισαιτο. Sed quodcunque ei videretur ridiculum Græcis esse: a ϝειδομαι, Α. 228; aliud verbum est ϝισαμην, ruebam, Δ. 138.

216. αισχιστος δ᾽ ανηρ. turpissimus verò homo sub Trojam venit: Ita MSS. multi; alii αισχιστος δε ανηρ: Bentleius, αισχιστος δ᾽αρ ανηρ· prima enim non alibi in thesi producitur. Forma tamen antiqua videtur, αδνηρ, fuisse, unde in genitivo, αδνερος, et ανδρος. Sic ὑδωρ, antiquitus, ὑδρας, ὑδρατος, erat, unde primam ancipitem habet. Knightius quatuor versus damnat.

217. Φολκος εεν. Strabo erat, claudusque altero pedo; humeri verò ejus Gibbi, in pectus contracti; at supernè Acutus erat capite; rara verò super crescebat lanugo: Vulgò, εην· sed εω regulariter εεν format; ita εον, Λ. 762; vulgò etiam, συνοχωκοτε· pluralis tamen passim pro duali ponitur, ut Ε. 239. επενηνοθε ab επι et ενοθω· ita ανηνοθε, Λ. 266; et ab eodem themate ανθος, et Ενοσιχθων. Forsitan επανηνοθε legendum, ut επανεστησαν. Β. 85.

220. Εχθιστος δ᾽ Αχιληϊ. semperque odiis et crimine Drances
Infestus juveni Turno. Æn. xi. 122.

222. κεκληγως. clamans: a κλαζω. In plurali κεκληγοντες format, Π. 430. λεγε, collegit: Ψ. 239. Hinc dicendi sensum obtinuit. Vide Β. 435.

223. νεμεσσηθεν τ᾽ ενι θυμῳ. indignabanturque in animo: MSS. et Edd. νεμεσσηθεντ᾽ pro νεμεσσηθεντες· Α. 567.

Αυταρ ὁ μακρα βοῶν Αγαμεμνονα νεικεε μυθῳ·
  Ατρεΐδη, τεο δ' αυτ' επιμεμφεαι, ηδε χατιζεις;
Πλειαι τοι χαλκου κλισιαι, πολλαι δε γυναικες
Εισιν ενι κλισιης εξαιρετοι, ἁς τοι Αχαιοι
Πρωτιστῳ διδομεν, ὁτε κε πτολιεθρον εϝλωμεν.
Η ετι και χρυσου επιδευεαι, ὁν κε τις οισει
Τρωων ἱπποδαμων εκ Ϝιλιου υἱος αποινα,
Ὁν κεν εγω δησας αγαγω, η αλλος Αχαιων;
Ηε γυναικα νεην, ἱνα μισγεαι εν φιλοτητι,
Ἡν τ' αυτος απο νοσφι κατισχεαι; ουδε ϝεϝοικεν,
Αρχον εοντα, κακων επιβασκεμεν υἱας Αχαιων.
Ω πεπονες, κακ' ελεγχε', Αχαιΐδες, ουκ ετ' Αχαιοι,
Ϝοικαδε περ συν νηυσι νεωμεθα· τονδε δ' εϝῶμεν
Αυτοθ' ενι Τροΐῃ γερα πεσσεμεν, ὀϝρα ϝιδηται,
Η ϝρα τι ϝοι χ' ἡμεις προσαμυνομεν, ηε και ουκι·
Ὁς και νυν Αχιληα, ϝεο ϝμεγ' αμεινονα φωτα,
Ητιμησε· ϝελων γαρ εχει γερας, αυτος αποϝρας.
Αλλα μαλ' ουκ Αχιληΐ χολος φρεσιν, αλλα μεθημων·
Η γαρ κ', Ατρεΐδη, νυν ὑστατα λωβησαιο.
  Ὡς φατο, νεικειων Αγαμεμνονα, ποιμενα λαων,
Θερσιτης· τῳ δ' ωκα παριστατο διος Οδυσσευς,

---

224. Αυταρ ὁ μακρα βοῶν. At ille longè clamans: Knightius versum damnat, ob contractionem; verba tamen in αω passim contrahuntur.

225. τεο. cujus: τινος non occurrit; formæ sunt, τις, τι, τεο, τευ, τῳ, τεῳ, τινα, τι, τινες, τεων, τινας.

228. Πρωτιστῳ διδομεν. Primo damus: "Pulcherrimè hîc personæ servit Poeta, dum virum omnium ignavissimum gloriosiùs de se induxit jactantem, quam ipsum Achillem omnium fortissimum, etiam ferocientem illum et iratum." Clark. Vulgò, ευτ' αν· vide Α. 242.

232. Ηε γυναικα νεην. Aut mulierem novam: εθελεις, aut tale quiddam, subauditur; επιδευομαι enim genitivum postulat, ut Eustathius monuit. Knightius, cùm non intellexerit, tres versus damnat.

233. ουδε ϝεϝοικεν. neque decet, Imperator qui sit, malis incessere Achivos: id est, maledictis. Vulgò, ου μεν εοικε.

235. Ω πεπονες, κακ' ελεγχε,' Αχαιΐδες, ουκετ' Αχαιοι. O cari, mala opprobria, Achivæ, nondum Achivi: id est, ita Agamemnon nobis convitiari solet; Δ. 242. Θ. 228; et Menelaus, Η. 96; et modo Ulysses, Β. 200. Male interpretes, O imbelles, vertunt, et cætera Thersiti attribuunt; minimè enim iis, quibus suadere vellet, ita maledixisset. Verum sensum indicant voces κακων επιβασκεμεν, et περ in versu sequenti. Πεπων etiam non nisi, carus, significat. Thersites vocem Agamemnonis imitaretur, ut

Και μιν ὑποδρα ϝιδων χαλεπῳ ηνιπαπε μυθῳ·
  Θερσιτ' ακριτομυθε, ϝλιγυς περ εων αγορητης,
Ισχεο, μηδ' εθελ' οιος εριζεμεναι βασιλευσιν·
Ου γαρ εγω σεο φημι χερειοτερον βροτον αλλον
Εμμεναι, ὁσσοι ἁμ' Ατρεϊδησ' ὑπο Ϝιλιον ηλθον·
Τῳ κεν μη βασιληας ανα στομ' εχων αγορευοις,
Και σφιν ονειδεα τε προφεροις, νοστον τε φυλασσοις.
Ουδε τι πω σαφα ϝιδμεν, ὁπως εσται ταδε ϝεργα·
Η ευ, ηε κακως, νοστησομεν υἱες Αχαιων.
Τῳ νυν Ατρεϊδῃ Αγαμεμνονι, ποιμενι λαων,
Ἡσαι ονειδιζων, ὁτε ϝοι μαλα πολλα διδουσιν
Ἡρωες Δαναοι· συ δε κερτομεων αγορευεις.
Αλλ' εκ τοι ϝερεω, το δε και τετελεσμενον εσται·
Ει κ' ετι σ' αφραινοντα κιχησομαι, ὡς νυ περ ὡδε,
Μηκετ' επειτ' Οδυσηϊ καρη ωμοισιν επειη,
Μηδ' ετι Τηλεμαχοιο πατηρ κεκλημενος ειην,
Ει μη εγω σε ϝλαβων, απο μεν φιλα ϝειματα δυσω,
Χλαιναν τ', ηδε χιτωνα, τα τ' αιδοι' αμφικαλυπτει,
Αυτον δε κλαιοντα θοας επι νηας αφησω,
Πεπληγως αγορηθεν αϝεικεσσι πληγησιν.
  Ὡς αρ εφη· σκηπτρῳ δε μεταφρενον ηδε και ωμω

Græcis risum moveret; et similiter recitatores. Ita Virgilius, O verè Phrygiæ, neque enim Phryges. Æn. ix. 617.

236. τονδε δ' ϝεῶμεν. hunc verò sinamus: Ed. Pr. τον δ' εῶμεν· Bentleius, τον δε τ' εῶμεν· Knightius, τον δ' ϝεαωμεν. Vide A. 276, B. 132, 165.

238. Η ϝρα τι ϝοι χ' ἡμεις. Utrùm sanè quid ei tum nos: Forsan, Η ϝρα ϝεθιν ἡμεις, Utrùm sanè ei nos: E. 270.

242. Η γαρ κε. Verba Achilles, A. 232. Vulgò, Η γαρ αν.

246. Θερσιτ' ακριτομυθε. loquax, verbis innumeris utens: Ὁ Θερσιτης ου χωλος, ου φαλακρος, ου κυρτος, αλλ' ακριτομυθος λοιδορειται. Plutarch. de aud. Poet.

250. Τῳ κεν μη. Quare tum ne: Vulgò, Τῳ ουκ αν, quod pro μη dici nequit; τῳ κε passim occurrit, ut B. 373.

251. νοστον τε φυλασσοις. reditumque observes: cœli menses et sidera *serves*. Georg. i. 335.

252. Ουδε τι. Heynius, Knightius, aliique quinque versus damnant.

255. ὁτε ϝοι. quòd ei: Vulgò, ὁτι οἱ· vide A. 244. Forsan etiam ὁφι pro οὑ ἑνεκα, B. 325.

262. τα τ' αιδοι' αμφικαλυπτει. quæque pudenda cooperiunt: ita Knightius, ut N. 568; vulgò, αιδω.

Πληξεν· ὁ δ' ιδνωθη· θαλερον δε ϝοι εκπεσε δακρυ.
Σμωδιξ δ' αἱματοεσσα μεταφρενου εξεπανεστη,
Σκηπτρου ὑπο χρυσεου· ὁ δ' αρ ἑζετο, ταρβησεν τε·
Αλγησας δ', αχρεια ϝιδων, απομορξατο δακρυ.
Οἱ δε, και αχνυμενοι περ, επ' αυτῳ ϝηδυ γελασσαν.
Ὡδε δε τις ϝειπεσκε ϝιδων ες πλησιον αλλον·
Ω ποποι, η δη μυρι' Οδυσσευς εσθλα ϝεϝοργε,
Βουλας τ' εξαρχων αγαθας, πολεμον τε κορυσσων·
Νυν δε το δη ϝμεγ' αριστον εν Αργειοισιν εϝρεξεν,
Ὁς τον λωβητηρα ϝεπεσβολον εσχ' αγοραων.
Ου θην μιν παλιν αυτις ανησει θυμος αγηνωρ
Νεικειειν βασιληας ονειδειοις ϝεπεεσσιν.
Ὡς φασαν ἡ πληθυς· ανα δ' ὁ πτολιπορθος Οδυσσευς
Εστη σκηπτρον εχων· παρα δε, γλαυκωπις Αθηνη,
Ϝειδομενη κηρυκι, σιωπᾶν λαον ανωγει·
Ὡς ἁμα θ' οἱ πρωτοι τε και ὑστατοι υἱες Αχαιων
Μυθον ακουσειαν, και επιφρασσαιατο βουλην·

---

266. ὁ δ' ιδνωθη. ille verò se contorsit: bis iterum occurrit.

267. Σμωδιξ. Vibex: Ψ. 716. εξεπανεστη, e, super, et sursum orta est: ita Β. 85. Vulgò male, εξυπανεστη· ὑπο enim cum casu jungitur.

269. αχρεια ϝιδων. inutilia tuens: ita, acerba tuens; Æn. ix. 794. Vulgò, αχρειον ιδων, quod tantundem est, sed in digamma peccat.

270. Οἱ δε, και αχνυμενοι περ. Illi verò, licèt dolentes, in eum dulce riserunt: doluerunt nempe ob interceptam patriæ revisendæ spem. Populus seditiosos spernit; Achivi insuper milites erant. Ita, Dulce ridentem Lalagen amabo. Horat.

272. εσθλα ϝεϝοργε. bona fecit: Ϝεϝοργα in sex locis digamma postulat, et in duobus aliis, litterâ omissâ; in uno, Γ. 351, εϝρεξε legendum; a ϝρεζω fluit; Α. 147.

274. Νυν δε το δη ϝμεγ' αριστον. Nunc verò hoc revera valde optimum: Alii τοδε, alii τοδ' αυ, quæ multò languidiora; vide Β. 158.

278. Ὡς φασαν ἡ πληθυς. Ita dixit multitudo: nomen multitudinis cum verbo plurali. Versus etiam duo exempla insignia articuli usûs præbet.

278. ανα δ' ὁ πτολιπορθος Οδυσσευς. Sursum verò ille urbium vastator Ulysses: Ση δ' εϝαλω βουλῃ Πριαμου πολις. Od. χ. 230. Achilles et Ulysses soli hoc nomine insigniuntur.

280. ανωγει. jubebat: plusquam perfectum ab ανωγα esse opinor; alii novum verbum ανωγεω fingunt; vide Α. 313, Η. 394.

284. Ατρειδη. "Nonne vel dictæ in secundo libro sententiæ omnes litium et consiliorum explicant artes? Affectus quidem vel illos mites vel hos concitatos, nemo erit tam indoctus, qui non in suâ potestate hunc auctorem habuisse fateatur." Quintilian. lib. x. c. 1. s. 5.

Ὁ σφιν εὒφρονεων αγορησατο και μετεϝειπεν·
  Ατρεΐδη, νυν δη σε, ϝαναξ, εθελουσιν Αχαιοι
Πασιν ελεγχιστον θεμεναι ϝμεροπεσσι βροτοισιν·
Ουδε τοι εκτελεουσιν ὑποσχεσιν, ἡν περ ὑπεσταν,
Ενθαδε τοι στειχοντες απ' Αργεος ἱπποβοτοιο,
Ϝιλιον εκπερσαντ' ευτειχεον απονεεσθαι·
Ὡς τε γαρ η παιδες νεαροι, χηραι τε γυναικες,
Αλληλοισιν οδυρονται ϝοικονδε νεεσθαι.
Η μην και πονος εστιν ανιηθεντα νεεσθαι.
Και γαρ τις θ' ἑνα μηνα μενων απο ϝης αλοχοιο
Ασχαλαα, παρα νηϊ πολυζυγῳ, ἡν περ αελλαι
Χειμεριαι ϝειλεωσιν, ορινομενη τε θαλασσα·
Ἡμιν δ' εινατος εστι περιτροπεων ενιαυτος
Ενθαδε μιμνοντεσσι· τῳ ου νεμεσιζομ' Αχαιους
Ασχαλααν παρα νηυσι κορωνισιν· αλλα και εμπης
Αισχρον τοι δηρον τε μενειν, κενεον τε νεεσθαι.
Τλητε, φιλοι, και μειναт' επι χρονον, ὀϝρα ϝιδωμεν,

---

285. ϝμεροπεσσι βροτοισιν. oculos dividentibus mortalibus: hominibus enim solis animalium oculi naso dividuntur. Alii, vocem dividentibus, interpretantur, sed tum vox ϝμερϝοψ esset. Corrige, ϝμεροπων, Α. 250.

287. τοι. tibi: hic sensus primarius est, sed sæpe pro adverbio usurpatur. Alii ετι legunt.

288. Ϝιλιον εκπερσαντα. Trojam delentem: Lingua Latina, Trojâ deletâ, præteritum exprimit. Alii pro εκπερσαντε esse volunt.

289. Ὡς τε γαρ η. Utque enim certè: η, certè, non semper sententiæ vox prima est, ut, Αλλ' η τοι, Ω ποποι, η, επει η. Vulgò pro η, vel, accipitur, sed tum voci τε non responderet. Potuit, Ὡς γαρ δη, scripsisse.

291. Η μην και πονος εστιν ανιηθεντα νεεσθαι. Certè quidem et labor est molestatum redire: id est, Is, qui molestias patitur, domum reverti laborat. Sic, πονος φρενας αμφιβεβηκεν, Ζ. 355. Nonnulli, teste Clarkio, ποθος conjiciunt.

293. παρα νηϊ πολυζυγῳ. juxta navem multa transtra habentem: Alii, συν νηϊ.

294. ϝειλεωσι. detineant: nempe in portu longinquo; ita ϝελσαι, Α. 409. Alii, ὁν περ.

299. Τλητε φιλοι. Cicero, de Divinatione, lib. 2, locum ita vertit:

Ferte viri, et duros animi tolerate labores;
Auguris ut nostri Calchantis fata queamus
Scire, ratosne habeant, an vanos pectoris orsus.
Namque omnes memori portentum mente retentant,
Qui non funestis liquerunt lumina fatis.

Ει ετεον Καλχας μαντευεται, ηε και ουκι.
Ευ γαρ δη τογε ϝιδμεν ενι φρεσιν, εστε δε παντες
Μαρτυροι, οὑς μη κηρες εβαν θανατοιο φερουσαι
Χθιζα τε και πρωϊζ’, ὁτ’ ες Αυλιδα νηες Αχαιων
Ηγερεθοντο, κακα Πριαμῳ και Τρωσι φερουσαι·
Ἡμεις δ’ αμφι περι κρηνην ἱερους κατα βωμους
Ϝερδομεν αθανατοισι τελησσας ἑκατομβας,
Καλῃ ὑπο πλατανιστῳ, ὁθεν ϝρεεν αγλαον ὑδωρ·
Ενθ’ εφανη ϝμεγα σημα· δρακων επι νωτα δαφοινος,
Σμερδαλεος, τον ϝρ’ αυτος Ολυμπιος ἡκε φαοσδε,
Βωμου ὑπαΐξας, προς ϝρα πλατανιστον ορουσεν.
Ενθα δ’ εσαν στρουθοιο νεοσσοι, νηπια τεκνα,
Οζῳ επ’ ακροτατῳ, πεταλοις ὑποπεπτηωτες,
Οκτω, αϝαρ μητηρ ενατη ην, ἡ τεκε τεκνα·

Argolicis primùm ut vestita est classibus Aulis,
Quæ Priamo cladem, et Trojæ, pestemque ferebant;
Nos circum latices gelidos, fumantibus aris,
Aurigeris Divûm placantes numina tauris,
Sub platano umbriferâ, fons unde emanat aquaï,
Vidimus immani specie tortuque draconem,
Terribilem, Jovis ut pulsu penetrabat ab arâ;
Qui platani in ramo foliorum tegmine septos
Corripuit pullos; quos cùm consumeret octo,
Nona super tremulo genitrix clamore volabat;
Cui ferus immani laniabat viscera morsu.
Hunc, ubi jam teneros volucres matremque peremit,
Qui luci ediderat, genitor Saturnius idem
Abdidit, et duro formavit tegmina saxo.
Nos autem timidi stantes mirabile monstrum
Vidimus in mediis Divûm vorsarier aris.
Tum Calchas hæc est fidenti voce locutus;
Quidnam torpentes subitò obstupuistis, Achivi?
Nobis hæc portenta Deûm dedit ipse Creator,
Tarda et sera nimis, sed famâ ac laude perenni.
Nam quot aves tetro mactatas dente videtis,
Tot nos ad Trojam belli exantlabimus annos,
Quæ decimo cadet, et pœnâ satiabit Achivos.
Edidit hæc Calchas, quæ jam matura videtis.

299. ὁϝρα ϝιδωμεν. ut videamus: Vulgò, δαῶμεν· sed subjunctivus est δαειω, δαειομεν, Κ. 425, Α. 26. ϝιδωμεν idem valet, ut, ὁϝρα ϝιδωμαι ενι φρεσιν, ηδ δαειω, Φ. 61; et vide Θ. 406, Κ. 449.

302. φερουσαι. postquam te fata tulerunt. Eclog. v. 34.

308. Ενθ’ εφανη ϝμεγα σημα. Ibi apparuit magnum signum: Hujusmodi quidpiam evenisse potuit. Mos erat serpentes in templorum adytis

Ενθ' ὁγε τους ελεεινα κατησθιε τετριγωτας·
Μητηρ δ' αμφεποτᾶτο μινυρομενη φιλα τεκνα·
Την δε ϝελιξαμενος πτερυγος ϝλαβεν αμφιαχυιαν.
Αυταρ επει κατα τεκν' εφαγε στρουθοιο και αυτην,
Τον μεν αριζηλον θηκεν Θεος, ὁς περ εφηνε·
Λααν γαρ μιν εθηκε Κρονου παϊς αγκυλομητεω·
Ἡμεις δ' ἑσταοτες θαυμαζομεν, οἱον ετυχθη·
Ὡς ουν δεινα πελωρα Θεων εισηλθ' ἑκατομβας.
Καλχας δ' αυτικ' επειτα θεοπροπεων αγορευε·
Τιπτ' αναοι εγενεσθε, καρηκομοωντες Αχαιοι;
Ἡμιν μεν τοδ' εφηνε τερας ϝμεγα μητιετα Ζευς,
Οψιμον, οψιτελεστον, ὁφι κλεος ουποτ' ολειται.
Ὡς οὑτος κατα τεκν' εφαγε στρουθοιο, και αυτην,
Οκτω, αϝαρ μητηρ ενατη ην, ἡ τεκε τεκνα·

---

servare; horum natura avibus pasci; post pastum torpere. Hinc Calchas de belli fine conjecturam fecisse potuit, quam Ulysses jam maturam depromit. Cicero anguem Syllæ immolanti ab arâ extitisse, eoque die rem præclarè esse gestam testatur.

308. δρακων. adytis cùm lubricus amnis ab imis
Cæruleæ cui terga notæ, maculosus et auro
Squamam incendebat fulgor. Æn. v. 84.

310. προς ϝρα πλατανιστον ορουσεν. ad platanum sanè ruit. Ita, μετ' αρα δμωῃσι γυναιξι, Ζ. 323. Fatendum est particulam in his locis parvam vim habere.

312. πεταλοις ὑποπεπτηωτες. sub foliis trepidè latitantes: a πτησσω.

314. τετριγωτας. stridentes: a τετριγα, quod a τριζω. Multa perfecta media penultimam producunt, ut βεβριθα, ϝεϝριγα, πεποιθα, σεσηπα· multa etiam perfectorum participia, ut κεκληγοντες, κεκμηωτα, μεμαωτα, τεθνειωτες, ὑποπεπτηωτες.

315. μινυρομενη. voce exili lugens: Hesychius hanc lectionem præbet; μινυριζω quidem secundam corripit, Ε. 889; nihil tamen vetat, quin μινυρομαι producat. Vulgò, οδυρομενη· Bentleius, ολοφορομενη.

316. ϝελιξαμενος. se ipsum contorquens: a ϝελισσω· vulgò, ελελιξαμενος. αμφιαχυιαν. circùm clamantem: Hæc forma non alibi occurrit; hinc tamen constat ιαχον aoristum esse, et digamma non accipere. Dawesius WεWιWα-χυιWαν proposuit, Heynius ανϝιαχυιαν· Bentleius non tetigit. Vide Α. 482.

317. Αυταρ επει. Knightius hanc in saxum mutationem non ab Homero profectam esse censet; tres igitur versus damnat, ut et 321.

323. Τιπτ' αναοι εγενεσθε. Quarè muti devenistis? Vulgò, ανεῳ, quod pro αναοι forma est Attica. Hesychius, Ανεω, αφωνοι, εννεοι, και εκπληξει ἡσυχοι. Knightius ααϝοι edidit, ut sit ab α, non, et αυω, clamo.

325. ὁφι. cujus: Vulgò, ὁου, quæ forma nihili est; genitivum igitur Æolicum substitui. Ita in dativo ὁθι, et ablativo ὁθεν, Β. 722, 307; vide Α. 208.

Ὡς ἡμεις τοσσαυτα ϝετεα πτολεμιξομεν αυθι,
Τῳ δεκατῳ δε πολιν αἱρησομεν ευρυαγυιαν.
Κεινος θ' ὡς αγορευε· τα δη νυν παντα τελειται.
Αλλ' αγε, μιμνετε παντες, εϋκνημιδες Αχαιοι,
Αυτοθιν, εισοκε ϝαστυ ϝμεγα Πριαμοιο ϝελωμεν.
Ὡς εφατ'· Αργειοι δε ϝμεγ' ιαχον, αμφι δε νηες
Σμερδαλεον κοναβησαν, αϋσαντων ὑπ' Αχαιων,
Μυθον επαινησαντες Οδυσσηος θειοιο.
Τοισι δε και μετεϝειπε Γερηνιος ἱππoτα Νεστωρ·
Ω ποποι, η δη παισι ϝεϝοικοτες αγοραασθε
Νηπιαχοις, οἱς ουτι μελει πολεμηϊα ϝεργα.
Πη δη συνθεσιαι τε και ὁρκια βησεται ἡμιν;
Εν πυρι δη βουλαι τε γενοιατο, μηδεα τ' ανδρων,
Σπονδαι τ' ακρητοι, και δεξιαι, ἡς επεπιθμεν·
Αυτως γαρ ϝεπεεσσ' εριδαινομεν, ουδε τι μηχος
Εὑρεμεναι δυναμεσθα, πολυν χρονον ενθαδ' εοντες.
Ατρεϊδη, συ δ' εθ', ὡς πριν, εχων αστεμφεα βουλην,
Αρχευ' Αργειοισι κατα κρατερας ὑσμινας·

---

328. τοσσαυτα ϝετεα. totidem annos: Ϝετος in locis octo digamma admittit; Hesychio igitur præfigenti morem gessi; inscriptiones quoque ϝετος perhibent; ϝετεα duas syllabas habet, ut σακεα, Δ. 113. Vulgò, τοσσαυτ' ετεα.

330. Κεινος θ' ὡς αγορευε. Isque ita dixit: Alii τως emendant.

332. Αυτοθιν. Hîc: Vulgò, Αυτου, quod minus numerosum, et suspicor temporis, non loci, esse adverbium. ϝελωμεν. capiamus: Bentleius, ϝαλωμεν, proposuit. Vide Α. 137.

333. Αργειοι δε ϝμεγ' ιαχον. Argivi verò valde clamabant: Bentleius, επιϝιαχον, proposuit. Ulyssis populo, Nestoris principi, gratior erat oratio.

335. επαινησαντες. approbantes: ad Αργειοι refertur; participium sæpe cum casu antecedente concordat, licèt alia interveniant. Knightius tamen versum damnat.

336. Γερηνιος. Gerenius: Ita dictus, quia Gerenis, Messeniæ vico, nutritus esset. Eustath.

337. Ω ποποι. O papæ: Interjectio admirationis, quâ Nestor sæpe usus est. Nestor in oratione Ulysse fortior et nobilior est; Ulysses mollibus dictis pectora demulserat; Nestor, vir pietate et meritis gravis, auctoritate animos regit.

341. Σπονδαι τ' ακρητοι. Libationesque non mixtæ, puræ, sine melle: επεπιθμεν· confidimus: pro επεποιθειμεν.

342. Αυτως γαρ ϝεπεεσσι. Frustra enim dictis: Vulgò, γαρ ῥ' επεεσσι Agamemnonem et Achillem perstringit.

344. αστεμφεα βουλην. firmum consilium: sic, αστεμφες εχεσκε, Γ. 219.

Τουσδε δ' εϝα φθινυθειν, ἑνα και δυο, τοι κεν Αχαιων
Νοσφιν βουλευωσ'· ανυσις δ' ουκ εσσεται αυτων,
Πριν γ' Αργοσδ' ιεναι, πριν και Διος αιγιοχοιο
Γνωμεναι ει τε ψευδος ὑποσχεσις, ηε και ουκι.
Φημι γαρ ουν καταευσαι ὑπερμενεα Κρονιωνα
Ηματι τῳ, ὁτε νηυσιν επ' ωκυποροισιν εβαινον
Αργειοι, Τρωεσσι φονον και κηρα φεροντες,
Αστραπτων επιδεξι', εναισιμα σηματα φαινων.
Τῳ μη τις πριν επειγεσθω ϝοικονδε νεεσθαι,
Πριν γε παρα Τρωων αλοχῳ κατακοιμηθηναι,
Τισασθαι δ' Ἑλενης ὁρμηματα τε στοναχας τε.
Ει δε τις εκπαγλως εθελει ϝοικονδε νεεσθαι,
Ἁπτεσθω ϝης νηος εϋϝσελμοιο μελαινης,
Ὀϝρα προσθ' αλλων θανατον και ποτμον επισπῃ.
Αλλα, ϝαναξ, αυτος τ' ευ μηδεο, πειθεο τ' αλλῳ·
Ου τοι αποβλητον ϝεπος εσσεται, ὁ ϝρα κε ϝειπω.
Κριν' ανδρας κατα φυλα, κατα φρητρας, Αγαμεμνον,
Ὡς φρητρη φρητρηθιν αρηγῃ, φυλα δε φυλοις·

---

345. Αρχευ'. Impera: Ita rectè Stephanus, ut Ε. 200, pro Αρχευ, incipe.

346. Τουσδε δ' ϝεα φθινυθειν. Eos verò sine perire: Exercitus ad bellum sine Achille omnimodis excitandus erat. Ita Ed. Pr. alii, Τους δε εα. vide Β. 165.

348. Πριν γ' Αργοσδ' ιεναι. Priùs quidem ad patriam ire: id est, non efficient, ut priùs domum redeant; alii ad βουλευωσι retrahunt. Vulgò, Πριν Αργοσδ' ιεναι, sed πριν corripitur, Β. 344, et passim; cum Knightio igitur, πριν γε, edidi, ut Ε. 288, Σ. 189.

353. Αστραπτων επιδεξια. Tonans ad dextram: Nominativus in præcedentibus subauditur, ut si, Ζευς κατενευσε, dixerat. Ita μεμαως, Ε. 135, et vide Β. 335, Η. 128, Κ. 437, 547. Potuit etiam scripsisse, ὁτ' αισιμα σηματ' εφαινε

355. Πριν γε παρα Τρωων αλοχῳ. Priusquam Trojanorum uxori accubet: Vulgò male, Πριν τινα παρ· Militi unicuique spem captivæ adipiscendæ ostendit.

356. ὁρμηματα τε στοναχας τε. incitamentaque, gemitusque: Helenam a Venere et Paride seductam et abreptam contra voluntatem fuisse indicat. Hesychius quidem, Ὁρμηματα, μεριμναι, habet, sed non video, quomodo hunc sensum obtineat. Vide Γ. 444.

361. ὁ ϝρα κε ϝειπω. quod sanè tum dicam: Vulgò, ὁ,ττι· sed, quodcumque, loco non convenit, et ὁς τις pro ὁς Atticismus est. Vide Α. 294.

363. φρητρηθιν. tribui: Vulgò, φρητρηφιν· quod genitivus esset; antiquam igitur dativi formam substitui; vide Α. 208, Β. 418. Vox a ϝερεω fluit, et in Fœdere Eleo ΓΡΑΤΡΑ scribitur. Knight. Prol. LXXXV.

Ει δε κεν ὡς ϝερξῃς, και τοι πειθωνται Αχαιοι,
Γνωσῃ επειθ', ὁς θ' ἡγεμονων κακος, ὁς τε νυ λαων,
Ηδ' ὁς κ' εσθλος εησι· κατα σφεας γαρ μαχεσονται·
Γνωσεαι δ', ει και θεσπεσιῃ πολιν ουκ αλαπαξεις,
Η ανδρων κακοτητι, και αφραδιῃ πολεμοιο.
Τον δ' απαμειβομενος προσεφη κρειων Αγαμεμνων·
Η μαν αυτ' αγορῃ νικᾳς, γερον, υἱας Αχαιων.
Αι γαρ, Ζευ τε πατερ, και Αθηναιη, και Απολλον,
Τοιουτοι δεκα μοι συμφραδμονες ειεν Αχαιων·
Τῳ κε ταχ' ημυσειε πολις Πριαμοιο ϝανακτος,
Χερσιν ὑφ' ἡμετερῃσι ϝαλουσα τε περθομενη τε.
Αλλα μοι αιγιοχος Κρονιδης Ζευς αλγε' εδωκεν,
Ὁς με μετ' απρηκτους εριδας και νεικεα βαλλει.
Και γαρ εγων Αχιλευς τε μαχεσσαμεθ' εἱνεκα κουρης
Αντιβιοις ϝεπεεσσιν· εγω δ' ηρχον χαλεπαινων·
Ει δε ποτ' ες γε μιαν βουλευσομεν, ουκ ετ' επειτα
Τρωσιν αναβλησις κακου εσσεται, ουδ' ηβαιον.
Νυν δ' ερχεσθ' επι δειπνον, ἱνα ξυναγωμεν Αϝρηα·
Ευ μεν τις δορυ θηξασθω, ευ δ' ασπιδα θεσθω,
Ευ δε τις ἱπποισιν δειπνον δοτω ωκυποδεσσιν,
Ευ δε τις ἁρματος αμφι ϝιδων, πολεμοιο μεδεσθω·
Ὡς κε πανημεριοι στυγερῳ κρινωμεθ' Αϝρηϊ.
Ου γαρ παυσωλη γε μετεσσεται, ουδ' ηβαιον,
Ει μη νυξ ελθουσα διακρινεει μενος ανδρων.

---

366. κατα σφεας γαρ μαχεσονται. secundum se enim pugnabunt: id est, pro suo virili quisque; ut, κατ' εμαυτον εγω, Α. 271.

372. Τοιουτοι δεκα μοι. Tales decem mihi: "Dux ille Græciæ nunquam optat, ut Ajacis similes decem habeat, at ut Nestoris. Quod si acciderit, non dubitat, quin brevi Troja sit peritura." Cicero de Senectute, §. 10. Sed vide Δ. 289.

374. ϝαλουσα. capta: ab εϝαλων, quod aoristus secundus passivus esse videtur ab εϝαλοην contractus. Alii modi sunt, ϝαλοιην, ϝαλωω, ϝαλωναι· verbum ϝαλωμι, quod Grammatici fingunt, nusquam occurrit. Sic εϝαλην, a ϝαλον. Εϝαλων in quinque locis digamma postulat, in septem admittit.

377. Και γαρ εγων. Confessione culpæ invidiam minuit. Knightius tamen quatuor versus damnat, ut et versum 387.

388. τελαμων. balteus: id est, lorum, quo scutum ab humeris suspen-

Ἱδρωσει μεν τευ τελαμων αμφι στηθεσσιν
Ασπιδος αμφιβροτης, περι δ' εγχεϊ χειρα καμειται·
Ἱδρωσει δε τευ ἱππος, εΰξοον ἁρμα τιταινων.
Ὁν δε κ' εγων απανευθε μαχης εθελοντα νοησω
Μιμναζειν παρα νηυσι κορωνισιν, ου ϝοι επειτα
Αρκιον εκφυγεειν εσεται κυνας ηδ' οιωνους.
Ὡς εφατ'· Αργειοι δε ϝμεγ' ιαχον, ὡς ὁτε κυμα
Ακτῃ εφ' ὑψηλῃ, ὁτε κινησει Ϝνοτος ελθων,
Προβλητι σκοπελῳ· τον δ' ου ποτε κυματα λειπει,
Παντοιων ανεμων, ὁτε κ' ενθ' η ενθα γενωνται.
Ανσταντες δ' ορεοντο, κεδασθεντες κατα νηας,
Καπνισσαν τε κατα κλισιας, και δειπνον εϝλοντο.
Αλλος δ' αλλῳ εϝρεζε Θεων αιειγενεταων,
Ευχομενος θανατον τε φυγειν και μωλον Αϝρηος.
Αυταρ ὁ βουν ἱερευσε ϝαναξ ανδρων Αγαμεμνων
Πιονα, πενταϝετηρον, ὑπερμενεϊ Κρονιωνι·
Κικλησκεν δε γεροντας αριστηας Παναχαιων·
Νεστορα μεν πρωτιστα, και Ιδομενηα ϝανακτα,
Αυταρ επειτ' Αιαντε δυω, και Τυδεος υἱον,
Ἑκτον δ' αυτ' Οδυσηα, Διϊ μητιν αταλαντον.
Αυτοματος δε ϝοι ηλθε βοην αγαθος Μενελαος·
Ϝοιδεε γαρ κατα θυμον αδελφεον, ὡς επονειτο.
Βουν δε περιστησαντο, και ουλοχυτας ανεϝλοντο.
Τοισι δ' επευχομενος μετεφη κρειων Αγαμεμνων·

---

debatur, ita ut manibus ambabus hastam prehenderent. Forsan Telamon, Ajacis pater, usum ejus induxit.

393. Αρκιον εκφυγεειν εσεται. Possibile effugere erit: Vulgò, Αρκιον εσσειται φυγεειν· sed εκφυγεειν legitur, Φ. 66, et εσσειται non videtur forma sana esse, licèt iterum occurrat, Ν. 317.

399. Καπνισσαν. Fumum edebant: Καπνισαν MSS. et ante Barnesium Edd.

400. εϝρεζε· sacrificabat: vide Α. 147, 444.

404. Παναχαιων. omnium Græcorum: pro παντων Αχαιων, ut Πανελληνας, Β. 530.

409. Ϝοιδεε. Noverat: Α. 70. Vulgò, Ηιδεε. Nonnulli versum damnant.

411. Τοισι δ' επευχομενοις. Illis verò super precantibus: id est, super bovem. Επι passim sine casu ponitur, ut Β. 413. Heynius, τοισιν δ' ευχομενοις, cum MSS. nonnullis edidit.

Ζευ κυδιστε, ϝμεγιστε, κελαϝνεφες, αιθερι ναιων,
Μη πριν επ' Ηελιον δυναι, και επι κνεφας ελθειν,
Πριν με κατα πρηνες βαλεειν Πριαμοιο μελαθρον
Αιθαλοεν, πρησαι δε πυρος δαϊοιο θυρετρα·
Ἑκτορεον δε χιτωνα περι στηθεσσι δαΐξαι,
Χαλκῳ ϝρωγαλεον· πολεες δ' αμφ' αυτον ἑταϝροι
Πρηνεες εν κονιηθιν οδαξ λαζοιατο γαιαν.
Ὡς εφατ'· ουδ' αρα πω ϝοι επεκραιαινε Κρονιων·
Αλλ' ὁγε δεκτο μεν ἱρα, πονον δ' αμεγαρτον οφελλεν.
Αυταρ επει ϝρ' ευξαντο, και ουλοχυτας προβαλοντο,
Αυ ϝερυσαν μεν πρωτα, και εσφαξαν, και εδειραν,
Μηρους τ' εξεταμον, κατα τε κνισσῃ εκαλυψαν,
Διπτυχα ποιησαντες· επ' αυτων δ' ωμοθετησαν·
Και τα μεν αρ σχιζῃσιν αφυλλοισιν κατεκαιον·
Σπλαγχνα δ' αρ εμπειραντες, ὑπειρεχον ἡφαιστοιο.
Αυταρ επει κατα μηρ' εκαη, και σπλαγχν' επασαντο,
Μιστυλλον τ' αρα τ' αλλα, και αμφ' οβελοισιν επειραν,
Ωπτησαν τε περιφραδεως, ϝερυσαντο τε παντα.
Αυταρ επει παυσαντο πονου, τετυκοντο τε δαιτα,
Δαινυντ'· ουδε τι θυμος εδευετο δαιτος εΐσης.
Αυταρ επει ποσιος και εδητυος εξ ερον ἑντο,
Τοις αρα μυθων ηρχε Γερηνιος ἱπποτα Νεστωρ·
Ατρεΐδη κυδιστε, ϝαναξ ανδρων Αγαμεμνον,

---

413. Μη πριν επ' Ηελιον δυναι. Non priùs super Solem occidere: id est, εφ' ἡμιν, vel επι τουτῳ εργῳ. Ita, Ὁ ἡλιος μη επιδυετω επι τῳ παροργισμῳ ὑμων. Ad Ephesianos, c. 4. v. 26. Ευχομαι, vel, δος, intelligitur.

415. πρησαι δε πυρος δαϊοιο θυρετρα. comburere verò igne hostili fores: Vulgò, δηΐοιο· littera tamen η ad quantitatem indicandam inventa est, ideoque in hâc voce scripturam antiquam restitui, quoties primam corripiat. Ita δαΐζω litteram α retinet, ut et δαΐ et δαΐφρων. Hesychius quoque, δαΐος, habet. Dawesius, δαϝιος, legendum censet; sed obstat Δαιωσουσι, Δ. 416. Priscianus quidem ex Alcmane δαϝιον citat.

417. Χαλκῳ ϝρωγαλεον. Ære lacerum: a ϝρησσω, frango.

418. Πρηνεες εν κονιηθιν. Præcipites in pulvere: Vulgò, εν κονιῃσιν· sed κονι numerum pluralem non habet, nec, pulvis, in linguâ Latinâ; antiquam igitur dativi formam restitui. Hujus vestigia in ὁθι, ποθι, κειθι, ϝοικοθι, ἑτερωθι, Κορινθοθι, ουρανοθι, aliisque vocibus, servantur, et passim postulatur, ut Β. 363, 480, Θ. 199, Ν. 168, Φ. 501, Χ. 107. Hinc etiam dativus ι subscriptum habet. Vide Α. 208, 391, 578, Β. 145.

Μηκετι νυν δηθ' αυθι λεγωμεθα, μηδ' ετι δηρον
Αμβαλλωμεθα ϝεργον, ὁ δη Θεος εγγυαλιξει.
Αλλ' αγε, κηρυκες μεν Αχαιων χαλκοχιτωνων
Λαον κηρυσσοντες αγειροντων κατα νηας·
Ἡμεις δ' αθροοι ὡδε κατα στρατον ευρυν Αχαιων
Ιομεν, ὁϝρα κε θασσον εγειρομεν οξυν Αϝρηα.
  Ὡς εφατ'· ουδ' απιθησε ϝαναξ ανδρων Αγαμεμνων·
Αυτικα κηρυκεσσι ϝλιγυφθογγοισι κελευσε
Κηρυσσειν πολεμονδε καρηκομοωντας Αχαιους.
Οἱ μεν εκηρυσσον, τοι δ' ηγειροντο μαλ' ωκα.
Οἱ δ' αμφ' Ατρεϊωνα Διοτρεφεες βασιληες
Θυνον κρινοντες· μετα δε, γλαυκωπις Αθηνη,
Αιγιδ' εχουσ' εριτιμον, αγηραον, αθανατην τε·
Της ἑκατον θυσανοι παγχρυσεοι ηερεθοντο,
Παντες εϋπλεκεες· ἑκατομβοιος δε ϝεκαστος.
Συν τῃ παιφασσουσα διεϝσυτο λαον Αχαιων,
Οτρυνουσ' ιεναι· εν δε σθενος ωρσε ϝεκαστῳ
Καρδιῃ, αϝληκτον πολεμιζειν ηδε μαχεσθαι.
Τοισι δ' αφαρ πολεμος γλυκιων γενετ', ηε νεεσθαι
Εν νηυσι γλαφυρῃσι, φιλην ες πατριδα γαιαν.
  Ηΰτε πυρ Αϝιδηλον επιφλεγει ασπετον ὑλην,
Ουρεος εν κορυφῃς· ἑκαθεν δε τε φαινεται αυγη·
Ὡς των ερχομενων, απο χαλκου θεσπεσιοιο

Corruit in vulnus; sonitum super arma dedere;
Et terram hostilem moriens petit ore cruento. Æn. x. 488.

Procubuit moriens, et humum semel ore momordit. Æn. xi. 418.

Mandit humum, moriensque suo se in vulnere versat. Æn. xi. 669.

435. λεγωμεθα. colligamur: Hic sensus est primarius; Β. 222, Ψ. 239. Clarkius, tempus colloquendo teramus, vertit; Heynius, otiemur; alii, colloquamur; alii, accubemus. Zenodotus, δη ταυτα, legebat, ut Ν. 292.

440. Ιομεν. Eamus: Forsitan, Ειομεν· sed vide Α. 147.

450. παιφασσουσα. properans: παντη φαινομενη. Ita, εκπαιφασσειν, Ε. 803.

452. αϝληκτον. indesinenter: a ϝληγω, Α. 224; vulgò, αλληκτον. Knightius versum damnat.

455. Ηΰτε πυρ. Similitudinibus sex armorum splendorem, militum strepitum, numerum, et ardorem, ducum scientiam, et imperatoris præstantiam depingit.

Αιγλη παμφανοωσα δι' αιθερος ουρανον ἱκε.
Των δ', ὡς τ' ορνιθων πετεηνων ϝεθνεα πολλα,
Χηνων, η γερανων, η κυκνων δουλιχοδειρων,
Ασιοθι λειμωνι, Καϋστροφιν αμφι ϝρεεθρα,
Ενθα και ενθα ποτῶνται αγαλλομεναι πτερυγεσσι,
Κλαγγηδον προκαθιζοντων, σμαραγεῖ δε τε λειμων·
Ὡς των ϝεθνεα πολλα νεων απο και κλισιαων
Ες πεδιον προχεοντο Σκαμανδριον· αυταρ ὑπο χθων
Σμερδαλεον κοναβιζε ποδων αυτων τε και ἱππων.
Εσταν δ' εν λειμωνι Σκαμανδριῳ ανθεμοεντι
Μυριοι, ὁσσα τε φυλλα και ανθεα γιγνεται ὡρῃ.
Ηΰτε μυιαων αδιναων ϝεθνεα πολλα,
Αἱ τε κατα σταθμον ποιμνηϊον ηλασκουσιν
Ὡρῃ ϝειαρινῃ, ὁτε κε γλαγος αγγεα δευει·
Τοσσοι επι Τρωεσσι καρηκομοωντες Αχαιοι
Εν πεδιῳ ἱσταντο, διαϝραισαι μεμαωτες.
Τους δ', ὡς τ' αιπολια πλατε' αιγων αιπολοι ανδρες
Ϝρεια διακρινεωσιν, επει κε νομῳ μιγεωσιν·
Ὡς τους ἡγεμονες διεκοσμεον ενθα και ενθα,
Ὑσμινηνδ' ιεναι· μετα δε, κρειων Αγαμεμνων,

---

461. Ασιοθι λειμωνι. In Asio prato: Hinc forsan Asia nomen sumpsit. Vulgò, Ασιῳ εν λειμωνι· dativum antiquum, ut numerosiorem, intuli. B. 418. Vulgò etiam Καϋστριου· sed nomen Καϋστρος erat, Virg. Georg. i. 384. Vide B. 751. Flumen Cayster in mare prope Ephesum cadit.

463. Κλαγγηδον προκαθιζοντων. Clamosè considentibus, resonat verò et pratum: cum sequentibus jungenda opinor; genitivus enim absolutus primum sententiæ membrum efficit, et conjunctio rectè primæ voci secundi subjicitur; A. 58. Alii ad πετεηνων retrahunt, quod durum videtur. Forsan, Κλαγγηθι, legendum; B. 418; clamoris more, vix rectè dicitur.

465. Ες πεδιον προχεοντο Σκαμανδριον. Ad planitiem profundebantur Scamandriam: Vocalis brevis interdum ante duas mutas corripitur, præsertim in nominibus propriis, quæ aliter versum inire non possint. Vide B. 537, 824. Alii Καμανδριον legunt.

470. ηλασκουσιν. oberrant: γλαγος, lac: αγγεα, mulctras.

471. Ὡρῃ ϝειαρινῃ. Tempore verno: Vulgò, Ὡρῃ εν ειαρινῃ· sed præpositio omitti potest, ut B. 468, Od. E. 485; et ϝειαρινος digamma adscissit, B. 89.

471. ὁτε κε· quando tum: Vulgò, ὁτε τε, quod pro ὁτε κε poni videtur ob vanum timorem, ut particula κε cum indicativo jungi possit. In promptu esset, δευῃ, legere, sed nihil opus. Vide A. 32, M. 41, O. 170.

475. Ϝρεια. Faciliter: a ϝρεω, unde digamma postulat; altera forma, ϝρεα, postulat, Θ. 179.

478. ϝικελος. similis: In uno loco digamma postulat, Δ. 86, in octo

Ομματα και κεφαλην ϝικελος Διϊ τερπικεραυνῳ,
Ζωνην δ' Αϝρηϊ, στερνον δε Ποσειδαωνι.
Ηΰτε βους αγεληθι ϝμεγ' εξοχος επλετο παντων
Ταυρος· ὁ γαρ τε βοεσσι μεταπρεπει αγρομενῃσι·
Τοιον αρ Ατρεϊδην θηκε Ζευς ηματι κεινῳ
Εκπρεπε' εν πολλοισι και εξοχον ἡρωεσσιν.
Ϝεσπετε νυν μοι, Μουσαι, Ολυμπια δωματ' εχουσαι·
Ὑμεις γαρ Θεαι εστε, παρεστε τε, ϝιστε τε παντα,
Ἡμεις δε κλεος οιον ακουομεν, ουδε τι ϝιδμεν·
Οἱ τινες ἡγεμονες Δαναων και κοιρανοι ησαν.
Πληθυν δ' ου κεν εγω μυθησομαι, ουδ' ονομηνω,
Ουδ' ει μοι δεκα μεν γλωσσαι, δεκα δε στοματ' ειεν,
Φωνη δ' αϝρηκτος, χαλκεον δε μοι ητορ ενειη·
Ει μη Ολυμπιαδες Μουσαι, Διος αιγιοχοιο
Θυγατερες, μνησαιαθ', ὁσοι ὑπο Ϝιλιον ηλθον.
Αρχους αυ νηων ϝερεω, νηας τε προπασας.

ΒΟιωτων μεν Πηνελεος, και Ληϊτος ηρχον,
Αρκεσιλαος τε, Προθοηνωρ τε, Κλονιος τε·

---

admittit, in uno rejicit, Τ. 282. Altera forma, ϝεικελος, in novendecim postulat, in uno admittit.

479. Ζωνην δ' Αϝρηϊ. Zonam verò Marti: Vulgò, Αρεϊ δε ζωνην. Αϝρης tamen penultimam in obliquis in duobus tantùm aliis locis corripit; Δ. 441, Τ. 47.

480. αγεληθι. in armento: Vulgò, αγεληφι· vide Β. 418.

484. Ϝεσπετε νυν μοι, Μουσαι. Ϝεσπετε, dicite, idem ac ϝειπετε valet, et non, nisi cùm Musæ invocantur, occurrit.

Pandite nunc Helicona, Deæ, cantusque movete,
Qui bello exciti reges, quæ quemque secutæ
Complêrint campos acies; quibus Itala jam tum
Floruerit terra alma viris, quibus arserit armis.
Et meministis enim, Divæ, et memorare potestis:
At nos vix tenuis famæ perlabitur aura. Æn. vii. 641.

487. Οἱ τινες ἡγεμονες. Quinam duces: Forsitan, Οἱ τε ϝρ', legendum.

489. Ουδ' ει μοι δεκα μεν γλωσσαι.

Non mihi si linguæ centum sint, oraque centum,
Ferrea vox. Æn. vi. 625. Georg. ii. 42.

490. χαλκεον δε μοι ητορ ενειη. æreum verò mihi cor inesset. Ητορ quasi ἡτορ ab ἱημι, quia sanguinem per venas mittat. Ita Apollo αφητωρ vocatur, quia sagittas mittat.

491. Ει μη. Knightius tres versus damnat.

494. Βοιωτων. Catalogus a Bœotis incipit, et deinde omnem Græciam

Οἱ θ' Ὑριην ενεμοντο, και Αυλιδα πετρηεσσαν,
Σχοινον τε, Σκωλον τε, πολυκνημον τ' Ετεωνον,
Θεσπειαν, Γραιαν τε, και ευρυχορον Μυκαλησσον·
Οἱ τ' αμφ' Ἁρμ' ενεμοντο, και Ειλεσιον, και Ερυθρας,
Οἱ τ' Ελεων' ειχον, ηδ' Ὑλην, και Πετεωνα,
Ωκαλεην, Μεδεωνα τ', εϋκτιμενον πτολιεθρον,
Κωπας, Ευτρησιν τε, πολυτρηρωνα τε Θισβην·
Οἱ τε Κορωνειαν, και ποιηενθ' Ἁλιαρτον,
Οἱ τε Πλαταιαν εχον, ηδ' οἱ Γλισσαντ' ενεμοντο,
Οἱ θ' Ὑποθηβας ειχον, εϋκτιμενον πτολιεθρον,
Ογχηστον θ' ἱερον, Ποσιδηϊον αγλαον αλσος·
Οἱ τε πολυσταφυλον Αρνην εχον, οἱ τε Μιδειαν,
Νισσαν τε ζαθεην, Ανθηδονα τ' εσχατοωσαν·
Των μεν πεντηκοντα νεες κιον· εν δε ϝεκαστῃ
Κουροι Βοιωτων ἑκατον και εϝεικοσι βαινον.
Οἱ δ' Ασπληδονα ναιον, ιδ' Ορχομενον Μινυειον·
Των ηρχ' Ασκαλαφος και Ιαλμενος, υἱες Αϝρηος,
Οὑς τεκε Fαστυοχη, δομῳ Ακτορος Αζεϊδαο,
Παρθενος αιδοιη, ὑπερωϊον εισαναβασα,
Αϝρηϊ κρατερῳ· ὁ δε ϝοι παρελεξατο λαθρη·
Των δε τριηκοντα γλαφυραι νεες εστιχοωντο.

---

ordine peragrat; consensu omnium accuratissimè eam describit, et epitheta singula locis conveniunt. Ducum historiis innexis, tædium levatur, et tota Ilias perspicua redditur. Pueri hunc memoriâ tenere a legibus jubebantur, et hujus auctoritate lites inter civitates de finibus dirimebantur. Populi novem et viginti memorantur, duces quinque et quadraginta, naves mille et sex et octoginta. De militum numero non constat, nisi quòd in Bœotorum navibus centum et viginti fuerint, in Methonensium et Myrmidonum quinquaginta. Centum millia circiter fuisse æstimantur. Alii, Πηνελεως· sed vide Ξ. 489.

497. πολυκνημον. clivosum: Β. 821.

498. ευρυχορον. latis choreis aptam: Multarum urbium epitheton est.

502. πολυτρηρωνα. multas columbas nutrientem: Β. 582.

506. Ποσιδωνιον αγλαον αλσος. Neptuni splendidum lucum: Edd. ante Barnesium Ποσειδωνιον· MSS. utrumque exhibent. Sæpe scriptura variatur, præsertim in nominibus propriis, ubi vox aliter versum inire non potuit.

518. Υἱες Fιφιτοφι. Filii Iphiti: Ita Bentleius; vulgò, Υἱεες Ιφιτου. Derivata tamen omnia a ϝις et ϝιφι digamma adsciscunt; vide Α. 38, Ε. 556, Ι. 145, 287, Ν. 698. Fιφιτος quoque penultimam corripit, Θ. 128, Ρ. 306, Od. φ. 14, 22, 37. Knightius, Fιφιτοϝο, edidit. Genitivus tamen

Αυταρ Φωκηων Σχεδιος και Επιστροφος ηρχον,
Υἱες Fιφιτοφι ϝμεγαθυμου Ναυβολιδαο·
Οἱ Κυπαρισσον εχον, Πυθωνα τε πετρηεσσαν,
Κρισσαν τε ζαθεην, και Δαυλιδα, και Πανοπηα,
Οἱ τ' Ανεμωρειαν, και Ὑαμπολιν αμφενεμοντο,
Οἱ τ' αρα παρ ποταμον Κηφισον διον εναιον,
Οἱ τε Λιλαιαν εχον, πηγῃς επι Κηφισοιο·
Τοις δ' ἁμα τεσσαρακοντα μελαιναι νηες ἑποντο.
Οἱ μεν Φωκηων στιχας ἱστασαν αμφις ἑποντες·
Βοιωτων δ' εμπλην επ' αριστερα θωρησσοντο.
Λοκρων δ' ἡγεμονευεν Οϊληος ταχυς Αιας,
Μειων, ουτι τοσος, ὁσσος Τελαμωνιος Αιας,
Αλλα πολυ μειων· ολιγος μεν εεν, λινοθωρηξ,
Εγχειῃ δ' εκεκαστο Πανελληνας και Αχαιους·
Οἱ Κυνον τ' ενεμοντ', Οποεντα τε, Καλλιαρον τε,
Βησσαν τε, Σκαρφην τε, και Αυγειας ερατεινας,
Ταρφην τε, Θρονιον τε, Βοαγριου αμφι ϝρεεθρα·
Τῳ δ' ἁμα τεσσαρακοντα μελαιναι νηες ἑποντο
Λοκρων, οἱ ναιουσι περην ἱερης Ευβοιης.
Οἱ δ' Ευβοιαν εχον μενεα πνειοντες Αβαντες,
Χαλκιδα τ', Ειρετριαν τε, πολυσταφυλον θ' Ἱστιαιαν,

Æolicus in φι passim occurrit; forsitan, Fιϝιτοϝι, vera est scriptura; notam tamen et usitatam mutare nolui.

525. στιχας ἱστασαν αμφις ἑποντες. ordines constituerunt circum ministrantes: ἱστασαν iterum sensum activum habet, Σ. 346; MSS. inter εστασαν, ἑστασαν, et ἱστασαν variant. Vulgò etiam, αμφιεποντες· sed αμφι ante vocalem, aut eliditur, ut, αμφεπε, Σ. 348, aut σ assumit, ut, ανεψιοι αμφις εοντες, I. 464. Vide A. 3, 68.

528. Μειων, ουτι τοσος, ὁσσος Τελαμωνιος Αιας. Minor, nequaquam tantus, quantus Telamonius Ajax: Vulgò, ουτι τοσος γε, ὁσος· particulam importunam omisi. Potuit etiam, ουτοι τοσσος, ὁσος, scripsisse. Knightius tres versus damnat, ut et 535.

530. Εγχειῃ δ' εκεκαστο Πανελληνας και Αχαιους. Hastâ verò excellebat inter omnes Hellenas et Achivos: Locri quidam sagittis pugnabant, N. 712; ipse hastâ, Ξ. 442. εκεκαστο a χαζω, cedo; ita κεκασμενε, Δ. 339. Πανελληνας pro παντας Ἑλληνας· B. 404. Hellenes Thessaliam, Achivi Peloponnesum, occupabant. B. 684.

537. πολυσταφυλον τ' Ἱστιαιαν. uviferamque Histiæam: Prima in Ἱστιαια corripitur, quia aliter versum non iniret; ita, Αιγυπτιας, I. 382, et vide B. 465. Alii Ἱτιαιαν legunt; B. 506.

Κηρινθον τ' εφαλον, Διου τ' αιπυ πτολιεθρον,
Οἱ τε Καρυστον εχον, ηδ' οἱ Στυρα ναιεταασκον·
Των αυθ' ἡγεμονευ' Ελεφηνωρ, οζος Αϝρηος,
Χαλκωδοντιαδης, ϝμεγαθυμων αρχος Αβαντων·
Τῳ δ' ἁμ' Αβαντες ἑποντο θοοι, οπιθεν κομοωντες,
Αιχμηται, μεμαωτες ορεκτῃσι ϝμελιῃσι
Θωρηκας ϝρηξειν δαϊων αμφι στηθεσσι·
Τῳ δ' ἁμα τεσσαρακοντα μελαιναι νηες ἑποντο.
  Οἱ δ' αρ Αθηνας ειχον, εϋκτιμενον πτολιεθρον,
Δημον Ερεχθηος ϝμεγαλητορος, ὁν ποτ' Αθηνη
Θρεψε, Διος θυγατηρ, τεκε δε Ζεϊδωρος Αρουρα,
Καδδ' εν Αθηνῃσ' εἱσεν, εϝῳ ενι πιονι νηῳ·
Ενθαδε μιν ταυροις και ϝαρνειοις ἱλαονται
Κουροι Αθηναιων, περιτελλομενων ενιαυτων·
Των αυθ' ἡγεμονευ', υἱος Πετεοιο, Μενεσθευς.
Τῳ δ' ου πως τις ὁμοιος επιχθονιων γενετ' ανηρ,
Κοσμησαι ἱππους τε και ανερας ασπιδιωτας·
Νεστωρ οιος εριζεν· ὁ γαρ προγενεστερος ηεν·
Τῳ δ' ἁμα πεντηκοντα μελαιναι νηες ἑποντο.
  Αιας δ' εκ Σαλαμινος αγεν δυοκαιδεκα νηας,
Στησε δ' αγων, ἱν' Αθηναιων ἱσταντο φαλαγγες.
  Οἱ δ' Αργος τ' ειχον, Τιρυνθα τε τειχιοεσσαν,

---

543. ϝμελιῃσι. fraxinis: id est, hastis fraxineis. Digamma postulat, Π. 767, Υ. 322, et in compositione vocis εϋϝμελιης.

544. ϝρηξειν. frangere: Ϝρησσω digamma postulat, Σ. 571, Γ. 348, Ζ. 507, et alibi. Trypho grammaticus ϝρηξις in Alcæo, poetâ Æolensi, scriptum se invenisse dicit. Hinc etiam Latinè, frango. Horæ Pelasgicæ, p. 93.

547. Δημον Ερεχθηος. Populum Erecthei: Quidam hos versus ab Atheniensibus in urbis honorem insertos fuisse dicunt. Knightius octo damnat, servato 552.

548. Ζεϊδωρος. a Jove donatus: Forma regularis dativi a Ζευς in compositione servatur. Ita, Διοδοτος, Διοτρεφης, et Διοσπετης. Alii, a ζωω, vivo, alii a ζεια, frumenti genus, deducunt.

552. υἱος Πετεοιο Μενεσθευς. Is enim Theseum nuper regno spoliârat. Plutarch. Ita Schol. Alii, Πετεωο.

557. Αιας. Ajax: Telamonius nempe; hunc comitatus est Teucer frater.

558. Στησε δ' αγων. Collocavit verò ducens: Hujus versûs auctoritate Solon Salaminem a Megarensibus recuperavit; nonnulli ab eo suppositum fuisse dicunt. Plutarch.

Ἑρμιονην, Ασινην τε, βαθυν κατα κολπον εχουσας,
Τροιζην᾽, Ηϊονας τε, και αμπελοεντ᾽ Επιδαυρον,
Οἱ τ᾽ εχον Αιγιναν, Μασητα τε, κουροι Αχαιων·
Των αυθ᾽ ἡγεμονευε βοην αγαθος Διομηδης,
Και Σθενελος, Καπανηος αγακλεϊτου φιλος υἱος·
Τοισι δ᾽ ἁμ᾽ Ευρυαλος τριτατος κιε ϝισοθεος φως,
Μηκιστηος ὑϊς Ταλαϊονιδαο ϝανακτος.
Συμπαντων δ᾽ ἡγειτο βοην αγαθος Διομηδης·
Τοισι δ᾽ ἁμ᾽ ογδωκοντα μελαιναι νηες ἑποντο.
Οἱ δε Μυκηνας ειχον, εϋκτιμενον πτολιεθρον,
Αφνειον τε Κορινθον, εϋκτιμενας τε Κλεωνας,
Ορνειας τ᾽ ενεμοντο, Ϝαραιθυρεην τ᾽ ερατεινην,
Και Σικυων᾽, ὁθ᾽ αρ Αδρηστος πρωτ᾽ εμβασιλευεν·
Οἱ θ᾽ Ὑπερησιην τε, και αιπεινην Γονοεσσαν,
Πελληνην τ᾽ ειχον, ηδ᾽ Αιγιον αμφενεμοντο,
Αιγιαλον τ᾽ ανα παντα, και αμφ᾽ Ἑλικην ευρειαν·
Των ἑκατον νηων ηρχε κρειων Αγαμεμνων,
Ατρεϊδης· ἁμα τωγε πολυ πλειστοι και αριστοι
Λαοι ἑποντ᾽· εν δ᾽ αυτος εδυσατο νωροπα χαλκον,
Κυδιοων, ὁτε πασι μετεπρεπεν ἡρωεσσιν·
Οὑνεκ᾽ αριστος εεν, πολυ δε πλειστους αγε λαους.
Οἱ δ᾽ ειχον κοιλην Λακεδαιμονα κητωεσσαν,

---

559. Οἱ δ᾽ Αργος τ᾽ ειχον. Qui verò Argosque habebant: Quidam Argos sub Agamemnonis ditione fuisse censent; magna quidem ejus in totâ Peloponneso auctoritas erat. Diomedes tamen passim ϝαναξ vocatur, et Sthenelo et Euryalo imperat. Adrasti, Argorum regis, filiæ filius erat.

566. Μηκιστηος ὑϊς. Mecistei filius: Ita, Μηκιστηϊαδης, Ζ. 28. Vulgò, Μηκιστεως υἱος· hæc verò forma non est Homerica. Vide Α. 489, Ο. 339, Ψ. 678. Mecisteus Adrasti frater erat.

571. Ϝαραιθυρεην. portas exiles habentem: a ϝαραιος, et θυρα. Vulgò, Αραιθυρεην, quod in metrum peccat. Ita Heynius; Zenodotus, Παραιθυρεην.

572. πρωτ᾽ εμβασιλευεν. primùm regnavit: Forsan, τα πρωτ᾽ εϝανασσεν· εμβασιλευω enim non occurrit, nisi Od. ο. 413, et MSS. nonnulli εβασιλευεν habent.

579. Κυδιοων. Glorians: ὁτε, quòd: vulgò, ὁτι· vide Β. 255. Potest etiam hîc, isque, verti. Zenodotus versum hunc et sequentem damnabat.

581. Λακεδαιμονα κητωεσσαν· Lacedæmonem cetaceam: circa Maleam et Tænarum promontoria pisces magnos abundâsse oportet. Agamemnon par cum Menelao in Spartâ jus haberet, cùm uterque Tyndari filiam matrimonio duxisset.

Φαρην τε, Σπαρτην τε, πολυτρηρωνα τε Μεσσην,
Βρυσειας τ' ενεμοντο, και Αυγειας ερατεινας,
Οἱ τ' αρ Αμυκλας ειχον, Ἑλος τ' εφαλον πτολιεθρον,
Οἱ τ' ειχον Λααν, ηδ' Οιτυλον αμφενεμοντο·
Των ϝοι αδελφεος ηρχε, βοην αγαθος Μενελαος,
Ἑξηκοντα νεων, απατερθε δε θωρησσοντο.
Εν δ' αυτος κιε ϝῃσι προθυμιῃσι πεποιθως,
Οτρυνων πολεμονδε· μαλιστα δε ϝιετο θυμῳ
Τισασθαι Ἑλενης ὁρμηματα τε στοναχας τε.
Οἱ δε Πυλον τ' ενεμοντο, και Αρηνην ερατεινην,
Και Θρυον, Αλφειοιο πορον, και εϋκτιτον Αιπυ,
Και Κυπαρισσηεντα, και Αμφιγενειαν εναιον,
Και Πτελεον, και Ἑλος, και Δωριον· ενθα τε Μουσαι
Αντομεναι Θαμυριν τον Θρηϊκα παυσαν αοιδης,
Οιχαλιηθεν ιοντα, παρ' Ευρυτου Οιχαλιηος.
Στευτο γαρ ευχομενος νικησεμεν, αι κε περ αυται
Μουσαι αειδοιεν, κουραι Διος αιγιοχοιο·
Αἱ δε χολωσαμεναι πηρον θεσαν· αυταρ αοιδην
Θεσπεσιην απεϝλοντο, και εκλελαθον κιθαριστυν.
Των αυθ' ἡγεμονευε Γερηνιος ἱπποτα Νεστωρ·
Τῳ δ' ενενηκοντα γλαφυραι νεες εστιχοωντο.
Οἱ δ' εχον Αρκαδιην, ὑπο Κυλληνης ορος αιπυ,

---

585. Οἱ τ' ειχον Λααν. Quique habitabant Laan: Vulgò, Οἱ τε Λααν ειχον· sed λαας primam producit. Alii etiam, οἱ Τυλον.

588. Εν δ' αυτος. Knightius tres versus damnat.

595. Θαμυριν τον Θρηϊκα. Thamyrim Thracem: Hinc constat poetas ante Homerum fuisse; forsitan is tamen primus poema litteris mandavit. Scriptura quidem Ægyptiis, Judæis, et Phœnicibus a temporibus Mosaicis cognita esset, unde in Græciam transiisset; sed membranæ forsan deerant, aut alia apta materies. Prœti epistola in ligno sculpta erat; Ζ. 169. Θρηϊξ forma antiqua erat, et ita scripsi, ubi primam corripit; vide Δ. 519, Λ. 222, Β. 415. Knightius Θρεϝικα edidit.

597. Στευτο. Profitebatur: a στευμαι. αι κε περ, etiamsi: ita Η. 387; vulgò, ει περ αν, pro quo formam Homericam hic et alibi substitui.

599. Αἱ δε χολωσαμεναι πηρον θεσαν. Illæ verò iratæ mutum fecerunt; insuper cantilenam Divinam abstulerunt, et oblivisci fecerunt citharæ artem: Vox πηρος non alibi occurrit.

613. περααν. transire: pro περαειν, quod legere mallem, ne formæ sine

Αιπυτιον παρα τυμβον, ἱν' ανερες αγχιμαχηται·
Οἱ Φενεον τ' ενεμοντο, και Ορχομενον πολυμηλον,
Ϝριπην τε, Στρατιην τε, και ηνεμοεσσαν Ενισπην,
Και Τεγεην ειχον, και Μαντινεην ερατεινην,
Στυμφηλον τ' ειχον, και Παρρασιην ενεμοντο·
Των ηρχ' Αγκαιοιο παϊς, κρειων Αγαπηνωρ,
Ἑξηκοντα νεων· πολεες δ' εν νηϊ ϝεκαστῃ
Αρκαδες ανδρες εβαινον, επισταμενοι πολεμοιο.
Αυτος γαρ σφιν δωκε ϝαναξ ανδρων Αγαμεμνων
Νηας εΰϝσελμους, περααν επι ϝοινοπα ποντον,
Ατρεΐδης· επει ου σφι θαλασσια ϝεργα μεμηλει.
Οἱ δ' αρα Βουπρασιον τε, και Ηλιδα διαν εναιον,
Ὁσσον εφ' Ὑρμινη, και Μυρσινος εσχατοωσα,
Πετρη τ' Ωλενιη, και Αλεισιον εντος εεργει·
Των αυ τεσσαρες αρχοι εσαν· δεκα δ' ανδρι ϝεκαστῳ
Νηες ἑποντο θοαι, πολεες δ' εμβαινον Επειοι.
Των μεν αρ Αμφιμαχος και Θαλπιος ἡγησασθην,
Υἱες, ὁ μεν Κτεατωφιν, ὁ δ' Ευρυτου Ακτοριωνος·
Των δ' Αμαρυγκεΐδης ηρχε κρατερος Διωρης·
Των δε τεταρτων ηρχε Πολυξεινος θεοϝειδης,
Υἱος Αγασθενεος Αυγηϊαδαο ϝανακτος.
Οἱ δ' εκ Δουλιχιωθεν, Εχιναων θ' ἱεραων,

---

necessitate varientur; ita, περαον, Π. 367. In hoc sensu περησω format. Aliam sensum habet, trans mare venditum mittere; in hoc περασω format.

617. εεργει. continet: ab εεργω, quod passim occurrit, ut, λαον εεργων, Μ. 201; γεφυραι εεργμεναι, Ε. 89; κλαιοντες εερχατο, Od. κ. 241. Ita, εεργαθω, Ε. 147. Videtur etiam aliam formam εργω habere, Ρ. 571, Π. 481, Φ. 282. Bentleius εϝεργεν proposuit, ut a ϝεργω deduceretur.

621. Υἱες, ὁ μεν Κτεατωφιν, ὁ δ' Ευρυτου. Filii, ille quidem Cteati, hic verò Euryti: Alter Eurytus erat, cognomine Œchaliensis, Β. 730; Cteatus etiam Actoris filius erat; Ν. 185. Vulgò, Κτεατου, metro imperfecto; genitivum igitur antiquum substitui. Casus antiqui penultimam necessariò producunt, ut comparativa, quando duæ breves antecedunt; vide Α. 208, Β. 145, 625, Δ. 276, Λ. 731. Bentleius ὁ δ' αρ proposuit, quod habent MSS. duo.

625. εκ Δουλιχιωθεν. e Dulichio: sic, ἑτερωθεν, Α. 247, αμφοτερωθεν, Ε. 726, et, εξ ουρανοθεν, Θ. 19. Vulgò, Δουλιχιοιο, contra metrum; ablativum igitur Æolicum substitui. Vide Α. 208, Β. 621, Ν. 262.

Νησων, αἱ ναιουσι περην ἁλος, Ηλιδος αντα·
Των αυθ' ἡγεμονευε Μεγης, αταλαντος Αϝρηϊ,
Φυλεΐδης, ὁν τικτε Διϊ φιλος ἱπποτα Φυλευς,
Ὁς ποτε Δουλιχιονδ' απενασσατο πατρι χολωθεις·
Τῳ δ' ἁμα τεσσαρακοντα μελαιναι νηες ἑποντο.
Αυταρ Οδυσσευς ηγε Κεφαλληνας ϝμεγαθυμους,
Οἱ ϝρ' Ιθακην ειχον, και Νηριτον εινοσιφυλλον,
Και Κροκυλει' ενεμοντο, και Αιγιλιπα τρηχειαν,
Οἱ τε Ζακυνθον εχον, ηδ' οἱ Σαμον αμφενεμοντο,
Οἱ τ' Ηπειρον εχον, ηδ' Αντιπεραι' ενεμοντο·
Των μεν Οδυσσευς ηρχε, Διϊ μητιν αταλαντος·
Τῳ δ' ἁμα νηες ἑποντο δυωδεκα μιλτοπαρῃοι.
Αιτωλων δ' ἡγειτο Θοας, Ανδραιμονος υἱος·
Οἱ Πλευρων' ενεμοντο, και Ωλενον, ηδε Πυληνην,
Χαλκιδα τ' αγχιαλον, Καλυδωνα τε πετρηεσσαν.
Ου γαρ Ϝοινηος ϝμεγαλητορος υἱες ετ' ησαν,
Ουδ' αρ ετ' αυτος εεν, θανε δε ξανθος Μελεαγρος·
Τῳ δ' επι παντ' ετεταλτο ϝανασσεμεν Αιτωλοισι·
Τῳ δ' ἁμα τεσσαρακοντα μελαιναι νηες ἑποντο.
Κρητων δ' Ιδομενευς δουρικλυτος ἡγεμονευεν,
Οἱ Κνωσσον τ' ειχον, Γορτυνα τε τειχιοεσσαν,
Λυκτον, Μιλητον τε, και αργινοεντα Λυκαστον,
Φαιστον τε, Ϝρυτιον τε, πολεις ευ ναιεταωσας,

---

626. ναιουσι. jacent: ita ναιεταουσι, Δ. 45, Β. 648; et Sophocles in Ajace, 602; Ω κλεινα Σαλαμις, συ μεν που Ναιεις ἁλιπλαγκτος ευδαιμων Πασι περιφαντος αιει. Ναιω tamen non alibi in Homero hunc sensum obtinet, unde Zenodotus, οἱ ναιουσι, legebat, et Knightius versum damnat.

631. Αυταρ. Knightius versum damnat.

641. Ου γαρ Ϝοινηος ϝμεγαλητορος υἱες ετ' ησαν. Non enim Oenei magnanimi filii adhuc erant: Vulgò, Ου γαρ ετ' Οινηος μεγαλητορος υἱεες ησαν. Ϝοινευς in duobus locis, Ι. 577, Ξ. 117, digamma postulat, in quinque admittit; Ϝοινειδης tamen in duobus rejicit; Ε. 813, Κ. 497. Hesychius, Γοινηες, κορακες, habet. Knightius tres versus damnat.

648. Φαιστον τε, Ϝρυτιον τε, πολεις ευ ναιεταωσας. Phæstumque, Rhytiumque, urbes bene jacentes: Vulgò, 'Ρυτιον sed versus ipse digamma postulat. Vide Β. 626.

651. Ενυαλιῳ βροτολοιγῳ. Marti homicidæ: Vulgò, Ενυαλιῳ ανδρειφοντῃ, contra metrum; synonymum igitur usitatum substitui. Knightius versum damnat.

Αλλοι θ', οἱ Κρητην ἑκατομπολιν αμφενεμοντο·
Των μεν αρ Ιδομενευς δουρικλυτος ἡγεμονευε,
Μηριονης τ' αταλαντος Ενυαλιῳ βροτολοιγῳ·
Τοισι δ' ἁμ' ογδωκοντα μελαιναι νηες ἑποντο.
Τληπολεμος δ' Ἡρακλεϊδης, ηΰς τε ϝμεγας τε,
Εκ Ϝροδου εννεα νηας αγε Ϝροδιων αγερωχων·
Οἱ Ϝροδον αμφενεμοντο διατριχα κοσμηθεντες,
Λινδον, Ιηλυσον τε, και αργινοεντα Καμειρον·
Των μεν Τληπολεμος δουρικλυτος ἡγεμονευεν,
Ὁν τεκε Ϝαστυοχεια βιῃ Ἡρακλεεειῃ,
Την αγετ' εξ Εφυρης, ποταμου απο Σελληεντος,
Περσας ϝαστεα πολλα Διοτρεφεων αιζηων.
Τληπολεμος δ', επει ουν τραφη εν ϝμεγαρῳ εϋπηκτῳ,
Αυτικα πατρος ϝεοιο φιλον μητρωα κατεκτα,
Ηδη γηρασκοντα Λικυμνιον, οζον Αϝρηος·
Αιψα δε νηας επηξε· πολυν δ' ὁγε λαον αγειρας,
Βη φευγων επι ποντον· απειλησαν γαρ οἱ αλλοι
Ὑϊες, υἱωνοι τε βιης Ἡρακλεεειης.
Αυταρ ὁγ' ες Ϝροδον ἱξεν αλωμενος, αλγεα πασχων.
Τριχθα δε ϝοικηθεν καταφυλαδον, ηδ' εφιληθεν
Εκ Διος, ὁς τε Θεοισι και ανθρωποισι ϝανασσει·
Και σφιν θεσπεσιον πλουτον κατεχευε Κρονιων.
Νιρευς δ' αυ Συμηθεν αγε τρεις νηας εϊσας,

---

653. Ἡρακλεϊδης. Herculis filius: Secundum analogiam Ἡρακλεειδης esset, sed patronymica sæpe ita finguntur, ut versum ineant; Δ. 488, Λ. 708, Μ. 117, Ο. 526. Forsitan tamen Ἡρακλιαδης legendum; vide Μ. 365.

654. Εκ Ϝροδου. E Rhodo: Vulgò, Ῥοδου· sed, ut ϝροδον, rosa, et Ϝροδιος, Μ. 20, digamma adsciscit.

658. Βιῃ Ἡρακλεεειῃ. Vi Herculeæ: pro Hercule ipso; ita, ϝις Οδυσηος, Ψ. 720. Vulgò, Ἡρακληειῃ· sed nusquam ita locatur, ut non solutè legere liceat; vide Α. 337. Knightius, Ἡρακλεεϊϝῃ.

661. τραφη εν ϝμεγαρῳ. nutritus erat in domo: Ita Γ. 201, Λ. 222, et ita Ed. Pr. Alii, τραφ' ενι μεγαρῳ. Vide Ε. 555.

666. Ὑϊες. Filii: ab ὑϊς· Α. 489. Ita rectè Knightius. Primam producit, ut ἱερος, Α. 147. Vulgò, Υἱεες, quæ vox nihili est. Ita, Αρσενες οϊες ησαν, Od. ι. 425.

670. κατεχευε. profudit: Sic Pindarus, Βρεχε Θεων βασιλευς ὁ μεγας Χρυσαις νιφαδεσσι πολιν. Ol. 7. 63, et, Πολυν ὑσε χρυσον, Ol. 7. 91. Knightius versum damnat.

671. Νιρευς. “Miro artificio Poeta virum nullius pretii et nunquam

Νιρευς, Αγλαΐης υἱος, Χαροπος τε ϝανακτος,
Νιρευς, ὁς καλλιστος ανηρ ὑπο Ϝιλιον ηλθε,
Των αλλων Δαναων, μετ᾽ αμυμονα Πηλεΐωνα·
Αλλ᾽ αλαπαδνος εεν, παυρος δε ϝοι ἑσπετο λαος.
Οἱ δ᾽ αρα Νισυρον τ᾽ ειχον, Κραπαθον τε, Κασον τε,
Και Κων, Ευρυπυλοιο πολιν, νησους τε Καλυδνας·
Των αυ Φειδιππος τε και Αντιφος ἡγησασθην,
Θεσσαλου υἱε δυω, Ἡρακλεΐδαο ϝανακτος·
Των δε τριηκοντα γλαφυραι νεες εστιχοωντο.
Νυν δ᾽ αυτως, ὁσσοι το Πελασγικον Αργος εναιον,
Οἱ τ᾽ Αλον, οἱ τ᾽ Αλοπην, οἱ τε Τρηχιν᾽ ενεμοντο,
Οἱ τ᾽ ειχον Φθιην, ηδ᾽ Ἑλλαδα καλλιγυναικα,
Μυρμιδονες δε καλευντο, και Ἑλληνες, και Αχαιοι·
Των αυ πεντηκοντα νεων ην αρχος Αχιλλευς.
Αλλ᾽ οἱγ᾽ ου πολεμοιο δυσηχεος εμναοντο·
Ου γαρ εεν, ὁς τις σφιν επι στιχας ἡγησαιτο·
Κειτο γαρ εν νηεσσι ποδαρκης διος Αχιλλευς,
Κουρης χωομενος Βρισηΐδος ηϋκομοιο,
Την εκ Λυρνησσου εξειλετο, πολλα μογησας,
Λυρνησσον διαπορθησας, και τειχεα Θηβης·

---

alias memoratum, ad memoriam tamen *mero orationis Schemate* nescio quomodo notabilem efficit." Clarkius ex Aristotele, et Demetrio Phalereo.

672. Χαροπος τε ϝανακτος. Charopisque regis: Vulgò, Χαροποιο τ᾽ ανακτος in promptu est, Χαροπου τε, cum Bentleio emendare, sed nomen Χαροψ erat, Λ. 426.

673. ὁς καλλιστος ανηρ. quo pulchrior alter
Non fuit excepto Laurentis corpore Turni. Æn. vii. 649.

675. ἑσπετο. sequebatur: Ita Γ. 376, et alibi; vulgò hìc, εἱπετο· eandem tamen scripturam ubique servandam duxi. Hinc Latinè, sequor, π in qu verso.

681. Νυν δ᾽ αυτως. Nunc verò frustra: tunc enim bello abstinebant, Β. 686. MSS. Νυν δ᾽ αυτους, habent, quod in grammaticam peccat, ut et Stephani emendatio, Νυν δ᾽ αυ τους· hunc tamen secuti sunt editores omnes. Knightius versum damnat, ut et 684.

684. Ἑλληνες. Ὁμηρος ουδαμου τους ξυμπαντας ωνομασεν Ἑλληνας, ουδ᾽ αλλους η τους μετ᾽ Αχιλλεως εκ της Φθιωτιδος, οἱπερ και πρωτοι Ἑλληνες ησαν, Δαναους δε εν τοις επεσι, και Αργειους, και Αχαιους ανακαλει. Thucyd. Lib. i.

686. πολεμοιο δυσηχεος. belli ærumnosi: a δυς, male, et αχος, dolor. Hæc dictio in septem locis occurrit, et θανατοιο δυσηχεος in tribus. Ita, δυσηλεγεος θανατοιο, Υ. 154. Alii a ϝηχη deducunt; ut, δυσκελαδος φοβος, et αιγιαλος πολυϝηχης, Δ. 422; tum, πολεμου δυσϝηχεος, legendum esset. Zeno-

Καδδε Μυνητ' εβαλεν και Επιστροφον εγχεσιμωρους,
Ὑϊας Ευηνοιο, Σεληπιαδαο ϝανακτος·
Της ὁγε κειτ' αχεων, ταχα δ' ανστησεσθαι εμελλεν.
Οἱ δ' ειχον Φυλακην, και Πυρρασον ανθεμοεντα,
Δημητρος τεμενος, Ιτωνα τε, μητερα μηλων,
Αγχιαλον τ' Αντρων', ηδε Πτελεον λεχεποιην·
Των αυ Πρωτεσιλαος Αϝρηϊος ἡγεμονευε,
Ζωος εων· τοτε δ' ηδη εχεν κατα γαια μελαινα.
Του δε και αμφιδρυφης αλοχος Φυλακηθι λελειπτο,
Και δομος ἡμιτελης· τον δ' εκτανε Δαρδανος ανηρ,
Νηος αποθρωσκοντα πολυ πρωτιστον Αχαιων.
Ουδε μεν ουδ' οἱ αναρχοι εσαν, ποθεον γε μεν αρχον·
Αλλα σφεας κοσμησε Ποδαρκης, οζος Αϝρηος,
Ϝιφικλου υἱος πολυμηλου Φυλακιδαο,
Αυτοκασιγνητος ϝμεγαθυμου Πρωτεσιλαου,
Ὁπλοτερος γενεῃ· ὁ δ' αρα προτερος και αρειων,
Ἡρως Πρωτεσιλαος Αϝρηϊος· ουδε τι λαοι
Δευονθ' ἡγεμονος, ποθεον δε μιν εσθλον εοντα.
Τῳ δ' ἁμα τεσσαρακοντα μελαιναι νηες ἑποντο.
Οἱ δε Φερας ενεμοντο παρα Βοιβηϊδα λιμνην,

---

dotus novem versus damnabat. εμναοντο. memores erant: Vulgò, εμνωοντο· verbum tamen est μναομαι, et μνησομαι, μεμνημαι, format. Knightius εμναϝοντο edidit. Vide 'Ηβαοιμι, Η. 157.

687. Ου γαρ εεν, ὁς τις σφιν. Non enim erat, qui quis eos: id est, Ουτις ηεν, ὁς σφιν.

690. εκ. Forsitan, αρα· Β. 719. Zenodotus, εν Λυρνησσῳ.

692. εγχεσιμωρους. hastis deditos, bellicosos: Ita, ϝιομωροι, Δ. 242, et κυνες ὑλακομωροι, Od. ξ. 29.

694. Της ὁγε κειτ' αχεων. Ejus ille jacebat dolens: id est, Της ἑνεκα, Ejus causâ. Knightius versum damnat, quia χωομενος et non αχεων erat. Causa quidem parum idonea videtur.

700. Φυλακηθι λελειπτο. Vulgò, Φυλακῃ ελελειπτο· vide Β. 418.

701. Δαρδανος ανηρ. Dardanus homo: Nonnulli Euphorbum fuisse volunt, quia ita vocetur, Π. 807; alii Æneam, Dardanorum principem, Β. 819; alii Hectorem.

703. Ουδε μεν ουδ' οἱ αναρχοι εσαν, ποθεον γε μεν αρχον. Neque quidem neque ii sine duce erant, desiderabant enim ducem. Negatio passim eleganter repetitur, ut Β. 726, Ε. 22, Μ. 212. γε μεν idem ac γαρ et γε ϝρα significat. Vulgò male interpretes, desiderabant tamen ducem suum, id est, Protesilaum.

708. Ἡρως Πρωτεσιλαος. Knightius et Heynius duos versus damnant.

Βοιβην, και Γλαφυρας, και εϋκτιμενην Ιαωλκον·
Των ηρχ' Αδμητοιο φιλος παϊς ἑνδεκα νηων,
Ευμηλος, τον ὑπ' Αδμητῳ τεκε δῖα γυναικων
Αλκηστις, Πελιαο θυγατρων ϝειδος αριστη.
Οἱ δ' αρα Μηθωνην και Θαυμακιην ενεμοντο,
Και Μελιβοιαν εχον, και Ολιζωνα τρηχειαν·
Των δε Φιλοκτητης ηρχεν, τοξων εῢ ϝειδως,
Ἑπτα νεων· ερεται δε ϝεκαστῃ πεντηκοντα
Εμβεβασαν, τοξοις μεμαωτες ϝιφι μαχεσθαι.
Αλλ' ὁ μεν εν νησῳ κειτο κρατερ' αλγεα πασχων,
Λημνῳ εν ηγαθεῃ, ὁθι μιν λιπον υἱες Αχαιων,
Ἑλκεϊ μοχθιζοντα κακῳ ολοοφρονος ὑδρου.
Ενθ' ὁγε κειτ' αχεων· ταχα δε μνησεσθαι εμελλον
Αργειοι παρα νηυσι Φιλοκτηταο ϝανακτος.
Ουδε μεν ουδ' οἱ αναρχοι εσαν, ποθεον γε μεν αρχον·
Αλλα Μεδων κοσμησεν, Οϊληος νοθος υἱος,
Τον ϝρ' ετεκε Ϝρηνη ὑπ' Οϊλῆϊ πτολιπορθῳ.
Οἱ δ' ειχον Τρικκην, και Ιθωμην κλιμακοεσσαν,
Οἱ τ' εχον Οιχαλιην, πολιν Ευρυτου Οιχαλιηος·
Των αυθ' ἡγεισθην Ασκληπιοφιν δυο παιδε,
Ιητηρ' αγαθω, Ποδαλειριος ηδε Μαχαων·
Τοις δε τριηκοντα γλαφυραι νεες εστιχοωντο.
Οἱ τ' εχον Ορμενιον, οἱ τε κρηνην Ὑπερειαν,
Οἱ τ' εχον Αστεριον, Τιτανοιο τε λευκα καρηνα·
Των ηρχ' Ευρυπυλος, Ευαιμονος αγλαος υἱος·

---

719. ερεται δε ϝεκαστῃ πεντηκοντα Εμβεβασαν. remiges verò unâquâque quinquaginta Incedebant: Ita rectè Heynius; Bentleius prætermisit. Vulgò, ερεται δ' εν ἑκαστῃ· Homerus tamen præpositionem, quæ in verbo continetur, raro ante casum repetit. Εμβεβασαν pro ενεβεβηκεισαν ponitur.

720. τοξοις μεμαωτες ϝιφι μαχεσθαι. arcubus cupientes fortiter pugnare: Ita, μεμαωτες ορεκτῃσι ϝμελιῃσι, Β. 543. Vulgò, τοξων ευ ειδοτες ιφι μαχεσθαι. τοξων μαχεσθαι tamen dici nequit, et ϝιφι digamma postulat; quo perdito, quidam, ευ ειδοτες, emendavit. Bentleius, ηδε μαχεσθαι, proposuit, quod Heynius jure improbat. Knightius pro solito versum damnat, ut et versus, 724, 725.

729. κλιμακοεσσαν. abruptam, gradibus ascensam: Ita Venetus, et κλιμαξ, scala, sæpe in Odysseâ occurrit. Alii, κλωμακοεσσαν, et κλημακοεσσαν, quæ sensum idoneum non præbent. Ithome in rupe sita erat, et obsidionem decem annorum sustinuit.

Τῷ δ' ἁμα τεσσαρακοντα μελαιναι νηες ἑποντο.
  Οἱ δ' Αργισσαν εχον, και Γυρτωνην ενεμοντο,
Ορθην, Ηλωνην τε, πολιν τ' Ολοοσσονα λευκην·
Των αυθ' ἡγεμονευε μενεπτολεμος Πολυποιτης,
Υἱος Πειριθοοιο, τον αθανατος τεκετο Ζευς·
Τον ϝρ' ὑπο Πειριθοῳ τεκετο κλυτος Ἱπποδαμεια,
Ηματι τῳ, ὁτε Φηρας ετισατο λαχνηεντας·
Τους δ' εκ Πηλιου ωσε, και Αιθικεσσι πελασσεν·
Ουκ οιος· ἁμα τῳγε Λεοντευς, οζος Αϝρηος,
Υἱος ὑπερθυμοιο Κορωνου Καινεϊδαο·
Τοις δ' ἁμα τεσσαρακοντα μελαιναι νηες ἑποντο.
  Γουνευς δ' εκ Κυφου ηγε δυω και εϝεικοσι νηας·
Τῳ δ' Ενιηνες ἑποντο, μενεπτολεμοι τε Περαιβοι,
Οἱ περι Δωδωνην δυσχειμερα ϝοικι' εθεντο,
Οἱ τ' αμφ' ἱμερτον Τιταρησον ϝεργ' ενεμοντο,
Ὁς ϝρ' ες Πηνειον προϊεῖ καλλιϝροον ὑδωρ,
Ουδ' ὁγε Πηνειῳ συμμισγεται αργυροδινῃ,
Αλλα τε μιν καθυπερθεν επιϝρεει, ηΰτ' ελαιον·
Ὁρκου γαρ δεινου Στυγος ὑδατος εστιν αποϝρωξ.
  Μαγνητων δ' ηρχε Προθοος, Τενθρηδονος υἱος,
Οἱ περι Πηνειον και Πηλιον εινοσιφυλλον
Ναιεσκον· των μεν Προθοος θοος ἡγεμονευε·
Τῳ δ' ἁμα τεσσαρακοντα μελαιναι νηες ἑποντο.
  Οὑτοι αρ ἡγεμονες Δαναων και κοιρανοι ησαν.
Τις τ' αρ των οχ' αριστος εεν, συ μοι εϝνεπε, Μουσα,

---

731. Ασκληπιοφιν δυο παιδε. Æsculapii duo nati: Ita Bentleius; vulgò, Ασκληπιου· sed Ασκληπιος penultimam corripit, Δ. 194, 204, Λ. 518. Idem error sæpe occurrit, ut αδελφειου pro αδελφεοφιν, et ὁμοιΐου pro ὁμοιΐοφιν. Vide Α. 208, Β. 145, 518, Ε. 21, Ι. 440.

742. Τον ϝρα. Knightius tres versus damnat, nullâ causâ idoneâ.

751. Οἱ τ' αμφ' ἱμερτον Τιταρησον ϝεργ' ενεμοντο. Quique circa jucundum Titaresum opera colebant: Vulgò, Τιταρησιον· nomen tamen fluvii Titaresus erat. Defendit Titaresus aquas. Lucan. 6. 376; Strabo, Pausanias. Sic perperam Καΰστριος et Αχελαΐος pro Καΰστρος et Αχελωος, Β. 461, Φ. 194. Bentleius, Τιταρησσον.

755. αποϝρωξ. fluvius ab alio derivatus; a ϝρησσω.

761. εϝνεπε. dic: Duplex forma, ενεπε et εννεπε, digamma indicat, ut et analogia verbi εϝειπον.

Αυτων, ηδ' ἱππων, οἱ ἁμ' Ατρειδῃσιν ἑποντο;
Ἱπποι μεν ϝμεγ' αρισται εσαν Φηρητιαδαο,
Τας Ευμηλος ελαυνε, ποδωκεας, ορνιθας ὡς,
Οτριχας, οϝετεας, σταφυλῃ επι νωτοφι ϝισας·
Τας εν Πιεριῃ θρεψ' αργυροτοξος Απολλων,
Αμφω θηλειας, φοβον Αϝρηος φορεουσας.
Ανδρων δε ϝμεγ' αριστος εεν Τελαμωνιος Αιας,
Ὁϝρ' Αχιλευς μηνιεν· ὁ γαρ πολυ φερτατος ηεν,
Ἱπποι θ', οἱ φορεεσκον αμυμονα Πηλεϊωνα.
Αλλ' ὁ μεν εν νηεσσι κορωνισι ποντοποροισι
Κειτ', απομηνισας Αγαμεμνονι, ποιμενι λαων,
Ατρειδῃ· λαοι δε παρα ϝρηγμινι θαλασσης
Δισκοισιν τερποντο και αιγανεῃσιν ἱεντες,
Τοξοισιν θ'· ἱπποι δε παρ' ἁρμασι ϝοισι ϝεκαστος,
Λωτον ερεπτομενοι, ελεοθρεπτον τε σελινον,
Ἑστασαν· ἁρματα δ' ευ πεπυκασμενα κειτο ϝανακτων
Εν κλισιῃς· οἱ δ' αρχον Αϝρηϊφιλον ποθεοντες
Φοιτων ενθα και ενθα κατα στρατον, ουδ' εμαχοντο.
Οἱ δ' αρ ισαν, ὡς ει τε πυρι χθων πασα νεμοιτο·
Γαια δ' ὑπεστοναχιζε, Διϊ ὡς τερπικεραυνῳ
Χωομενῳ, ὁτε κ' αμφι Τυφωεϊ γαιαν ιϝμασσῃ
Ειν Αριμοις, ὁθι φασι Τυφωεος εμμεναι ευνας·
Ὡς αρα των ὑπο ποσσι ϝμεγα στοναχιζετο γαια
Ερχομενων· μαλα δ' ωκα διεπρησσον πεδιοιο.

---

765. Οτριχας, οϝετεας. Ejusdem pili et ætatis: pro ὁμοτριχας, et ὁμοϝετεας· οϝετεας primam, ut Διογενης, producit, Α. 337. Sic, οπατρος, Λ. 257. Vulgò, οιετεας. σταφυλῃ επι νωτοφι ϝισας· plumbo ad dorsum æquales: σταφυλη est plumbum funiculo ab amussi suspensum ad locorum altitudinem æquandam. Vulgò, επι νωτον εϊσας· sed εϊσα, bona, loco non convenit; Α. 306.

769. Ὁϝρ' Αχιλευς μηνιεν. Dum Achilles irascebatur: Forsan, Ὁϝρα κ' Αχιλλευς μηνι'· μηνιω enim nusquam alibi penultimam in imperfecto producit, licèt semper in aoristo primo.

781. Διϊ ὡς τερπικεραυνῳ Χωομενῳ. Jove ut tonante irato: id est, ὑπο Διϊ, sub Jove. Διος scripsisse potuit, sed dativus in ι iterum ante vocalem in cæsurâ producitur, Ω. 285, et sæpe in Odysseâ; vide Α. 578. Bentleius ϝως proposuit, sed sæpe digamma rejicit, ut Γ. 196, Θ. 94. Græcorum Catalogus descriptione splendidâ terminatur.

Τρωσιν δ' αγγελος ηλθε ποδηνεμος ωκεα Fιρις,
Παρ Διος αιγιοχοιο, συν αγγελιῃ αλεγεινῃ.
Οἱ δ' αγορας αγορευον επι Πριαμοιο θυρῃσι,
Παντες ὁμηγερεες, ημεν νεοι, ηδε γεροντες·
Αγχοθι δ' ἱσταμενη προσεφη ποδας ωκεα Fιρις·
Fεισατο δε φθογγην ὑϊι Πριαμοιο Πολιτῃ,
Ὁς Τρωων σκοπος ἱζε, ποδωκειῃσι πεποιθως,
Τυμβῳ επ' ακροτατῳ Αισυηταο γεροντος,
Δεγμενος ὁπποτε ναυφιν αφορμηθειεν Αχαιοι·
Τῳ μιν fεισαμενη μετεφη ποδας ωκεα Fιρις·
Ω γερον, αιει τοι μυθοι φιλοι ακριτοι εισιν,
Ὡς ποτ' επ' ειρηνης· πολεμος δ' αλιαστος ορωρεν.
Η μεν δη μαλα πολλα μαχας εισηλυθον ανδρων,
Αλλ' ου πω τοιονδε τοσονδε τε λαον οπωπα·
Λιην γαρ φυλλοισι fεfοικοτες, η ψαμαθοισιν,
Ερχονται πεδιοιο, μαχησομενοι περι fαστυ.
Ἑκτορ, σοι δε μαλιστ' επιτελλομαι ὡδε γε fρεξαι·
Πολλοι γαρ κατα fαστυ fμεγα Πριαμου επικουροι,
Αλλη δ' αλλων γλωσσα πολυσπερεων ανθρωπων·
Τοισι fεκαστος ανηρ σημαινετω, οἱσι περ αρχει·
Των δ' εξηγεισθω, κοσμησαμενος πολιητας.
Ὡς εφαθ'· Ἑκτωρ δ' ουτι Θεας fεπος ηγνοιησεν,
Αιψα δ' ελυσ' αγορην· επι τευχεα δ' εfσευοντο.
Πασαι δ' ωϊγνυντο πυλαι, εκ δ' εfσυτο λαος,

---

782. ιfμασσῃ. verberet: Ιfμας digamma postulat, quia primam ancipitem habeat, et quia fμαστιξ inde fluat. Vide Γ. 371.

783. Ειν Αριμοις. durumque cubile
Inarime Jovis imperiis imposta Typhœo. Æn. ix. 716.

786. ποδηνεμος ωκεα Fιρις. pede ventoso cita Iris: Fιρις in locis septem et viginti digamma postulat, in decem admittit, in tribus rejicit, Ε. 365, Λ. 27, Ψ. 198.

791. Fεισατο. Knightius quinque versus damnat.

794. ναυφιν. a navibus: pro νηων· præpositio in verbo continetur. Knightius versum damnat, ut et sequentem, et tres præcedentes.

802. Ἑκτορ. Knightius quinque versus damnat.

806. πολιητας. cives: id est, cives suos. Hæc forma non alibi occurrit, sed nec πολιτης nisi in duobus locis. Potuit forsitan, πολιν αυτου, vel πολεμονδε scripsisse, vel etiam, Τους αρα κοσμησας, ἡγεισθω fοισιν ἑταfροις.

Πεζοι θ', ἱππηες τε· πολυς δ' ορυμαγδος ορωρει.
Εστι δε τις προπαροιθε πολεος αιπεια κολωνη,
Εν πεδιῳ απανευθε, περιδρομος ενθα και ενθα·
Την ητοι ανδρες Βατιειαν κικλησκουσιν,
Αθανατοι δε τε σημα πολυσκαρθμοιο Μυριννης·
Ενθα τοτε Τρωες τε διεκριθεν, ηδ' επικουροι.
Τρωσι μεν ἡγεμονευε ϝμεγας κορυθαιολος Ἑκτωρ,
Πριαμιδης· ἁμα τῳγε πολυ πλειστοι και αριστοι
Λαοι θωρησσοντο, μεμαοτες εγχειῃσι.
Δαρδανιων αυτ' ηρχεν εΰς παϊς Αγχισαο,
Αινειας· τον ὑπ' Αγχισῃ τεκε δι' Αφροδιτη,
Ιδης εν κνημοισι, Θεα βροτῳ ευνηθεισα·
Ουκ οιος· ἁμα τῳγε δυω Αντηνορος υἱε,
Αρχελοχος τ', Ακαμας τε, μαχης ευ ϝειδοτε πασης.
Οἱ δε Ζελειαν εναιον ὑπαι ποδα νειατον Ιδης,
Αφνειοι, πινοντες ὑδωρ μελαν Αισηποιο,
Τρωες· των αυτ' ηρχε Λυκαονος αγλαος υἱος,
Πανδαρος, ᾡ και τοξον Απολλων αυτος εδωκεν.
Οἱ δ' Αδρηστειαν τ' ειχον, και δημον Απαισου,
Και Πιτυειαν εχον, και Τηρειης ορος αιπυ·
Των ηρχ' Αδρηστος τε και Αμφιος λινοθωρηξ,
Υἱε δυω Ϝμεροπος Περκωσιου, ὁς περι παντων
Ϝοιδεε μαντοσυνας· ουδ' αρ ϝους παιδας εϝασκε
Στειχειν ες πολεμον φθισηνορα· τω δε ϝοι ουτι
Πειθεσθην· κηρες γαρ αγον μελανος θανατοιο.

---

811. προπαροιθε πολεος. ante urbem: Triplex forma, πολεος, πολιος, et πολησς· πολεως forma non Homerica est. εο diphthongus est; Β. 96, Φ. 567. Heynius, πολιος προπαροιθ', proponit; sed πολει et πολεις sæpe occurrunt.

816. Τρωσι μεν ἡγεμονευε. Trojanorum copiæ minùs fusè describuntur. Populi sedecim, duces septem et viginti nominantur; totus exercitus quinquaginta millia continebat; Θ. 557.

823. Αρχελοχος. Ita, αρχεκακος, Ε. 63. Malè Barnesius Αρχιλοχος induxit.

824. Οἱ δε Ζελειαν εχον. Quique Zeleam incolebant: Vocalis ante duplicem consonantem necessitate corripitur; Β. 465.

832. ουδ' αρ ϝους παιδας εϝασκε. neque sanè suos filios permittebat. Ed. Pr, et MSS. optimi, ουδε ἑους· alii, ουδε οὑς. Particulam inserui, quæ et sensu desideratur, et metrum plenius reddit.

Οἱ δ' αρα Περκωτην και Πρακτιον αμφενεμοντο,
Και Σηστον, και Αβυδον εχον, και διαν Αρισβην·
Των αυθ' Ὑρτακιδης ηρχ' Ασιος, ορχαμος ανδρων,
Ασιος Ὑρτακιδης, ὁν Αρισβηθεν φερον ἱπποι,
Αιθωνες, ϝμεγαλοι, ποταμοῦ απο Σελληεντος.
Ἱπποθοος δ' αγε φυλα Πελασγων εγχεσιμωρων,
Των, οἱ Λαρισσαν εριβωλακα ναιεταασκον·
Των ηρχ' Ἱπποθοος τε, Πυλαιος τ', οζος Αϝρηος,
Ὑἱε δυω Ληθοιο Πελασγου Τευταμιδαο.
Αυταρ Θρηΐκας ηγ' Ακαμας, και Πειροος ἡρως,
Ὁσσους Ἑλλησποντος αγαϝροος εντος εεργει.
Ευφημος δ' αρχος Κικονων ην αιχμηταων,
Ὑἱος Τροιζηνοιο Διοτρεφεος Κεαδαο.
Αυταρ Πυραιχμης αγε Παιονας αγκυλοτοξους,
Τηλοθεν εξ Αμυδωνος, απ' Αξιου ευρυ ϝρεοντος,
Αξιου, οὗ καλλιστον ὑδωρ επικιδναται αιαν.
Παφλαγονων δ' ἡγειτο Πυλαιμενεος λασιον κῆρ,
Εκ Ϝενετων, ὁθεν ἡμιονων γενος αγροτεραων,
Οἱ ϝρα Κυτωρον εχον, και Σησαμον αμφενεμοντο,
Αμφι τε Παρθενιον ποταμον κλυτα δωματ' εναιον,
Κρωμναν τ', Αιγιαλον τε, και ὑψηλους Ερυθινους.
Αυταρ Ἁλιζωνων Ὀδιος και Επιστροφος ηρχον,
Τηλοθεν εξ Αλυβης, ὁθεν αργυρου εστι γενεθλη.
Μυσων δε Χρομις ηρχε, και Εννομος οιωνιστης·
Αλλ' ουκ οιωνοισι ϝερυσσατο κηρα μελαιναν·

---

844. Πειροος ἡρως. Pirous heros: Alii, Πειρως· sed versus a duabus vocibus spondaicis terminari nequit.

850. Αξιου, οὗ καλλιστον ὑδωρ επικιδναται αιαν. Axii, cujus pulcherrima aqua funditur super terram: Sic, Αξιου, ὁς καλλιστον ὑδωρ επι γαιαν ἱησι, Φ. 158. Alii, αιῃ. Fluvius fontem limpidissimum habebat, licèt ipse turbidus esset, secundum Strabonem. Nomen fontis, Αια, fuisse dicit, sed videtur ex hoc versu tractum. Knightius versum damnat, ut et versus 860, 861, 873, 874, 875.

852. Εκ Ϝενετων. E Venetis: Hinc Veneti in Italiâ originem trahunt.

858. Χρομις ηρχε. Chromius duxit: Nomen quidem Χρομιος erat, Ρ. 218, 494, 534, unde Knightius, Χρομιος τε, edidit. Potest tamen nomen præcisum esse, ut Πατροκλος pro Πατροκλεης, et Αλκιμος pro Αλκιμεδων. Alii Chromii memorantur, Δ. 295, Ε. 160, 677, Θ. 275. Hesychius, Χρομις, ειδος ιχθυος, habet.

Αλλ᾽ εδαμη ὑπο χερσι ποδωκεος Αιακιδαο,
Εν ποταμῳ, ὁθι περ Τρωας κεραϊζε και αλλους.
 Φορκυς αυ Φρυγας ηγε, και Ασκανιος θεοϝειδης,
Τηλ᾽ εξ Ασκανιης· μεμασαν δ᾽ ὑσμινι μαχεσθαι.
 Μηοσιν αυ Μεσθλης τε και Αντιφος ἡγησασθην,
Υἱε Πυλαιμενεος, τω Γυγαιη τεκε λιμνη,
Οἱ και Μηονας ηγον ὑπο Τμωλῳ γεγαωτας.
 Ναστης αυ Καρων ἡγησατο βαρβαροφωνων,
Οἱ Μιλητον εχον, Φθειρων τ᾽ ορος ακριτοφυλλον,
Μαιανδρου τε ϝροας, Μυκαλης τ᾽ αιπεινα καρηνα·
Των μεν αρ Αμφιμαχος και Ναστης ἡγησασθην,
Ναστης, Αμφιμαχος τε, Νομιονος αγλαα τεκνα,
Ὁς και χρυσον εχων πολεμονδ᾽ ιεν, ηΰτε κουρη,
Νηπιος· ουδε τι ϝοι τογ᾽ επηρκεσε λυγρον ολεθρον·
Αλλ᾽ εδαμη ὑπο χερσι ποδωκεος Αιακιδαο,
Εν ποταμῳ· χρυσον δ᾽ Αχιλευς εκομισσε δαϊφρων.
 Σαρπηδων δ᾽ ηρχεν Λυκιων, και Γλαυκος αμυμων,
Τηλοθεν εκ Λυκιης, Ξανθου απο δινηεντος.

---

863. ὑσμινι. in certamine: pro ὑσμινηθι. Β. 418.

ὉΜΗΡΟΥ ΙΛΙΑΣ.

Γ.

ARGUMENTA.

Ὁρκοι· Τειχοσκοπια· Μονομαχια.
Γαμμα δ', Αλεξανδρῳ μαχετο ξανθος Μενελαος.

1. Exercitibus ordinatis, in prælium itur.—15. Paris Græcorum principes provocat.—21. Menelaus ei adversatur.—30. Paris ei cedit.—38. Hector eum increpat.—58. Paris Menelao obviam ire suscipit.—76. Hector pugnam singularem Græcis proponit.—96. Menelaus accipit.—121. Iris Helenam arcessit.—139. Helena muros petit.—154. Seniores eam admirantur.—161. Priamus ad se vocat, et Græcorum principum nomina sciscitatur.—171. Helena submissè ei respondet, et Agamemnonem indicat.—181. Priamus eum miratur.—191. De Ulysse sciscitatur.—203. Antenor variam Menelai et Ulyssis eloquentiam designat.—225. Helena Ajacem, et Idomeneum indicat, et fratres suos absentes quærit.—245. Idæus Priamum arcessit.—264. Sacris factis, fœdus feritur.—303. Priamus ad urbem redit.—314. Hector et Ulysses campum parant.—328. Paris armatur.—340. In prœlium itur.—346. Paris et Menelaus hastas frustra jaciunt.—361. Menelao ensis frangitur.—369. Menelaus Paridem galeâ trahit.—373. Venus Paridem eripit.—383. Helenam a muris vocat.—395. Helena redire recusat.—413. Venus ei minatur.—427. Helena Paridem increpat.—437. Paris eam dictis mulcet.—449. Menelaus Paridem frustra quærit.

‘ΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Γ.

ΑΥΤΑΡ επει κοσμηθεν ἁμ’ ἡγεμονεσσι ϝεκαστοι,
Τρωες μεν κλαγγῃ τ’, ενοπῃ τ’ ισαν, ορνιθες ὡς·
Ηΰτε περ κλαγγη γερανων πελει ουρανοθι προ,
Αἱ τ’, επει ουν χειμωνα φυγον και αθεσφατον ομβρον,
Κλαγγῃ ταιγε πετονται επ’ Ωκεανοιο ϝροαων,
Ανδρασι Πυγμαιοισι φονον και κηρα φερουσαι·
Ηεριαι δ’ αρα ταιγε κακην εριδα προφερονται.
Οἱ δ’ αρ ισαν σιγῃ μενεα πνειοντες Αχαιοι,
Εν θυμῳ μεμαωτες αλεξεμεν αλληλοισιν.
Ευτ’ ορεος κορυφῃσι Ϝνοτος κατεχευεν ομιχλην,
Ποιμεσιν ουτι φιλην, κλεπτῃ δε τε νυκτος αμεινω,
Τοσσον τις τ’ επι λευσσει, ὁσον τ’ επι λααν ἱησιν·

---

2. Τρωες μεν κλαγγῃ. Homerus semper Græcis favet, et eorum in bello virtutem laudat; in Trojanorum exercitu, magna linguarum diversitas erat. Δ. 437. Bentleius, ορνιθες ϝως, proposuit.

3. Ηΰτε περ κλαγγη. Quales sub nubibus atris
Strymoniæ dant signa grues, atque æthera tranant
Cum sonitu, fugiuntque Notos clamore secundo. Æn. x. 264.

4. χειμωνα φυγον. aves ubi frigidus annus
Trans pontum fugat, et terris immittit apricis. Æn. vi. 311.

6. Ανδρασι Πυγμαιοισι. Knightius duos versus damnat, cùm Pygmæos Homero ignotos fuisse censeat.
Ad subitas Thracum volucres, nubemque canoram,
Pygmæus parvis currit bellator in armis;
Mox impar hosti, raptusque per aera curvis
Unguibus, a sævâ fertur grue. Juvenal. xiii. 168. Plin. vii. 2.

7. Ηεριαι. Matutinæ: Α. 497.

8. Οἱ δ’ αρ ισαν σιγῃ. Pulcherrima militum pugnam ineuntium descriptio; ita Δ. 429. Pugnâ tamen commissâ clamabant et Achivi; Δ. 456, 506.

10. Ευτ’ ορεος. Quando montis: Rarò Homerus similitudinem sine ‘Ως inducit, ideoque interpretes Ευτε hîc pro ‘Ως poni censent; sed tum ὁτε desideraretur. Knightius, Ηΰτ’ ορεος, edidit; melius esset, ‘Ως ὁτ’ ορεος· sed notandum est ορος in obliquis ubique tres syllabas habere.

12. επι τοσσον. eousque: Vulgò, επιλευσσει. Sic, εφ’ ὁσον, quousque; Β. 617.

῾Ως αρα των ὑπο ποσσι κονισαλος ωρνυτ᾽ αελλης
Ερχομενων· μαλα δ᾽ ωκα διεπρησσον πεδιοιο.
Οἱ δ᾽ ὁτε δη σχεδον ησαν επ᾽ αλληλοισιν ιοντες,
Τρωσιν μεν προμαχιζεν Αλεξανδρος θεοϝειδης,
Παρδαλεην ωμοισιν εχων, και καμπυλα τοξα,
Και ξιφος· αυταρ ὁ δουρε δυω κεκορυθμενα χαλκῳ
Παλλων, Αργειων προκαλιζετο παντας αριστους
Αντιβιον μαχεσασθαι εν αινῃ δηϊοτητι.
Τον δ᾽ ὡς ουν ενοησεν Αϝρηϊφιλος Μενελαος
Ερχομενον προπαροιθεν ὁμιλου, μακρα βιβῶντα·
῾Ως τε λεων εχαρη ϝμεγαλῳ επι σωματι κυρσας,
Εὑρων η ελαφον κεραον, η αγριον αιγα,
Πεινοων· μαλα γαρ τε κατεσθιει, αι κε περ αυτον
Ϝσευωνται ταχεες τε κυνες, θαλεροι τ᾽ αιζηοι·
῾Ως εχαρη Μενελαος Αλεξανδρον θεοϝειδεα
Οφθαλμοισι ϝιδων· φατο γαρ τισασθαι αλειτην·
Αυτικα δ᾽ εξ οχεων συν τευχεσιν αλτο χαμαζε.
Τον δ᾽ ὡς ουν ενοησεν Αλεξανδρος θεοϝειδης
Εν προμαχοισι φανεντα, κατεπληγη φιλον ητορ·

---

16. Αλεξανδρος θεοϝειδης. Paris Dei formam habens: erat enim pulcherrimus; optimè eum primum inducit poeta, cùm belli causa fuerit.

20. εν αινῃ δηϊοτητι. in sævâ pugnâ: Forsitan, δαϊοτητι· Β. 415.

22. μακρα βιβῶντα. magnis passibus ingredientem:

23. ῾Ως τε λεων. Impastus stabula alta leo ceu sæpe peragrans
(Suadet enim vesana fames) si fortè fugacem
Conspexit capream, aut surgentem in cornua cervum,
Gaudet hians immane, comasque erexit, et hæret
Visceribus super accumbens; lavit improba teter
Ora cruor. Æn. x. 723.

23. κυρσας, εὑρων, πεινοων. occurrens, inveniens, esuriens: Participia passim sine nexu junguntur; ut Γ. 47, 345. Πεινοων solitam contractionem effugit, ut et Π. 758, Σ. 162. Sic περαον, Π. 367; ναιεταουσι, Δ. 45.

28. αλειτην. peccatorem: ab αλειτης. Ita interpretes.

29. αλτο χαμαζε. Sistit equos bijuges, et curru desilit. Æn. xii. 355.
e curru saltum dedit ocyùs arvis. Æn. xii. 681.

31. κατεπληγη φιλον ητορ. perculsus est suo corde: Mentem enim subiit hospitium violatum; uxor, opesque raptæ. Clarkius aoristum secundum rarò produci monuit; eundem in Tragicis corripi; Ερωτι θυμον εκπλαγεις Ιησονος. Med. 8.

33. ῾Ως δ᾽ ὁτε τις τε δρακοντα.
Improvisum aspris veluti qui sentibus anguem
Pressit humi nitens, trepidusque repentè refugit

Αψ δ' ἑταϝρων ες ϝεθνος εχαζετο κηρ' αλεεινων.
Ὡς δ' ὁτε τις τε δρακοντα ϝιδων παλινορσος απεστη
Ουρεος εν βησσῃς, ὑπο τε τρομος εϝλαβε γυια,
Αψ τ' ανεχωρησεν, ωχρος τε μιν εϝλε παρειας·
Ὡς αυτις καθ' ὁμιλον εδυ Τρωων αγερωχων,
Δεισας Ατρεος υἱον, Αλεξανδρος θεοϝειδης.
Τον δ' Ἑκτωρ νεικεσσε ϝιδων αισχροις ϝεπεεσσι·
Δυσπαρι, ϝειδος αριστε, γυναιμανες, ηπεροπευτα,
Αιθ' οφελες τ' αγονος τ' εμεναι, αγαμος τ' απολεσθαι·
Και κε το βουλοιμην, και κεν πολυ κερδιον ηεν,
Η οὑτω λωβην τ' εμεναι και εποψιον αλλων.
Η που καγχαλοωσι καρηκομοωντες Αχαιοι,
Φαντες αριστηα προμον εμμεναι, οὑνεκα καλον
Ϝειδος επ'· αλλ' ουκ εστι βιη φρεσιν, ουδε τις αλκη.
Η τοιοσδ' αρ εων, εν ποντοποροισι νεεσσι
Ποντον επιπλωσας, ἑταϝρους εριηρας αγειρας,
Μιχθεις αλλοδαποισι, γυναικ' ευϝειδε' ανηγες
Εξ Απιης γαιης, νυον ανδρων αιχμηταων,
Πατρι τε σῳ ϝμεγα πημα, ποληϊ τε, παντι τε δημῳ,

Attolentem iras, et cærula colla tumentem:
Haud secus Androgeos visu tremefactus abibat. Æn. ii. 379.

34. εϝλαβε. prehendit: Hinc constat verbum digamma adsciscere; vulgò, ελλαβε scribitur, sed littera λ nullâ ratione post augmentum duplicari potest. Vide Α. 407.

36. αυτις. rursus: Alii, αυθις. MSS. inter αυθις et αυτις ubique variant; hanc formam, ut magis Homericam, prætuli.

40. Αιθ' οφελες τε. Utinam deberesque: Triplex τε sæpe occurrit, ut, τα μεν τ' Ευρος τε Ϝνοτος τε, Β. 145.

41. βουλοιμην, ηεν. Et tum hoc vellem, et tum multò melius erat, Quam ita dedecusque esse, et spectaculum aliis: Modi diversi junguntur, cùm alterutro uti licuerit. Alii male, ὑποψιον.

44. προμον. in primâ acie bellantem: Vox concisa est pro προμαχον.

46. Η τοιοσδ' αρ εων. An talis sanè existens: Vulgò, τοιοσδε εων, contra metrum. Bentleius, τοιουτος· Knightius, τοιος δη.

47. Ποντον επιπλωσας. Mare navigans: ab επιπλωμι· ita επιπλως, Ζ. 291. εριηρας, valdè caros: ερι in compositione non eliditur; in singulari εριηρος est, Δ. 266.

48. αλλοδαποισι. alienigenis: alio solo natis, ab αλλος et δαπεδον.

49. νυον ανδρων αιχμηταων. nuptam virorum bellicosorum: Apud Græcos femina, non tantùm marito, sed toti ejus familiæ, nubere censebatur, quæ exinde eam tueri et ulcisci tenebatur.

Δυσμενεσιν μεν χαρμα, κατηφειην δε σοι αυτῳ;
Ου κεν δη μεινειας Αϝρηϊφιλον Μενελαον;
Γνοιης χ', οἱου φωτος εχεις θαλερην παρακοιτιν.
Ου κεν τοι χραισμῃ κιθαρις, τα τε δωρ' Αφροδιτης,
Ἡ τε κομη, το τε ϝειδος, ὁτ' εν κονιηθι μιγειῃς.
Αλλα μαλα Τρωες δειδημονες· η τε κεν ηδη
Λαων ϝεσσο χιτωνα, κακων ενεχ', ὁσσα ϝεϝοργας.
Τον δ' αυτε προσεϝειπεν Αλεξανδρος θεοϝειδης·
Ἑκτορ, επει με κατ' αισαν ενεικεσας, ουδ' ὑπερ αισαν·
Αιει τοι κραδιη, πελεκυς ὡς, εστιν ατειρης,
Ὁς τ' εισιν δια δουρος ὑπ' ανερος, ὁς ϝρα τε τεχνῃ
Νηϊον εκταμνησιν, οφελλει δ' ανδρος εϝρωην·
Ὡς τοι ενι στηθεσσιν αταρβητος νοος εστι.
Μη μοι δωρ' ερατα προφερε χρυσεης Αφροδιτης·
Ου τοι αποβλητ' εστι Θεων ερικυδεα δωρα,
Ὁσσ' αυτοι δωωσι, ϝεκων δ' ου κεν τις εϝλοιτο.
Νυν δ' αυτ', ει μ' εθελεις πολεμιζειν ηδε μαχεσθαι,
Αλλους μεν καθισον Τρωας και παντας Αχαιους,
Αυταρ εμ' εν μεσσῳ και Αϝρηϊφιλον Μενελαον
Συμβαλετ' αμφ' Ἑλενῃ και κτημασι πασι μαχεσθαι·
Ὁπποτερος δε κε νικησῃ, κρεισσων τε γενηται,
Κτηματ' εϝλων ευ παντα, γυναικα τε, ϝοικαδ' αγεσθω·
Οἱ δ' αλλοι, φιλοτητα και ὁρκια πιστα ταμοντες,

---

52. *μεινειας, γνοιης, χραισμῃ, μιγειῃς.* maneres, scires, juvabit, misceberis: Facilè *χραισμοι* et *μιγειης* dixisse potuit, sed sæpe modi mutantur, ut Γ. 41, 159, Ζ. 459, 479, Β. 159. *μιγειῃς* subjunctivus est antiquus; Α. 26.

54. *τα τε δωρ' Αφροδιτης.* donaque Veneris: Helena nempe, opesque, quas a Venere dono acceperat.

57. *Λαων ϝεσσο χιτωνα.* Lapidum indutus esses tunicam: lapidatus esses, quæ etiam apud Judæos adulterii pœna. Vulgò, *Λαϊνον*, contra metrum; Bentleius, *Λαων*, emendavit. *Ϝεω* cum derivativis in locis octo et viginti digamma postulat, ut, *χαριεντα δε ϝειματα ϝεσσε*, Ε. 905, in quatuordecim admittit, in hoc uno rejicit; et hinc in linguâ Latinâ, vestis.

59. *Ἑκτορ, επει με κατ' αισαν.* Hector, quoniam me secundum jus: *επει* sæpe absolutè ponitur, sequelâ omissâ; forsitan, *Τουνεκα τοι ϝερεω*, subintelligendum, ut Ζ. 334. Generosi animi hìc et alibi signum dat Paris, quod fratri convitianti non nisi laudes reponat.

66. *Ὁσσ' αυτοι δωωσι, ϝεκων δ' ου κεν τις εϝλοιτο.* Quot ipsi dent, volens vero nemo tum caperet: Helenam non suâ sponte, sed Veneris jussu, rapuisse

Ναιοιτε Τροΐην εριβωλακα· τοι δε νεεσθων
Αργος ες ἱπποβοτον και Αχαιΐδα καλλιγυναικα.
Ὡς εφαθ'· Ἑκτωρ δ' αυτ' εχαρη ϝμεγα, μυθον ακουσας·
Και ϝρ' ες μεσσον ιων, Τρωων ανεεργε φαλαγγας,
Μεσσου δουρος εϝλων· τοι δ' ἱδρυνθησαν ἁπαντες.
Τῳ δ' επετοξαζοντο καρηκομοωντες Αχαιοι,
Ιοισιν τε τιτυσκομενοι λαεσσι τ' εβαλλον.
Αυταρ ὁ μακρον αϋσε ϝαναξ ανδρων Αγαμεμνων·
Ισχεσθ', Αργειοι, μη βαλλετε, κουροι Αχαιων·
Στευται γαρ τι ϝεπος ϝερεειν κορυθαιολος Ἑκτωρ.
Ὡς εφαθ'· οἱ δ' εσχοντο μαχης, αναοι τ' εγενοντο
Εϝσυμενως· Ἑκτωρ δε μετ' αμφοτεροισιν εϝειπε·
Κεκλυτε μευ, Τρωες και εϋκνημιδες Αχαιοι,
Μυθον Αλεξανδροιο, του εἱνεκα νεικος ορωρεν.
Αλλους μεν κελεται Τρωας και παντας Αχαιους
Τευχεα καλ' αποθεσθαι επι χθονι πουλυβοτειρῃ·
Αυτον δ' εν μεσσῳ και Αϝρηΐφιλον Μενελαον
Οιους αμφ' Ἑλενῃ και κτημασι πασι μαχεσθαι·
Ὁπποτερος δε κε νικησῃ, κρεισσων τε γενηται,
Κτηματ' εϝλων ευ παντα, γυναικα τε, ϝοικαδ' αγεσθω·
Οἱ δ' αλλοι φιλοτητα και ὁρκια πιστα ταμωμεν.
Ὡς εφαθ'· οἱ δ' αρα παντες ακην εγενοντο σιωπῃ.
Τοισι δε και μετεϝειπε βοην αγαθος Μενελαος·

---

affirmat. Homerum jugulant, qui hæc omnia in allegorias vertunt; ipse Deos patrios sincerè coluisse videtur. Vulgò, 'Οσσα κεν αυτοι δωσι· sed forma est δωωσι, Α. 129, 137, et ὁσος κε non alibi in Homero occurrit. Fεκων in quinque locis digamma postulat, in duobus admittit, in duobus rejicit, Ψ. 434, 585. Knightius versum damnat, ut et 78.

71. 'Οπποτερος. Uter: Primam necessariò producit, cùm versum aliter inire non possit, ut Διογενης, Α. 337; duplicem consonantem retinui ad quantitatem indicandam.

77. ανεεργε. retinuit: ab ανεεργω, Β. 845.

84. αναοι τ' εγενοντο Εϝσυμενως. mutique fiebant Subitò: vulgò, ανεῳ, vide Β. 323.

89. πουλυβοτειρῃ· multa pascentem: Antiqua scriptura πολυβοτειρα erat; vide Α. 2. Hinc orta videtur vox πουλυς, quod ποϝλυς fuisse indicat; cùm tamen semper alteram formam, πολλος, substituere liceat, digamma sine necessitate inferre nolui; vide Κ. 27, 517.

Κεκλυτε νυν και εμειο· μαλιστα γαρ αλγος ἱκανει
Θυμον εμον· φρονεω δε διακρινθημεναι ηδη
Αργειους και Τρωας, επει κακα πολλα πεποσθε
Εἱνεκ᾽ εμης εριδος, και Αλεξανδρου ἑνεκ᾽ αρχης·
Ἡμεων δ᾽ ὁπποτερῳ θανατος και ϝμοιρα τετυκται,
Τεθναιη· αλλοι δε διακρινθειτε ταχιστα.
Οισετε ϝαρν᾽, ἑτερον λευκον, ἑτερην δε μελαιναν,
Γαιῃ, ιδ᾽ Ηελιῳ· Διϊ δ᾽ ἡμεις οισομεν αλλον.
Αξετε δε Πριαμοιο βιην, ὀϝρ᾽ ὁρκια ταμνῃ
Αυτος, επει ϝοι παιδες ὑπερφιαλοι και απιστοι·
Μη τις ὑπερβασιῃ Διος ὁρκια δηλησηται.
Αιει δ᾽ ὁπλοτερων ανδρων φρενες ηερεθονται·
Οἱς δ᾽ ὁ γερων μετεῃσιν, ἁμα προσσω και οπισσω
Λευσσει, ὁπως οχ᾽ αριστα μετ᾽ αμφοτεροισι γενηται.
Ὡς εφαθ᾽. οἱ δ᾽ εχαρησαν Αχαιοι τε Τρωες τε,
Ϝελπομενοι παυσασθαι οϊζυρου πολεμοιο.
Και ϝρ᾽ ἱππους μεν εϝρυξαν επι στιχας, εκ δ᾽ εβαν αυτοι,
Τευχεα τ᾽ εξεδυοντο, τα μεν κατεθεντ᾽ επι γαιῃ
Πλησιον αλληλων· ολιγη δ᾽ ην αμφις αρουρα.
Ἑκτωρ δε προτι ϝαστυ δυω κηρυκας επεμπε,
Καρπαλιμως ϝαρνας τε φερειν, Πριαμον τε καλεσσαι·
Αυταρ ὁ Ταλθυβιον προϊει κρειων Αγαμεμνων,

---

97. μαλιστα γαρ αλγος ἱκανει. præcipuè enim dolor invadit Animum meum; existimo verò separatos esse jam Argivos et Trojanos, quoniam mala multa passi estis Propter meam litem, et Paridis propter inceptum: Bene αρχη vocatur, cùm Paris prima belli causa et initium fuerit. Πεποσθε perfectum passivum a πασχω esse videtur, quamvis non alibi occurrat; Eustathius pro πεπονησθε esse vult.

103. Οισετε ϝαρν᾽. Afferetis agnos: vulgò, Οισετε δ᾽ αρν᾽· sed particula non postulatur; vide Α. 66.

104. Γαιῃ, ιδ᾽ Ηελιῳ. Terræ, et Soli: Vulgò, Γῃ τε, και Ηελιῳ· sed γαια non nisi in tribus aliis locis contrahitur; Ο. 23. Τ. 259, Φ. 63; in sex tamen Odysseæ.

108. Αιει. Knightius tres versus damnat.

112. παυσασθαι. desiisse: Alii, παυσεσθαι, desituros.

113. εϝρυξαν. retinebant: εϝρυκω ab εϝρυω fluit, ideoque digamma postulat; nusquam tamen præfigit.

113. εκ δ᾽ εβαν αυτοι. e curribus descenderunt: εβαν pro εβησαν, ut εσταν pro εστησαν, et τραφεν pro ετραφησαν.

Νηας επι γλαφυρας ιεναι, και ϝαρν᾽ εκελευεν
Οισεμεναι· ὁ δ᾽ αρ ουκ απιθησ᾽ Αγαμεμνονι διῳ.
  Ϝιρις δ᾽ αυθ᾽ Ἑλενῃ λευκωλενῳ αγγελος ηλθεν,
Ϝειδομενη γαλοῳ, Αντηνοριδαο δαμαρτι,
Την Αντηνοριδης ειχε κρειων Ἑλικαων,
Λαοδικην, Πριαμοιο θυγατρων ϝειδος αριστην.
Την δ᾽ εὑρ᾽ εν ϝμεγαρῳ· ἡ δε ϝμεγαν ἱστον ὑφαινε,
Διπλακα μαρμαρεην· πολεας δ᾽ ενεπασσεν αεθλους
Τρωων θ᾽ ἱπποδαμων, και Αχαιων χαλκοχιτωνων,
Οὑς ϝεθεν εἱνεκ᾽ επασχον ὑπ᾽ Αϝρηος παλαμαων.
Αγχοθι δ᾽ ἱσταμενη προσεφη ποδας ωκεα Ϝιρις·
  Δευρ᾽ ιθι, νυμφα φιλη, ἱνα θεσκελα ϝεργα ϝιδηαι
Τρωων θ᾽ ἱπποδαμων, και Αχαιων χαλκοχιτωνων·
Οἱ πριν επ᾽ αλληλοισι φερον πολυδακρυν Αϝρηα
Εν πεδιῳ, ολοοιο λιλαιομενοι πολεμοιο·
Οἱ δη νυν ἑαται σιγῃ, πολεμος δε πεπαυται,
Ασπισι κεκλιμενοι, παρα δ᾽ εγχεα μακρα πεπηγεν·
Αυταρ Αλεξανδρος και Αϝρηϊφιλος Μενελαος
Μακρῃς εγχειῃσι μαχησονται περι σειο·
Τῳ δε κε νικησαντι φιλη κεκλησῃ ακοιτις.
  Ὡς ϝειπουσα Θεα γλυκυν ἱμερον εμβαλε θυμῳ
Ανδρος τε προτεροιο, και Αργεος, ηδε τοκηων.

---

119. και ϝαρν᾽ εκελευεν. et agnum jussit: Vulgò, ηδ᾽ αρν᾽ εκελευεν, quod in digamma peccat.

121. Ϝιρις δ᾽ αυθ᾽ Ἑλενῃ. Nempe a Jove ad filiam missa. Nulla in Homero Helenâ est gratior persona. A Venere decepta, et a Paride rapta, patriam, filiam, maritum, æquales, luget; Priamum tamen, Hectorem, et Paridem, ob benevolentiam eorum, amat; Jovis filia, operibus præstat; dicta ejus suavissima amorem omnium conciliant; digna Europæ et Asiæ belli causa etiam a senibus judicatur; eadem in Odysseâ matrona est amabilissima. Ex Homero solo, non ex Ovidio, æstimanda est.

126. Διπλακα μαρμαρεην. Duplicem admirandam, multos verò inspersit labores: Διπλαξ panni genus erat. Alii, πορφυρεην, sed color varius esset. Multùm in hac arte antecellebant antiquæ. Instrumenta erant, κερκις, radius, Χ. 448, Od. ε. 62, et ακεστρα, acus, Γ. 371, Ξ. 214.

135. πεπηγεν. fixæ sunt: perfectum medium a πηγνυμι.

140. και Αργεος. et patriæ: Vulgò, και αστεος, quod in digamma peccat; in promptu est, προτερου, και ϝαστεος, cum Bentleio emendare; sed patria semper Αργος, et non ϝαστυ, a Græcis nominatur. Ita in Virgilio, et dulces moriens reminiscitur Argos. Æn. x. 782.

Αυτικα δ' αργεννῃσι καλυψαμενη οθονῃσιν
῾Ωρμᾶτ' εκ θαλαμοιο, τερεν κατα δακρυ χεουσα·
Ουκ οιη, ἁμα τῃγε και αμφιπολοι δυ' ἑποντο,
Αιθρη Πιτθηος θυγατηρ, Κλυμενη τε βοωπις.
Αιψα δ' επειθ' ἱκανον, ὁθι Σκαιαι πυλαι ησαν.
Οἱ δ' αμφι Πριαμον, και Πανθοον, ηδε Θυμοιτην,
Λαμπον τε, Κλυτιον θ', ῾Ικεταονα τ', οζον Αϝρηος,
Ουκαλεγων τε και Αντηνωρ, πεπνυμενω αμφω,
Εἱατο δημογεροντες επι Σκαιῃσι πυλῃσι·
Γηραϊ δη πολεμοιο πεπαυμενοι, αλλ' αγορηται
Εσθλοι, τεττιγεσσι ϝεϝοικοτες, ὁι τε καθ' ὑλην
Δενδρεῳ εφεζομενοι ϝοπα λειριοεσσαν ἱεισι·
Τοιοι αρα Τρωων ἡγητορες ἡντ' επι πυργῳ.
Οἱ δ' ὡς ουν εϝιδον ῾Ελενην επι πυργον ιουσαν,
Fηκα προς αλληλους ϝεπεα πτεροεντ' αγορευον·
Ου νεμεσις Τρωας και εϋκνημιδας Αχαιους
Τοιῃδ' αμφι γυναικι πολυν χρονον αλγεα πασχειν·
Αινως αθανατῃσι Θεῃς εις ωπα ϝεϝοικεν.
Αλλα και ὡς, τοιη περ εουσ', εν νηυσι νεεσθω,
Μηδ' ἡμιν τεκεεσσι τ' οπισσω πημα λιποιτο.

---

141. αργεννῃσι καλυψαμενη οθονῃσι. candidis se velans linteis: nullis nempe ornamentis adhibitis. Forsan ϝοθονῃσι legendum.

142. τερεν κατα δακρυ χεουσα. nullo spectante, teneram lacrymas effundit.

144. Αιθρη, Πιτθηος θυγατηρ. Pelopis neptis erat, Menelai et Agamemnonis soror patruelis; hinc etiam constat Helenam cum comitibus vi raptam fuisse. Thesei etiam mater fuisse dicitur, sed non constat eam unquam Athenas migrâsse. Nonnulli versum rejiciunt. Plutarch. in vitâ Thesei.

146. Οἱ δ' αμφι Πριαμον. Illi verò circa Priamum: Οἱ ad Antenorem, et Ucalegontem spectat; ex hoc tamen loco male intellecto apud recentiores hæc dicendi forma Priamum ipsum significaret. Lampus, Clytios, et Hicetaon, Priami fratres erant; Υ. 238.

149. δημογεροντες. populi seniores: Alii forsitan regii sanguinis erant.

152. ὑλην. sylvam: Bentleius a voce Latinâ ὑλϝην fuisse censet.

154. εϝιδον. viderunt: Bentleius ϝειδον· loca quatuordecim εϝιδον admittunt, duo ϝειδον postulant, Λ. 112, Τ. 292.

155. Fηκα. Leniter: in uno loco digamma postulat, in quatuor admittit. Hesychius Γαηα, ἡδεως, habet, ubi Γακα legendum, et Γακυ, id. Habet etiam, Ουφεκα, ουκ αρεστως, quod proculdubio, Ου ϝηκα, indicat.

156. Ου νεμεσις. "Non putant indignum Trojani principes, Graios

Ὡς αρ εφαν· Πριαμος δ' Ἑλενην εκαλεσσατο φωνῃ·
Δευρο παροιθ' ελθουσα, φιλον τεκος, ἱζευ εμειο,
Ὀϝρα ϝιδῃς προτερον τε ποσιν, πηους τε, φιλους τε·
Ου τι μοι αιτιη εσσι, Θεοι νυ μοι αιτιοι εισιν,
Οἱ μοι εφωρμησαν πολεμον πολυδακρυν Αχαιων.
Ὡς μοι και τονδ' ανδρα πελωριον εξονομηνῃς,
Ὁς τις ὁδ' εστιν Αχαιος ανηρ ηΰς τε ϝμεγας τε.
Ητοι μεν κεφαλῃ και ϝμειζονες αλλοι εασι·
Καλον δ' οὑτω εγων ουπω ϝιδον οφθαλμοισιν,
Ουδ' οὑτω γεραρον· βασιληϊ γαρ ανδρι ϝεϝοικε.
Τον δ' Ἑλενη μυθοισιν αμειβετο, δῖα γυναικων·
Αιδοιος τε μοι εσσι, φιλε ϝεκυρε, δεινος τε·
Ὡς οφελεν θανατος με ϝελειν κακος, ὁπποτε δευρο
Ὑϊ σῳ ἑπομην, θαλαμον γνωτους τε λιπουσα,
Παιδα τε τηλυγετην, και ὁμηλικιην ερατεινην·
Αλλα ταγ' ουκ εγενοντο· το και κλαιουσα τετηκα.
Τουτο δε τοι ϝερεω, ὁ μ' ανεϝρεαι, ηδε μεταλλᾳς·
Οὑτος γ' Ατρεϊδης, ευρυκρειων Αγαμεμνων,
Αμφοτερον βασιλευς τ' αγαθος, κρατερος τ' αιχμητης·
Δαηρ αυτ' εμος εσκε κυνωπιδος, ει ποτ' εεν γε.

Trojanosque propter Helenæ speciem tot mala tanto temporis spatio sustinere. Quænam igitur illa forma credenda est? Non enim hæc dicit Paris, qui rapuit; non aliquis juvenis, non unus e Vulgo; sed Senes, et prudentissimi, et Priamo assidentes. Verùm et ipse Rex, decenni bello exhaustus, amissis tot liberis, imminente summo discrimine; cui faciem illam, ex quâ tot lacrymarum origo fluxisset, invisam atque abominandam esse oportebat; et audit hæc, et eam Filiam appellans juxta se locat, et excusat etiam, atque sibi esse malorum causam negat." Quintilian. lib. 8. c. 4.

166. εξονομηνῃς. nomines: Nominatio hæc principum pulcherrima proculdubio in initio belli contigit, quamvis poeta licentiâ ei datâ in hoc loco inducat.

172. φιλε ϝεκυρε. care socer: Ϝεκυρος in tribus locis digamma admittit, in hoc postulat.

173. Ὡς οφελεν θανατος με ϝελειν κακος. Ut debuit me mors rapuisse mala: Vulgò, μοι ἁδειν, mihi placuisse, quod vix sensum habet, et in digamma peccat. Knightius, Ὡς μοι οφελλε ϝαδειν θανατος κακος, emendavit.

174. γνωτους. fratres: ut passim.

179. Αμφοτερον. Versus hic Alexandro Magno maximè omnium in Homero placuisse a Plutarcho dicitur.

180. Δαηρ αυτ' εμος εσκε. Levir autem mihi erat inverecundæ: Invere-

῾Ως φατο· τον δ' ὁ γερων ηγασσατο, φωνησεν τε·
Ω μακαρ Ατρεϊδη, ϝμοιρηγενες, ολβιοδαιμον,
Η ϝρα νυ τοι πολλοι δεδμηατο κουροι Αχαιων.
Ηδη και Φρυγιην εισηλυθον αμπελοεσσαν,
Ενθα ϝιδον πλειστους Φρυγας ανερας αιολοπωλους,
Λαους Οτρηος και Μυγδονος αντιθεοιο,
Οἱ ϝρα τοτ' εστρατοωντο παρ' οχθας Σαγγαριοιο.
Και γαρ εγων επικουρος εων μετα τοισιν ελεχθην
Ηματι τῳ, ὁτ' αρ ηλθον Αμαζονες αντιανειραι·
Αλλ' ουδ' οἱ τοσοι ησαν, ὁσοι ϝελικωπες Αχαιοι.
Δευτερον αυτ', Οδυσηα ϝιδων, ϝερεειν' ὁ γεραιος·
Ϝειπ' αγε μοι και τονδε, φιλον τεκος, ὁς τις ὁδ' εστι·
Μειων μεν κεφαλῃ Αγαμεμνονος Ατρεϊδαο,
Ευρυτερος δ' ωμοισιν ιδε στερνοισι ϝιδεσθαι.
Τευχεα μεν ϝοι κειται επι χθονι πουλυβοτειρῃ,
Αυτος δε, κτιλος ὡς, επιπωλειται στιχας ανδρων·
Ϝαρνειῳ μιν εγωγε ϝεϊσκω πηγεσιμαλλῳ,
῾Ος τ' οϊων ϝμεγα πωϋ διερχεται αργενναων.
Τον δ' ημειβετ' επειθ' ῾Ελενη, Διος εκγεγαυια·
Οὑτος δ' αυ Λαερτιαδης, πολυμητις Οδυσσευς,

---

cundam se appellat, quòd post raptum vivere sustineat. ει ποτ' εεν γε. si unquam erat quidem: vix credere potest sibi unquam Agamemnonem fratrem fuisse.

183. δεδμηατο. subjecti erant: id est, in Aulide, aut Thyeste mortuo, aut alio quovis præterito tempore. Homerus imperfectis, et plusquam perfectis, sæpe pro aoristis utitur.

189. ὁτ' αρ ηλθον Αμαζονες αντιανειραι. quandò sanè venerunt Amazones viris hostiles: αντιαι ανδρων· alii, viris æquales, explicant, ut αντιθεαι. Vulgò, ὁτε ηλθον, contra metrum; ὁτ' αρ ηλυθον αυτοι, legitur, κ. 540. Potest etiam ευτε, ὁποτε, vel ὀϝρα legere. Knightius Amazonas Homero ignotas fuisse censet, et versum damnat.

197. ϝεϊσκω. assimilo: in quinque locis digamma postulat, in duobus admittit. Knightius duos versus damnat.

206. Σευ ἑνεκ' αγγελιης. Te propter legatione: Bentleius, αγγελιην, voluit, ut, Αγγελιην ελθοντα, Λ. 140, Ω. 235; legitur tamen, Αγγελιης οιχνευσι, ο. 640. Alii nominativum pro αγγελος esse censent.

211. Αμφω δ' ἑζομενων. Ambobus verò sedentibus: Vulgò, ἑζομενω, contra grammaticam; aliud est, κ. 224. Αμφω indeclinabile est.

213. Μενελαος. "Homerus brevem quidem cum animi jucunditate et propriam (id enim est non errare verbis) et carentem supervacuis, eloquen-

῾Ος τραφη εν δημῳ Ιθακης, κραναης περ εουσης,
Ϝειδως παντοιους τε δολους και μηδεα πυκνα.
Την δ᾽ αυτ᾽ Αντηνωρ πεπνυμενος αντιον ηυδα·
Ω γυναι, η μαλα τουτο ϝεπος νημερτες εϝειπες.
Ηδη γαρ και δευρο ποτ᾽ ηλυθε διος Οδυσσευς
Σευ ἑνεκ᾽ αγγελιης, συν Αϝρηϊφιλῳ Μενελαῳ·
Τους δ᾽ εγω εξεινισσα, και εν ϝμεγαροισι φιλησα·
Αμφοτερων δε φυην εδαην και μηδεα πυκνα·
Αλλ᾽ ὁτε δη Τρωεσσιν αγειρομενοισιν εμιχθεν,
Σταντων μεν, Μενελαος ὑπειρεχεν ευρεας ωμους,
Αμφω δ᾽ ἑζομενων, γεραρωτερος ηεν Οδυσσευς.
Αλλ᾽ ὁτε δη μυθους και μηδεα πασιν ὑφαινον,
Ητοι μεν Μενελαος επιτροχαδην αγορευε,
Παυρα μεν, αλλα μαλα ϝλιγεως· επει ου πολυμυθος,
Ουδ᾽ αφαμαρτοϝεπης, ει και γενει ὑστερος ηεν.
Αλλ᾽ ὁτε δη πολυμητις αναϊξειεν Οδυσσευς,
Στασκεν, ὑπαι δε ϝιδεσκε, κατα χθονος ομματα πηξας,
Σκηπτρον δ᾽ ουτ᾽ οπισω, ουτε προπρηνες, ενωμα,
Αλλ᾽ αστεμφες εχεσκεν, αϝιδριϊ φωτι ϝεϝοικως·
Φαιης κεν ζακοτον τινα ϝ᾽ εμμεναι, αφρονα τ᾽ αυτως·

---

tiam Menelao dedit. Ex ore Nestoris dixit dulciorem melle profluere sermonem, quâ certè delectatione nihil fingi majus potest. Sed summam aggressus, ut in Ulysse facundiam, magnitudinem illi junxit, cui orationem nivibus hybernis, et copiâ verborum, atque impetu parem tribuit. Cum hoc igitur nemo mortalium contendet; hunc ut Deum homines intuebuntur. Hanc vim et celeritatem in Pericle miratur Eupolis; hanc fulminibus Aristophanes comparat; hæc est vera dicendi facultas." Quintilian. Lib. xii. c. x.

215. ει και γενει ὑστερος ηεν. si etiam natu posterior erat: Ulysses postea ωμογερων, crudus senex, vocatur; Ψ. 791. Knightius tamen versum damnat, ut et 220, et 224.

216. πολυμητις Οδυσσευς. Seipsum semper exsuperat poeta, quando de Ulysse loquitur. Hominem ipsum ante oculos videmus. Luminibus in terram defixis, sceptroque immoto, auditorem attentum reddit. Cùm verò vocem magnam ex pectore mittit, et verba nivibus hybernis similia; mortalis tum nemo cum Ulysse potest contendere, utque Deum, eum intuentes admiramur.

220. τινα ϝ᾽ εμμεναι. aliquem eum esse: Vulgò, τινα εμμεναι, metro imperfecto; ϝε sæpe ante vocalem excidit; ut in, αμφι δε ϝ᾽ οσσε, Ε. 310.

Αλλ᾽ ὁτε δη ϝοπα τε ϝμεγαλην εκ στηθεος ἱει,
Και ϝεπεα ϝνιφαδεσσι ϝεϝοικοτα χειμεριῃσιν,
Ου κεν επειτ᾽ Οδυσηϊ γ᾽ ερισσειε βροτος αλλος·
Τον δε τοθ᾽, ὡς τε Θεον, ηγασσαμεθ᾽ εισοροωντες.
Το τριτον αυτ᾽ Αιαντα ϝιδων ϝερεειν᾽ ὁ γεραιος·
Τις τ᾽ αρ ὁδ᾽ αλλος Αχαιος ανηρ ηΰς τε ϝμεγας τε,
Εξοχος Αργειων κεφαλην ηδ᾽ ευρεας ωμους;
Τον δ᾽ Ἑλενη τανυπεπλος αμειβετο, δῖα γυναικων·
Οὑτος δ᾽ Αιας εστι πελωριος, ἑρκος Αχαιων·
Ιδομενευς δ᾽ ἑτερωθεν ενι Κρητεσσι, Θεος ὡς,
Ἑστηκ᾽· αμφι δε μιν Κρητων αγοι ηγερεθονται·
Πολλακι μιν ξεινισσεν Αϝρηΐφιλος Μενελαος
Ϝοικῳ εν ἡμετερῳ, ὁποτε Κρητηθεν ἱκοιτο.
Νυν δ᾽ αλλους μεν παντας ὁρῶ ϝελικωπας Αχαιους,
Οὑς κεν εΰ γνοιην, και κ᾽ ουνομα μυθησαιμην·
Δοιω δ᾽ ου δυναμαι ϝιδεειν κοσμητορε λαων,
Καστορα θ᾽ ἱπποδαμον, και πυξ αγαθον Πολυδευκεα,
Αυτοκασιγνητω, τω μοι μια γεινατο μητηρ.
Η ουχ ἑσπεσθην Λακεδαιμονος εξ ερατεινης;
Η δευρο μεν ἑποντο νεεσσ᾽ ενι ποντοποροισι,
Νυν δ᾽ αυτ᾽ ουκ εθελουσι μαχην καταδυμεναι ανδρων,
Αισχεα δειδιοτες και ονειδεα πολλ᾽, ἁ μοι εστιν;
Ὡς φατο· τους δ᾽ ηδη κατα γαια φυσιζοος ειχεν
Εν Λακεδαιμονιηθι, φιλῃ ενι πατριδι γαιῃ.
Κηρυκες δ᾽ ανα ϝαστυ Θεων φερον ὁρκια πιστα,

---

224. Τον δε τοθ᾽, ὡς τε Θεον, ηγασσαμεθ᾽ εισοροωντες. Hunc verò tunc, ut Deum admirabamur intuentes: Ita ex Quintiliano emendavi, qui, hunc ut Deum homines intuebuntur, vertit; Γ. 213; et sic, τον δ᾽ ὁ γερων ηγασσατο, Γ. 181. Vulgò, Ου τοτε γ᾽ ὡδ᾽ Οδυσηος αγασσαμεθ᾽ ειδος ιδοντες, quod meritò Critici omnes damnant; a mente enim poetæ prorsus alienum est. Mutatio facta est, quia Ulysses semper a Tragicis, ut persona turpis, inducitur. Bis etiam in digamma peccat, quod versum mutatum fuisse ostendit; αγασσαμεθα ϝειδος ϝιδοντες, esset.

235. και κ᾽ ουνομα. Vulgò, και τ᾽ ουνομα· sed κε eleganter repetitur, ut Γ. 41. Forsitan οϝνομα erat, cùm prima anceps sit. Knightius duos versus damnat.

243. κατα γαια φυσιζοος ειχεν. continuit terra creatrix: Ita Β. 699.

Ϝαρνε δυω, και ϝοινον εὔφρονα, καρπον αρουρης,
Ασκῳ εν αιγειῳ· φερε δε κρητηρα φαεινον
Κηρυξ Ιδαιος, ηδε χρυσεια κυπελλα·
Ωτρυνεν δε γεροντα παρισταμενος ϝεπεεσσιν·
  Ορσεο, Λαομεδοντιαδη· καλεουσιν αριστοι
Τρωων θ' ἱπποδαμων και Αχαιων χαλκοχιτωνων
Ες πεδιον καταβηναι, ἱν' ὁρκια πιστα ταμωμεν·
Αυταρ Αλεξανδρος και Αϝρηϊφιλος Μενελαος
Μακρῃς εγχειῃσι μαχησοντ' αμφι γυναικι·
Τῳ δε κε νικησαντι γυνη και κτημαθ' ἑποιτο·
Οἱ δ' αλλοι, φιλοτητα και ὁρκια πιστα ταμοντες,
Ναιοιμεν Τροϊην εριβωλακα· τοι δε νεωνται
Αργος ες ἱπποβοτον και Αχαιϊδα καλλιγυναικα.
  Ὡς φατο· ϝριγησεν δ' ὁ γερων, εκελευσε δ' ἑταϝρους
Ἱππους ζευγνυμεναι· τοι δ' οτραλεως επιθοντο.
Αν δ' αρ εβη Πριαμος, κατα δ' ἡνια τεινεν οπισσω·
Παρ δε ϝοι Αντηνωρ περικαλλεα βησατο διφρον.
Τω δε δια Σκαιων πεδιονδ' εχον ωκεας ἱππους.
  Αλλ' ὁτε δη ϝρ' ἱκοντο μετα Τρωας και Αχαιους,
Εξ ἱππων αποβαντες επι χθονα πουλυβοτειραν,
Ες μεσσον Τρωων και Αχαιων εστιχοωντο.
Ωρνυτο δ' αυτικ' επειτα ϝαναξ ανδρων Αγαμεμνων,
Αν δ' Οδυσευς πολυμητις· αϝαρ κηρυκες αγαυοι
Ὁρκια πιστα Θεων συναγον, κρητηρι δε ϝοινον
Μισγον· αϝαρ βασιλευσιν ὑδωρ επι χειρας εχευαν·

Vulgò, κατεχεν φυσιζοος αια· sed φυσις corripitur, Od. κ. 303, et, Γαια φυσιζοος, legendum, Φ. 63.

244. Εν Λακεδαιμονηθι. In Lacedæmoniâ: Ita, Ηγαγε Σιδονιηθεν, Ζ. 291; et vide Β. 418. Vulgò, Εν Λακεδαιμονι αυθι, quod veræ lectionis vestigia manifesta servat. Forsitan etiam, φιληθιν, legendum. Knightius versum damnat.

252. ἱν' ὁρκια πιστα ταμωμεν. ut fœdera certa secemus: Ita Ed. Pr. alii ταμητε, ταμηναι, et ταμηται· Idæus tamen ipse officio præcipuo in fœdere feriendo fungitur.

260. ζευγνυμεναι. jungere: ζευγνυμεν penultimam corripit, Ο. 120; producit, Π. 145.

261. Αν δ' αρ εβη Πριαμος. Virgilius imitatus est, Æn. xii. 161.

270. ὑδωρ επι χειρας εχευαν. aquam in manus fundebant: non licebat

Ατρεϊδης δε, ϝερυσσαμενος χειρεσσι μαχαιραν,
Ἡ ϝοι παρ ξιφεος ϝμεγα κουλεον αιεν αορτο,
Ϝαρνων εκ κεφαλεων ταμνε τριχας· αυταρ επειτα
Κηρυκες Τρωων και Αχαιων νειμαν αριστοις· 274
Τοισιν δ' Ατρεϊδης ϝμεγαλ' ευχετο, χειρας ανασχων·
Ζευ πατερ, Ιδηθεν μεδεων, κυδιστε, ϝμεγιστε,
Ηελιε θ', ὁς παντ' εφορᾳς, και παντ' επακουεις,
Και Ποταμοι, και Γαια, και ὁι ὑπενερθε καμοντας
Ανθρωπους τινυσθον, ὁτις χ' ὑπερ ὁρκον αϝασσῃ,
Ὑμεις μαρτυροι εστε, φυλασσετε δ' ὁρκια πιστα· 280
Ει μεν κεν Μενελαον Αλεξανδρος καταπεφνῃ,
Αυτος επειθ' Ἑλενην εχετω και κτηματα παντα,
Ἡμεις δ' εν νηεσσι νεωμεθα ποντοποροισιν·
Ει δε κ' Αλεξανδρον κτεινῃ ξανθος Μενελαος,
Τρωας επειθ' Ἑλενην και κτηματα παντ' αποδουναι,
Τιμην δ' Αργειοις αποτινεμεν, ἡν τε ϝεϝοικεν, 286
Ἡ τε και εσσομενοισι μετ' ανθρωποισι πεληται.
Ει δε κ' εμοι τιμην Πριαμος Πριαμοιο τε παιδες
Τινειν ουκ εθελωσιν, Αλεξανδροιο πεσοντος,
Αυταρ εγω και επειτα μαχεσσομαι, εἱνεκα ποινης,
Αυθι μενων, εἱος κε τελος πολεμοιο κιχειω. 291
Η, και απο στομαχους ϝαρνων ταμε νηλεϊ χαλκῳ·

---

enim illotis manibus libare; Z. 266. ὑδωρ primam ancipitem habet, cùm forma antiqua ὑδρας, ὑδρατος, esset, et forsitan ita in Homero scribendum. εχευαν pro εχεϝσαν ponitur; forma enim antiqua χεϝω, χεϝσω, erat, et in aoristo εχεϝσα, et εχεϝα· ita ηλεϝσαμην, et θεϝσομαι, Γ. 360, Λ. 700.

273. Ϝαρνων εκ κεφαλεων ταμνε τριχας.

Et summas carpens media inter cornua setas. Æn. vi. 245.

277. Ηελιε. Sol, qui terrarum flammis opera omnia lustras. Æn. iv. 607, et vide Æn. xii. 176. Ultima cæsurâ producitur, ut in αμφηρεφεα τε, Α. 45. Vulgò, Ηελιος, contra grammaticam; vide Δ. 189.

279. ὁτις χ' ὑπερ ὁρκον αϝασσῃ. quicunque contra juramentum læserit: Ita, ὑπερ ὁρκια πημηνειαν, Γ. 299; et vide Γ. 107, Δ. 67, 271; ita ὑπερφιαλος, contra libamenta. Vulgò, ὁτις κ' επιορκον ομοσσῃ· sed επι non elidi nequit. In promptu quidem est, ὁτις κεν εφ' ὁρκον ομοσσῃ, emendare; sed, ὁρκον επομοσαι, est simpliciter, juramentum jurare, Α. 233, Ι. 132, 274, Κ. 332, Ψ. 42. Simili emendatione egent, Τ. 188, 260, 264. τινυσθον· punitis: nempe, Pluto, et Proserpina. Knightius, τινυσθ', ὁστις.

Και τους μεν κατεθηκεν επι χθονος ασπαιροντας,
Θυμου δευομενους· απο γαρ μενος εϝλετο χαλκος.
Ϝοινον δ' εκ κρητηρος αφυσσαμενοι δεπαεσσιν
Εκχεον, ηδ' ευχοντο Θεοις αιειγενετῃσιν·
῾Ωδε δε τις ϝειπεσκεν Αχαιων τε Τρωων τε·
Ζευ κυδιστε, ϝμεγιστε, και αθανατοι Θεοι αλλοι,
῾Οπποτεροι προτεροι ὑπερ ὁρκια πημηνειαν,
῾Ωδε ϝρ' εγκεφαλος χαμαδις ϝρεοι, ὡς ὁδε ϝοινος,
Αυτων, και τεκεων· αλοχοι δ' αλλοισι μιγειεν.
῾Ως εφαν· ουδ' αρα πω σφιν επεκραιαινε Κρονιων.
Τοισι δε Δαρδανιδης Πριαμος μετα μυθον εϝειπε·
Κεκλυτε μευ, Τρωες και εϋκνημιδες Αχαιοι·
Ητοι εγων ειμι προτι Ϝιλιον ηνεμοεσσαν
Αψ, επει ουπω τλησομ' εν οφθαλμοισιν ὁρᾶσθαι
Μαρναμενον φιλον ὑιον Αϝρηϊφιλῳ Μενελαῳ.
Ζευς μεν που τογε ϝοιδε, και αθανατοι Θεοι αλλοι,
῾Οπποτερῳ θανατοιο τελος πεπρωμενον εστιν.
Η ϝρα, και ες διφρον ϝαρνας θετο ϝισοθεος φως·
Αν δ' αρ εβαιν' αυτος, κατα δ' ἡνια τεινεν οπισσω·
Παρ δε ϝοι Αντηνωρ περικαλλεα βησατο διφρον·
Τω μεν αρ αψοϝροοι προτι Ϝιλιον απονεοντο.
῾Εκτωρ δε Πριαμοιο παϊς και διος Οδυσσευς

---

286. Τιμην δ' Αργειοις αποτινεμεν. Pœnam verò Græcis pendere: Knightius sex versus damnat; injuriâ enim Agamemnon hanc conditionem pacto addit. Vulgò, ἡντιν' εοικε.

294. Θυμου. Knightius versum, ut merum Scholion, damnat.

300. ῾Ωδε ϝρ' εγκεφαλος. Ita sanè cerebrum: Digamma perdito, hoc in metrum peccâsset; quidam igitur, ῾Ωδε σφ' εγκεφαλος, emendavit; et similiter in sex aliis locis, Θ. 4, 412, Λ. 806, Ο. 388, Σ. 373, Ω. 283, et forsitan in aliis permultis, ubi non eliditur; in duobus, Ξ. 205, 304, σφιν τε pro και σφι legendum. In hoc loco σφι male cum Αυτων concordat. Σφι elidi nequit cum pro σφισι ponatur. Vide Δ. 259.

306. επει ουπω τλησομαι· Multa hinc Virgilius in Æn. xi et xii transtulit.

313. αψοϝροοι. reduces: Ita, αψοϝροου Ωκεανοιο, Σ. 399. Vulgò, αψορροι· sed nusquam in versu ita locatur, ut non solutè legere liceat, et nec ϝροος nec ϝρεω, unde derivatur, usquam contrahuntur.

Χωρον μεν πρωτον διεμετρεον, αυταρ επειτα
Κληρους εν κυνεῃ χαλκηρεϊ παλλον εϝλοντες,
Ὀπποτερος δη προσθεν αφειη χαλκεον εγχος.
Λαοι δ' ηρησαντο, Θεοισι δε χειρας ανεσχον·
Ὡδε δε τις ϝειπεσκεν Αχαιων τε Τρωων τε·
Ζευ πατερ, Ιδηθεν μεδεων, κυδιστε, ϝμεγιστε·
Ὀπποτερος ταδε ϝεργα μετ' αμφοτεροισιν εθηκε,
Τον δος αποφθιμενον δυναι δομον Αϝιδος εισω,
Ἡμιν δ' αυ φιλοτητα και ὁρκια πιστα γενεσθαι.
Ὡς αρ εφαν· παλλεν δε ϝμεγας κορυθαιολος Ἑκτωρ,
Αψ ὁρoων· Παριος δε θοως εκ κληρος ορουσεν.
Οἱ μεν επειθ' ἱζοντο κατα στιχας, ἡχι ϝεκαστῳ
Ἱπποι αερσιποδες, και ποικιλα τευχε' εκειτο.
Αυταρ ὁγ' αμφ' ωμοισιν εδυσατο τευχεα καλα
Διϊος Αλεξανδρος, Ἑλενης ποσις ηϋκομοιο.
Κνημιδας μεν πρωτα περι κνημῃσιν εθηκε
Καλας, αργυρεοισιν επισφυριοις αραρυιας·
Δευτερον αυ θωρηκα περι στηθεσσιν εδυνεν
Ϝοιο κασιγνητοιο Λυκαονος· ἡρμοσε δ' αυτῳ·
Αμφι δ' αρ ωμοισιν βαλετο ξιφος αργυροηλον,
Χαλκεον· αυταρ επειτα σακος ϝμεγα τε στιβαρον τε·
Κρατι δ' επ' ιφθιμῳ κυνεην ευτυκτον εθηκεν,
Ἱππουριν· δεινον δε ϝλοφος καθυπερθεν ενευεν·

---

340. ϝεκατερθε. utrinque: In septem locis digamma admittit, et analogia vocis ϝεκαστος postulat.

343. Τρωας. Knightius versum damnat.

345. Ϝσειοντ' εγχειας. Vibrantes hastas: Ϝσειω digamma postulat, Υ. 59, Δ. 167, Ξ. 285, Od. ι. 385. Ita, ϝσευω, Α. 172.

347. κατ' ασπιδα παντοσε ϝισην. in scutum undique æquale: id est, ευκυκλον, rotundum: alii, παντοσ' εΐσην, undique bonum.

348. Ουδ' εϝρηξεν χαλκον. Neque fregit æs: Hinc constat ϝρησσω digamma accipere; Β. 544.

349. Ασπιδοθι κρατερῃ. Scuto in forti: MSS. et Edd. Ασπιδι ενι κρατερῃ· unde alii, Ασπιδ' ενι κρατερῃ· sed dativus in ι elidi nequit; vide Α. 578, Δ. 259. Formam igitur antiquam exhibui.

351. ὁ με προτερος κακ' εϝρεξε. qui me prior mala fecit: Bentleius, κακ' ϝρεξε· et sic, κακα ϝρεξαι, Γ. 354, Ε. 373. Vulgò, κακ' εοργε, quod ϝεϝοργε esset.

Εϝλετο δ᾽ αλκιμον εγχος, ὁ ϝοι παλαμηθιν αρηρει.
Ὡς δ᾽ αυτως Μενελαος Αϝρηϊος εντε᾽ εδυνεν.
Οἱ δ᾽ επει ουν ϝεκατερθεν ὁμιλου θωρηχθησαν,
Ες μεσσον Τρωων και Αχαιων εστιχοωντο,
Δεινον δερκομενοι· θαμβος δ᾽ εχεν εισοροωντας
Τρωας θ᾽ ἱπποδαμους, και εϋκνημιδας Αχαιους.
Και ϝρ᾽ εγγυς στητην, διαμετρητῳ ενι χωρῳ,
Ϝσειοντ᾽ εγχειας, αλληλοισιν κοτεοντε.
Προσθε δ᾽ Αλεξανδρος προϊει δολιχοσκιον εγχος,
Και βαλεν Ατρεϊδαο κατ᾽ ασπιδα παντοσε ϝισην,
Ουδ᾽ εϝρηξεν χαλκον, ανεγναμφθη δε ϝοι αιχμη
Ασπιδοθι κρατερῃ· ὁ δε δευτερος ωρνυτο χαλκῳ
Ατρεϊδης Μενελαος, επευξαμενος Διϊ πατρι·
Ζευ ϝανα, δος τισασθαι, ὁ με προτερος κακ᾽ εϝρεξε,
Διον Αλεξανδρον, και εμης ὑπο χερσι δαμασσον·
Ὡς τις ϝεϝριγησι και οψιγονων ανθρωπων,
Ξεινοδοκον κακα ϝρεξαι, ὁ κεν φιλοτητα παρασχῃ.
Η ϝρα, και αμπεπαλων προϊει δολιχοσκιον εγχος,
Και βαλε Πριαμιδαο κατ᾽ ασπιδα παντοσε ϝισην.
Το ϝρα δι᾽ ασπιδος ηλθε φαεινης οβριμον εγχος,
Και δια θωρηκος πολυδαιδαλου ηρηρειστο·
Αντικρυ δε παρα ϝλαπαρην διαϝμησε χιτωνα
Εγχος· ὁ δ᾽ εκλινθη, και αλευατο κηρα μελαιναν.

---

353. Ὡς τις ϝεϝριγησι. Ut aliquis horruerit: Vulgò, Οφρα τις ερρ̇ιγησι· sed perfectum reduplicationem postulat.

357. Το ϝρα δι᾽ ασπιδος ηλθε. Id sanè per scutum venit: Ita, τα δ᾽ εποχετο κηλα Θεοιο, Α. 383, 405. Vulgò, Δια μεν ασπιδος ηλθε, contra metrum, ut et Δ. 135, Η. 251, Λ. 435. Το ϝρα legitur, Π. 228. Clarkius rapidum hastæ transitum tribus brevibus depingi censet, et ejusdem in voce ηρηρειστο moram; alii primam a tono produci volunt; digamma perditum mutationem induxisse videtur. Alii, ομβριμον εγχος. ηρηρειστο, figebatur, ab ερειδω.

359. παρα ϝλαπαρην διαϝμησε. juxta ventrem persecuit: Vocales breves ante ϝλαπαρη sæpe productæ digamma indicant; vide Χ. 307. Αϝμαω, meto, primam corripit, Η. 253, Ω. 165, Od. ε. 482, ι. 247; producit, Λ. 67, Σ. 551, Τ. 223, Od. φ. 301. Syllaba anceps digamma indicat.

360. και αλευατο κηρα μελαιναν. et evitavit fatum nigrum: Verbum non nisi in aoristo primo occurrit; aliæ formæ sunt, ηλευατο, αλευεαι, αλεαιτο,

Ατρεΐδης δε, ϝερυσσαμενος ξιφος αργυροηλον,
Πληξεν ανασχομενος κορυθος φαλον· αμφι δ' αρ αυτῳ
Τριχθα τε και τετραχθα διατρυφεν εκπεσε χειρος·
Ατρεΐδης δ' ῳμωξε, ϝιδων εις ουρανον ευρυν·
Ζευ πατερ, ου τις σειο Θεων ολοωτερος αλλος·
Η τ' εφαμην τισεσθαι Αλεξανδρον κακοτητος.
Νυν δε μοι εν χειρεσσ' εϝαγη ξιφος· εκ δε μοι εγχος
Ηΐχθη παλαμηφι ϝετωσιον, ουδ' εβαλον μιν.
Η, και επαΐξας, κορυθος ϝλαβεν ἱπποδασειης,
Ἑλκε δ' επιστρεψας μετ' εϋκνημιδας Αχαιους·
Αγχε δε μιν πολυκεστος ιϝμας ἁπαλην ὑπο δειρην,
Ὁς ϝοι ὑπ' ανθερεωνος οχευς τετατο τρυφαλειης.
Και νυ κεν εϝρυσσεν τε, και ασπετον ηρετο κυδος,
Ει μη αρ οξυ νοησε Διος θυγατηρ Αφροδιτη,
Ἡ ϝοι ϝρηξεν ιϝμαντα βοος ϝιφι κταμενοιο·
Κεινη δε τρυφαλεια θ' ἁμ' ἑσπετο χειρι παχειῃ.
Την μεν επειθ' ἡρως μετ' εϋκνημιδας Αχαιους
Ϝριψ' επιδινησας, κομισαν δ' εριηρες ἑταϝροι.

αλενται, αλεωμεθα, αλεασθαι, αλευασθαι, αλευαμενος· videtur igitur, ηλεϝσαμην, et ηλεϝαμην, fuisse. Γ. 270.

363. Τριχθα τε και τετραχθα. Terque quaterque: Hæ voces sonum fracti ensis imitari creduntur.

367. εϝαγη ξιφος. perfractus est ensis: Vulgò, εαγη· penultimam corripit, Δ. 214, et alibi; vide Λ. 558. Ϝαγνυμι in locis octo digamma postulat, in sex admittit, in uno, Ψ. 292, vocula antecedens mutanda. In voce χειρεσσι elisio licet; χερσι contrà nusquam eliditur; et sic de aliis vocibus.

368. ϝετωσιον. frustra: in tribus locis digamma postulat, in tribus admittit. Forsan παλαμηθε vera est lectio; non tamen affirmare audeo præpositiones genitivum regere non posse. Vide Α. 208.

371. Αγχε δε μιν πολυκεστος ιϝμας. Suffocabat verò eum multùm acu pictum lorum: Ita, κεστον ιϝμαντα, Ποικιλον, Ξ. 214; nihil nisi lorum sutum vocatur; forsan igitur acus non jam oculum habebat. Ιϝμας, vulgò ἱμας, primam plerumque corripit, sed producit, Θ. 544, Κ. 475, Ψ. 363, ut et ιϝμασεν passim, unde constat digamma accipere, quod aspirationem ad se trahit; hinc etiam ϝμαστιξ, Ε. 784.

373. και ασπετον ηρετο κυδος. et immensam tulisset gloriam: Ita, κυδος αροιο, Ι. 303; κυδος αρεσθαι, Π. 88; την αρομην, Ψ. 592; την αρετο, Ι. 188; et passim. Vulgò hìc, et Ξ. 510, Χ. 393, ηρατο legitur; Eustathius tamen ηρατο habet, et variam lectionem ηρετο memorat; in omnibus igitur eandem formam exhibendam censui. Αιρω verbum non est Homericum; vide Ρ. 724.

Αυταρ ὁς αιψ επορουσε κατακταμεναι μενεαινων
Εγχει χαλκειῳ· τον δ' εξηρπαξ' Αφροδιτη
Ϝρεια μαλ', ὡς τε Θεος· εκαλυψε δε ϝ' ηερι πολλῃ,
Καδδ' εἱσ' εν θαλαμῳ ευωδεϊ, κηωεντι.
Αυτη δ' αυθ' Ἑλενην καλεουσ' ιε· την δ' εκιχανε
Πυργῳ εφ' ὑψηλῳ· περι δε Τροϊαι ϝαλις ησαν·
Χειρι δε νεκταρεου ϝεανου ετιναξε ϝλαβουσα·
Γρηϊ δε μιν ϝεϝικυια παλαιγενεϊ προσεϝειπεν,
Ειροκομῳ, ἡ ϝοι Λακεδαιμονι ναιεταωσῃ
Ησκεεν ειρια καλα, μαλιστα δε μιν φιλεεσκε·
Τῃ μιν ϝεισαμενη προσεφωνεε δϊ' Αφροδιτη·
Δευρ' ιθ'· Αλεξανδρος σε καλεϊ ϝοικονδε νεεσθαι·
Κεινος ὁγ' εν θαλαμῳ και δινωτοισι λεχεσσι,
Καλλεϊ τε στιλβων και ϝειμασιν· ουδε κε φαιης
Ανδρι μαχεσσαμενον τονγ' ελθειν, αλλα χορονδε
Ερχεσθ', ηε χοροιο νεον ϝληγοντα καθιζειν.
Ὡς φατο· τῃ δ' αρα θυμον ενι στηθεσσιν ορινε·
Και ϝρ' ὡς ουν ενοησε Θεας περικαλλεα δειρην,

---

375. βοος ϝιφι κταμενοιο. tauri vi cæsi: coria enim animalium, quæ morbo occumbunt, debilia sunt.

376. Κεινη δε τρυφαλεια θ' ἀμ' ἑσπετο. Inanis verò galea quoque simul sequebatur: Vulgò, τρυφαλεια ἀμ' ἑσπετο, metro imperfecto; potes etiam συνεσπετο, vel μεθεσπετο, legere. Bentleius, τρυφαλει' ἀμ' εφεσπετο, proposuit.

382. κηωεντι. odorante: a καιω, quia thura uruntur.

384. περι δε Τροϊαι ϝαλις ησαν. circùm verò Trojanæ satis erant: id est, multæ, confertæ. Vulgò, Τρωαι· hæc tamen vox nusquam occurrit, nisi ubi tres syllabas habere possit, et sæpe tres postulat, ut, Τρωϊοι ἱπποι, E. 222. Primam ancipitem habet, ut ἱερος, A. 147, δαϊος, B. 415, et Θρηϊκα, B. 595; vide Z. 380, X. 57, Ψ. 291. Knightius Τροϝιδες edidit.

385. ϝεανου. vestis: Rectè monuit Clarkius duas esse voces ϝεανος, vestis, penultimâ brevi, et εανος, subtilis, penultimâ productâ; digamma insuper distinguuntur.

386. ϝεϝικυια. similis: ita rectè Knightius; vide A. 47. Bentleius, ϝεικυια.

392. Καλλεϊ τε στιλβων, και ϝειμασι. Formâque nitens, et vestibus: Nonnulli καλλος unguenti genus fuisse volunt.

396. Και ϝρ' ὡς. Versus quinque et viginti a grammaticis antiquis damnabantur. Sunt tamen pulcherrimi.

Στηθεα θ' ἱμεροεντα, και ομματα μαρμαιροντα,
Θαμβησεν τ' αρ επειτα, ϝεπος τ' εφατ', εκ τ' ονομαζε·
Δαιμονιη, τι με ταυτα λιλαιεαι ηπεροπευειν;
Η πη με προτερω πολιων ευ ναιομεναων
Αξεις, η Φρυγιης, η Μηονιης ερατεινης,
Ει τις τοι και κειθι φιλος ϝμεροπων ανθρωπων;
Οὑνεκα δη νυν διον Αλεξανδρον Μενελαος
Νικησας εθελει στυγερην εμε ϝοικαδ' αγεσθαι,
Τουνεκα δη νυν δευρο δολοφρονεουσα παρεστης;
Ἡσο παρ' αυτον ιουσα, Θεων δ' αποϝειπε κελευθους,
Μηδ' ετι σοισι ποδεσσιν ὑποστρεψειας Ολυμπον,
Αλλ' αιει περι κεινον οϊζυε, και ϝε φυλασσε,
Εισοκε σ' η αλοχον ποιησεται, η ὁγε δουλην.
Κεισε δ' εγων ουκ ειμι, νεμεσσητον δε κεν ειη,
Κεινου πορσυνεουσα λεχος· Τροϊαι δε μ' οπισσω
Πασαι μωμησονται· εχω δ' αχε' ακριτα θυμῳ.
Την δε χολωσαμενη προσεφωνεε δι' Αφροδιτη·
Μη μ' ερεθε, σχετλιη· μη χωσαμενη σε μεθειω,
Τως δε σ' απεχθηρω, ὡς νυν εκπαγλ' εφιλησα·
Μεσσῳ δ' αμφοτερων μητισομαι εχθεα λυγρα
Τρωων και Δαναων· συ δε κεν κακον οιτον οληαι.
Ὡς εφατ'· εδδεισεν δ' Ἑλενη Διος εκγεγαυια.
Βη δε κατασχομενη ϝεανῳ αργητι φαεινῳ,
Σιγῃ· πασας δε Τροϊας λαθεν· ηρχε δε δαιμων.
Αἱ δ' ὁτ' Αλεξανδροιο δομον περικαλλε' ἱκοντο,
Αμφιπολοι μεν επειτα θοως επι ϝεργα τραποντο,
Ἡ δ' εις ὑψοροφον θαλαμον κιε δια γυναικων.

---

399. ηπεροπευειν. decipere: nempe, ut antea fecisti, cùm me Paridi rapiendam tradidisti.

409. η ὁγε δουλην. aut ille ancillam: Pronominis insertio quiddam grati habet; ita, Η ὁγε και Σπαρτηθεν, Od. β. 326. Imitati sunt multi, ut Virgilius, nunc ille sinistrâ, et Horatius, neque tu choreas.

418. εδδεισεν δ' Ἑλενη. Deæ magnæ iram reformidat.

419. ϝεανῳ αργητι φαεινῳ. veste candidâ splendidâ: Alia forma est αργετι, Λ. 817. Fulminis epitheton est, Θ. 133.

424. φιλοϝμειδης Αφροδιτη. risus amans Venus: MSS. plerique φιλομειδης

Τῃ δ' αρα διφρον εϝλουσα φιλοϝμειδης Αφροδιτη,
Αντι' Αλεξανδροιο Θεα κατεθηκε φερουσα·
Ενθα καθιζ' Ἑλενη, κουρη Διος αιγιοχοιο,
Οσσε παλιν κλινασα· ποσιν δ' ηνιπαπε μυθῳ·
Ηλυθες εκ πολεμου· ὡς ωφελες αυτοθ' ολεσθαι,
Ανδρι δαμεις κρατερῳ, ὃς εμος προτερος ποσις ηεν.
Η μεν δη πριν γ' ευχε' Αϝρηϊφιλου Μενελαου,
Σῃ τε βιῃ, και χερσι, και εγχεϊ, φερτερος ειναι·
Αλλ' ιθι νυν προκαλεσσαι Αϝρηϊφιλον Μενελαον
Εξαυτις μαχεσασθαι εναντιον· αλλα σ' εγωγε
Παυσασθαι κελομαι, μηδε ξανθῳ Μενελαῳ
Αντιβιον πολεμον πολεμιζειν ηδε μαχεσθαι
Αφραδεως, μη πως ταχ' ὑπ' αυτου δουρι δαμειῃς.
Την δε Παρις μυθοισιν αμειβομενος προσεϝειπε·
Μη με, γυναι, χαλεποισιν ονειδεσι θυμον ενιπτε.
Νυν μεν γαρ Μενελαος ενικησεν συν Αθηνῃ·
Κεινον δ' αυτις εγω· παρα γαρ Θεοι εισι και ἡμιν.
Αλλ' αγε δη φιλοτητι τραπειομεν ευνηθεντε·
Ου γαρ πω ποτε μ' ὡδε φρενας ερος αμφεκαλυψεν·
Ουδ' ὁτε σε προτερον Λακεδαιμονος εξ ερατεινης
Επλεον ἁρπαξας εν ποντοποροισι νεεσσι,
Νησῳ δ' εν Κραναῃ εμιγην φιλοτητι και ευνῃ·
Ὡς σεο νυν εραμαι, και με γλυκυς ἱμερος αἱρεῖ.
Η ϝρα, και αρχε λεχοσδε κιων, ἁμα δ' ἑσπετ' ακοιτις·
Τω μεν αρ εν τρητοισι κατευνασθεν λεχεεσσιν.
Ατρεϊδης δ' αν' ὁμιλον εφοιτα, θηρι ϝεϝοικως,
Ει που εσαθρησειεν Αλεξανδρον θεοϝειδεα.

---

habent, sed secunda nusquam corripitur; alii φιλομμειδης· vide Α. 595. Non nisi Veneris epitheton est.

436. δαμειῃς. domeris: Subjunctivus antiquus, ut et τραπειομεν, Γ. 441; vide Α. 26.

442. ὡδε φρενας ερος αμφεκαλυψεν. sic mentem amor cooperuit: Ita, Θεας ερος, Ξ. 315; εξ ερον ἑντο, Α. 469. Vulgò, ὡδε ερως φρενας, metro imperfecto; ερως vox non est Homerica.

443. προτερον. olim: Alii, πρωτον, primùm.

444. ἁρπαξας. rapiens: Ipse hìc Paris se Helenam rapuisse fatetur.

448. τρητοισι. teretrâ factis: τετρηνα δε παντα τερετρῳ, Od. ψ. 198.

Αλλ᾽ ουτις δυνατο Τρωων κλεϊτων τ᾽ επικουρων
Δειξαι Αλεξανδρον τοτ᾽ Αϝρηϊφιλῳ Μενελαῳ.
Ου μεν γαρ φιλοτητι γ᾽ εκευθανον, ει τις ὁρᾶτο·
Ϝισον γαρ σφιν πασιν απηχθετο κηρι μελαινῃ.
Τοισι δε και μετεϝειπε ϝαναξ ανδρων Αγαμεμνων·
  Κεκλυτε μευ, Τρωες, και Δαρδανοι, ηδ᾽ επικουροι·
Νικη μεν δη φαινετ᾽ Αϝρηϊφιλου Μενελαου·
Ὑμεις δ᾽ Αργειην Ἑλενην και κτημαθ᾽ ἁμ᾽ αυτῃ
Εκδοτε, και τιμην αποτινεμεν, ἡν τε ϝεϝοικεν,
Ἡ τε και εσσομενοισι μετ᾽ ανθρωποισι πεληται.
Ὡς εφατ᾽ Ατρεϊδης, επι δ᾽ ῃνεον αλλοι Αχαιοι.

---

453. ει τις ὁρᾶτο. si quis videbat: vel, ει ϝε ϝιδοιεν. Vulgò, ει τις ιδοιτο quod in digamma peccat. Knightius versus novem damnat.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Δ.

ARGUMENTA.

῾Ορκιων συγχυσις· Αγαμεμνονος επιπωλησις· Μαχης αρχη.
Δελτα, βαλ᾽ Ατρειδην ὑπερ ὁρκια Πανδαρος ἰῳ.

1. JUPITER Junoni Trojæ excidium invitus concedit.—70. Minervam a fœdus rumpendum mittit.—86. Eâ suadente, Pandarus sagittâ Menelaum vulnerat.—148. Agamemnon fratrem luget, eique Machaon medetur.-220. Agamemnon exercitum obit, principesque hortatur, 251, Idomeneum, 273, Ajaces, 293, Nestorem, 337, Ulyssem, 365, et Diomedem.-422. Concurritur.—457. Antilochus primus Echepolum interficit, Agenor Elephenorem, Ajax Simoisium, Antiphus Leucum, Ulysses Democoontem, Pirous Diorem, et Piroum Thoas.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Δ.

ΟʽΙ δε Θεοι παρ Ζηνι καθημενοι ηγοροωντο
Χρυσεῳ εν δαπεδῳ, μετα δε σφισι ποτνιας ʽΗβη
Νεκταρ εϝοινοχοει· τοι δε χρυσεοις δεπαεσσι
Δειδεχατʼ αλληλους, Τρωων πολιν εισορoωντες.
Αυτικʼ επειρᾶτο Κρονιδης ερεθιζεμεν ʽΗρην,
Κερτομιοις ϝεπεεσσι παραβληδην αγορευων·
Δοιαι μεν Μενελαῳ αρηγονες εισι Θεαων,
ʽΗρη τʼ Αργειη, και Αλαλκομενηϊς Αθηνη·
Αλλʼ ητοι ται νοσφι καθημεναι εισορoωσαι
Τερπεσθον· τῳ δʼ αυτε φιλοϝμειδης Αφροδιτη
Αιει παρμεμβλωκε, και αυτου κηρας αμυνει·
Και νυν εξεσαωσεν οϊομενον θανεεσθαι.
Αλλʼ ητοι νικη μεν Αϝρηϊφιλου Μενελαου·
ʽΗμεις δε φραζωμεθʼ, ὁπως εσται ταδε ϝεργα·
Η ϝρʼ αυτις πολεμον τε κακον και φυλοπιν αινην
Ορσομεν, η φιλοτητα μετʼ αμφοτεροισι βαλωμεν.

---

1. Οἱ δε Θεοι. Panditur interea domus omnipotentis Olympi,
Conciliumque vocat Divûm Pater atque hominum Rex
Sideream in sedem. Æn. x. 1.

2. Χρυσεῳ εν δαπεδῳ. Aureo in solo: ποτνιας ʽΗβη, veneranda Hebe: Vulgò, ποτνια· vide A. 551.

4. Δειδεχατο. Excipiebant: Ita, δειδεκτʼ Αχιλλα, I. 224; id est, dextris prehensis, aut aliâ quâdam usitatâ bibentium formâ. Dicitur esse pro εδεδεχντο a δεχομαι· primam tamen in hoc sensu semper producit.

6. παραβληδην. indirectè: id est, non eam alloquens, sed verba in medium proferens; ita, ὑποβληδην, A. 292. Alii, comparatè, id est, cum Venere eam comparans.

8. Αλαλκομενηϊς. Ita dicta est ab urbe in Bœotiâ, ubi colebatur. Knightius versum damnat, ut et versus 47, 80, et 91.

11. παρμεμβλωκε. circumit: pro παραμεμοληκε, a μολεω, ut μεμβλεται, pro μεμεληται, T. 343; Hesychius. Knightius παρμεμολωκε edidit.

Ει δ' αυτως τοδε πασι φιλον και ϝηδυ γενοιτο,
Ητοι μεν ϝοικεοιτο πολις Πριαμοιο ϝανακτος,
Αυτις δ' Αργειην Ἑλενην Μενελαος αγοιτο.
Ὡς εφαθ'· αἱ δ' επεμυξαν Αθηναιη τε και Ἡρη·
Πλησιαι αἱγ' ἡσθην, κακα δε Τρωεσσι μεδεσθην.
Ητοι Αθηναιη ακεουσ' ην, ουδε τι ϝειπε,
Σκυζομενη Διϊ πατρι, χολος δε μιν αγριος ᾑρει·
Ἡρη δ' ουκ εχαδε στηθος χολον, αλλα προσηυδα·
Αινοτατε Κρονιδη, ποιον τον μυθον εϝειπες;
Πως εθελεις ἁλιον θειναι πονον, ηδ' ατελεστον
Ἱδροα, τον ϝρ' ἱδρωσα μογῳ; καμετην δε μοι ἱπποι
Λαον αγειρουσῃ, Πριαμῳ κακα, τοιο τε παισι.
Ϝερδ'· αταρ ου τοι παντες επαινεομεν Θεοι αλλοι.
Την δε ϝμεγ' οχθησας προσεφη ϝνεφεληγερετα Ζευς·
Δαιμονιη, τι νυ σε Πριαμος Πριαμοιο τε παιδες
Τοσσα κακα ϝρεζουσιν, ὁτ' ασπερχες μενεαινεις
Ϝιλιου εξαλαπαξαι εϋκτιμενον πτολιεθρον;
Ει δε συγ', εισελθουσα πυλας και τειχεα μακρα,
Ωμον βεβρωθοις Πριαμον, Πριαμοιο τε παιδας,
Αλλους τε Τρωας, τοτε κεν χολον εξακεσαιο.
Ϝερξον, ὁπως εθελεις, μη τουτο γε νεικος οπισσω
Σοι και εμοι ϝμεγ' ερισμα μετ' αμφοτεροισι γενηται.
Αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῃσιν·
Ὀπποτε κεν και εγω μεμαως πολιν εξαλαπαξαι

20. επεμυξαν. fremebant: clausis labiis sonum edebant: a μυζω.
22. ακεουσ' ην. tacita erat: Vulgò, ακεων ην· sed forma feminina sæpe occurrit, ut Α. 565, 569.
23. Σκυζομενη. Ægrè ferens, irata: a σκυζω.
24. Ἡρη δ' ουκ εχαδε. Tum regia Juno
Acta furore gravi; Quid me alta silentia cogis
Rumpere? Æn. x. 62.

27. Ἱδροα, τον ϝρ' ἱδρωσα μογῳ. Sudorem, quem sanè sudavi labore: Vulgò, ἱδρωθ', ὁν ἱδρωσα μογῳ, contra metrum; litteræ ϝ neglectus tot metri vitia induxit, ut quidvis licere visum fuerit. Ἱδρωτα non alibi occurrit; formam igitur usitatam restitui; Α. 620.
31. τι νυ σε. Quid meus Æneas in te committere tantum,
Quid Troes potuere? Æn. i. 227.

Την εθελω, ὁθι τοι φιλοι ανερες εγγεγαασι,
Μη τι διατριβειν τον εμον χολον, αλλα μ᾽ εϝασαι·
Και γαρ εγω σοι δωκα ϝεκων αϝεκοντι γε θυμῳ.
Αἱ γαρ ὑπ᾽ Ηελιῳ τε και ουρανῳ αστεροεντι
Ναιεταουσι ποληες επιχθονιων ανθρωπων,
Ταων μοι περι κῆρι τιεσκετο Γιλιος ἱρη,
Και Πριαμος, και λαος εϋϝμελιω Πριαμοιο.
Ου γαρ μοι ποτε βωμος εδευετο δαιτος εϊσης,
Λοιβης τε, κνισσης τε· το γαρ λαχομεν γερας ἡμεις.
Τον δ᾽ ημειβετ᾽ επειτα βοωπις ποτνιας Ἡρη·
Ητοι εμοι τρεις μεν πολυ φιλταται εισι πολη ες,
Αργος τε, Σπαρτη τε, και ευρυαγυια Μυκηνη·
Τας διαπερσαι, ὁκεν τοι απεχθωνται περι κῆρι·
Ταων ουτοι εγω προσθ᾽ ἱσταμαι, ουδε μεγαιρω.
Ει περ γαρ φθονεω τε, και ουκ εϝοω διαπερσαι,
Ουκ ανυω φθονεουσ᾽· επει η πολυ φερτερος εσσι.
Αλλα χρη και εμον θεμεναι πονον ουκ ατελεστον·
Και γαρ εγω Θεος ειμι, γενος δε μοι ενθεν, ὁθεν σοι.
Και με πρεσβυτατην τεκετο Κρονος αγκυλομητης,
Αμφοτερον γενεῃ τε, και οὑνεκα ση παρακοιτις
Κεκλημαι· συ δε πασι μετ᾽ αθανατοισι ϝανασσεις.
Αλλ᾽ ητοι μεν ταυθ᾽ ὑποϝειξομεν αλληλοισι,
Σοι μεν εγω, συ δ᾽ εμοι· επι δ᾽ ἑψονται Θεοι αλλοι
Αθανατοι· συ δε θασσον Αθηναιῃ επιτειλαι,

---

35. Ωμον βεβρωθοις, Crudum vorares: Fortissima dicta, ut eam odii pudere faciat.

37. μη τουτο γε νεικος. ne hæc quidem lis postea Tibi et mihi magna contentio inter ambos fiat:

42. αλλα μ᾽ εϝασαι. sed me sinere: Barnesius εϝασσαι· sed cùm penultimam rarò corripiat, scripturam usitatam retinui; vide κ. 299, Α. 276.

43. ϝεκων αϝεκοντι γε θυμῳ. lubens invito quidem animo: id est, promptè, licèt contra voluntatem. Hoc in proverbium transiit.

45. Ναιεταουσι πολη ες. Jacent urbes: vide Β. 626.

46. περι κῆρι. circum cor, ex corde: ita Δ. 53, et passim. Heynius περι ad τιεσκετο vult spectare.

54. ουτοι εγω. nequaquam ego: Alii, ουτι.

64. επιτειλαι. imperare: infinitivus pro imperativo.

Ελθειν ες Τρωων και Αχαιων φυλοπιν αινην,
Πειρᾱν θ', ὡς κεν Τρωες ὑπερκυδαντας Αχαιους
Αρξωσι προτεροι ὑπερ ὁρκια δηλησασθαι.
Ὡς εφατ'· ουδ' απιθησε πατηρ ανδρων τε Θεων τε·
Αυτικ' Αθηναιην ϝεπεα πτεροεντα προσηυδα·
Αιψα μαλ' ες στρατον ελθε μετα Τρωας και Αχαιους,
Πειρᾱν δ', ὡς κεν Τρωες ὑπερκυδαντας Αχαιους
Αρξωσι προτεροι ὑπερ ὁρκια δηλησασθαι.
Ὡς ϝειπων, ωτρυνε παρος μεμαυιαν Αθηνην·
Βη δε κατ' Ουλυμποιο καρηνων αΐξασα.
Οἱον δ' αστερ' ἑηκε Κρονου παϊς αγκυλομητεω,
Η ναυτῃσι τερας, ηε στρατῳ ευρεϊ λαων,
Λαμπρον· του δε τε πολλοι απο σπινθηρες ἱενται·
Τῳ ϝεϝικυι' ηϊξεν επι χθονα Παλλας Αθηνη,
Καδδ' εθορ' ες μεσσον· θαμβος δ' εχεν εισοροωντας,
Τρωας θ' ἱπποδαμους, και εϋκνημιδας Αχαιους.
Ὡδε δε τις ϝειπεσκε, ϝιδων ες πλησιον αλλον·
Η ϝρ' αυτις πολεμος τε κακος και φυλοπις αινη
Εσσεται, η φιλοτητα μετ' αμφοτεροισι τιθησι
Ζευς, ὁς τ' ανθρωπων ταμιης πολεμοιο τετυκται.
Ὡς αρα τις ϝειπεσκεν Αχαιων τε Τρωων τε.
Ἡ δ' ανδρι ϝικελη Τρωων κατεδυσαθ' ὁμιλον,

---

66. Πειρᾱν τε. Experirique: τε forsan melius abesset. ὑπερκυδαντες, nimis gloriantes: a κυδαινω, ut γημας a γαμεω.

tu bella cie, conceptumque excute fœdus. Æn. xii. 158.

75. Οἱον δ' αστερ' ἑηκε. Qualem verò stellam misit: aut cometam, aut meteoron. Vulgò, αστερα ἡκε· vide Α. 48. Sic in Hymno ad Apollinem, 440.

Ενθ' εκ νηος ορουσε ϝαναξ ἑκαϝεργος Απολλων
Αστερι ϝειδομενος μεσῳ ηματι, του δ' απο πολλαι
Σπινθαριδες ποτοωντο, σελας δ' εις ουρανον ἱκεν.

79. θαμβος δ' εχεν εισοροωντας. stupor verò tenuit spectantes: signum vident omnes; explicatio vatum erat.

89. Εὑρε. Invenit: Hoc verbum sæpe sine nexu ponitur, ut Δ. 327, Ε. 169, Ο. 239.

91. παρ' Αισηποιο ϝροαων. ab Æsepi fluminibus: Ita Bentleius, ut Δ. 500, Od. χ. 197. Vulgò, απο, metro imperfecto.

93. Η ϝρα νυ μοι τι πιθοιο. Homerus omnia docet, seu bona, seu mala, Deorum interventu evenire. Minerva, cùm ei a Jove mandatum fuerit

Λαοδοκῳ Αντηνοριδῃ, κρατερῳ αιχμητῃ,
Πανδαρον αντιθεον διζημενη, ει που εφευροι·
Εὗρε Λυκαονος υἱον αμυμονα τε κρατερον τε
Ἑσταοτ᾽· αμφι δε μιν κραταραι στιχες ασπισταων,
Λαων, οἱ ϝοι ἑποντο παρ᾽ Αισηποιο ϝροαων·
Αγχοθι δ᾽ ἱσταμενη ϝεπεα πτεροεντα προσηυδα·
Η ϝρα νυ μοι τι πιθοιο, Λυκαονος υἱε δαϊφρον;
Τλαιης κεν Μενελαῳ επιπροεμεν ταχυν ιον·
Πασι δε κε Τρωεσσι χαριν και κυδος αροιο,
Εκ παντων δε μαλιστα κ᾽ Αλεξανδρῳ βασιληϊ·
Του κεν δη παμπρωτα παρ᾽ αγλαα δωρα φεροιο,
Αι κε ϝιδῃ Μενελαον Αϝρηϊον, Ατρεος υἱον,
Σῳ βελεϊ δμηθεντα, πυρης επιβαντ᾽ αλεγεινης.
Αλλ᾽ αγ᾽ οϊστευσον Μενελαου κυδαλιμοιο·
Ευχεο δ᾽ Απολλωνι Λυκηγενεϊ, κλυτοτοξῳ,
Ϝαρνων πρωτογονων ϝρεξειν κλεϊτην ἑκατομβην,
Ϝοικαδε νοστησας ἱερης ες ϝαστυ Ζελειης.
Ὡς φατ᾽ Αθηναιη· τῳ δε φρενας αφρονι πειθεν.
Αυτικ᾽ εσυλα τοξον εΰξοον, ιξαλου αιγος
Αγριου, ὁν ϝρα ποτ᾽ αυτος, ὑπο στερνοιο τυχησας,
Πετρης εκβαινοντα δεδεγμενος εν προδοκῃσι,
Βεβληκει προς στηθος· ὁ δ᾽ ὑπτιος εμπεσε πετρῃ.

---

fœdus rumpere, Pandarum, hominem stultum et improbum, adit. Formam humanam induit, et non nisi lucro et vanâ gloriâ animum incitat. Citò sequitur facilitatis et nequitiæ ejus castigatio, Ε. 290; servatur contrà Menelaus, Δ. 127.

96. μαλιστα κ᾽ Αλεξανδρῳ. præcipuè tum Paridi: Particulam sequelæ inserui ad metrum implendum, sed eleganter repetitur, ut Γ. 41, Ν. 128. Bentleius μαλιστα γ᾽. Knightius quatuor versus damnat.

101. Λυκηγενεϊ. manè nato: nempe ante Solem ortum, ut Junonem falleret, quæ partum prohibuisset; Hymn. ad Apoll. Hoc quidem Solis esse epitheton potuit.

104. τῳ δε φρενας αφρονι πειθεν.

Pandare, qui quondam *jussus* confundere fœdus
In medios telum torsisti primus Achivos. Æn. v. 496.

105. εσυλα. spoliavit, e thecâ duxit: ιξαλου αιγος· genus capri feri, cornua prælonga habentis, qui nobis Ibex vocatur.

107. Πετρης εκβαινοντα. Ecce feræ saxi dejectæ vertice capræ. Æn. iv. 152.

Του κερα᾽ εκ κεφαλης ἑκκαιδεκαδωρα πεφυκει·
Και τα μεν ασκησας κεραοξοος ηραρε τεκτων,
Παν δ᾽ ευ λειηνας, χρυσεην επεθηκε κορωνην·
Και το μεν ευ κατεθηκε τανυσσαμενος, ποτι γαιῃ
Αγκλινας· προσθεν δε σακεα σχεθον εσθλοι ἑταϝροι,
Μη πριν αναΐξειαν Αϝρηϊοι υἱες Αχαιων,
Πριν βλησθαι Μενελαον Αϝρηϊον, αρχον Αχαιων.
Αυταρ ὁ συλα πωμα φαρετρης· εκ δ᾽ εϝλετ᾽ ιον
Αβλητα, πτεροεντα, μελαινων ἑρμ᾽ οδυναων·
Αιψα δ᾽ επι νευρῃ κατεκοσμεε πικρον οϊστον,
Ευχετο δ᾽ Απολλωνι Λυκηγενεϊ, κλυτοτοξῳ,
Ϝαρνων πρωτογονων ϝρεξειν κλειτην ἑκατομβην,
Ϝοικαδε νοστησας ἱερης ες ϝαστυ Ζελειης.
Ἑλκε δ᾽ ὁμου γλυφιδας τε ϝλαβων, και νευρα βοεια·
Νευρην μεν μαζῳ πελασεν, τοξῳ δε σιδηρον.
Αυταρ επει δη κυκλοτερες ϝμεγα τοξον ετεινε,

---

109. Του κερα᾽ εκ κεφαλης. Ejus cornua ex capite: pro κεραα· vulgò, κερα. ἑκκαιδεκαδωρα, sedecim palmarum: videtur hæc amborum cornuum longitudo fuisse.

110. ηραρε. aptavit: aoristus secundus ab αρω· Μ. 105.

113. σακεα. scuta: σακη pronuntiandum, ut Stephanus edidit.

115. Πριν. Knightius hunc versum, et 117, 134, 140, 145, et 149, damnat.

116. Αυταρ ὁ συλα. auratâ volucrem Threissa sagittam
Depromsit pharetrâ, cornuque infensa tetendit. Æn. xi. 858.

117. Αβλητα. non antea jactam: ἑρμα, causam: ab ειρω, necto; fulcra, significat, Β. 154; inaures, Ξ. 182.

119. Ευχετο. audacibus annue cœptis;
Ipse tibi ad tua templa feram solemnia dona,
Et statuam ante aras auratâ fronte juvencum. Æn. ix. 625.

122. Ἑλκε δ᾽ ὁμου γλυφιδας. crenas, incisuras:
Et duxit longè, donec curvata coirent
Inter se capita, et manibus jam tangeret æquis
Lævâ aciem ferri, dextrâ nervoque papillam. Æn. xi. 860.

125. Λιγξε βιος. sonat unà fatifer arcus,
Et fugit horrendùm stridens elapsa sagitta. Æn. ix. 631.

126. επιπτεσθαι μενεαινων. advolare cupiens: pro επιπετεσθαι. Sagitta emissa quasi animâ prædita videtur. Ita, ϝιεμενη, Ο. 543; λιλαιομενα, Λ. 573.

127. Ουδε σεθεν, Μενελαε. Neve tui, Menelae: Secundæ personæ usus admodum venustus est, et amorem indicat. Erat quidem Græcorum

Λιγξε βιος, νευρη δε ϝμεγ' ιαχεν, αλτο δ' οϊστος
Οξυβελης, καθ' ὁμιλον επιπτεσθαι μενεαινων.
 Ουδε σεφιν, Μενελαε, Θεοι μακαρες λελαθοντο
Αθανατοι, πρωτη δε Διος θυγατηρ Αγελαη,
Ἡ τοι προσθεν στασα, βελος εχεπευκες αμυνεν.
Ἡ δε τοσον μεν εεργεν απο χροος, ὡς ὁτε μητηρ
Παιδος εεργει μυιαν, ὁ ϝηδεϊ λεξεται ὑπνῳ·
Αυτη δ' αυτ' ιθυνεν, ὁθι ζωστηρος οχηες
Χρυσειοι συνεχον, και διπλοος ηντετο θωρηξ·
Εν δ' επεσε ζωστηριν αρηροτι πικρος οϊστος.
Ὁς ϝρα δια ζωστηρος εληλατο δαιδαλεοιο,
Και δια θωρηκος πολυδαιδαλου ηρηρειστο,
Μιτρης θ', ἡν εφορει, ϝερυμα χροος, ἑρκος ακοντων,
Ἡ ϝοι πλειστον εϝρυτο, δια προ δε ϝισατο και της·
Ακροτατον δ' αρ οϊστος επεγραψε χροα φωτος·
Αυτικα δ' εϝρεεν αἱμα κελαϝνεφες εξ ωτειλης.

---

omnium maximè mitis et amabilis Menelaus. Hinc Græciæ totius principes injuriæ ei allatæ ultionem libenter susceperunt. Victoria de Paride nuper parta, et vulnus contra fidem datum, benevolentiam eorum de novo accendunt. Hominibus pariter, et Diis, carus erat.

128. Αγελαη. populum ducens: Ita Μενελαος, Αγελαος, Θ. 256, et Αγησιλαος. Vulgò, Αγελαιη, sed ι male insertum videtur. Alii, Αγελειη, ducens prædam; sed λειη vox non est Homerica.

130. Ἡ δε τοσον. Similitudo amabilis, et loco aptissima. ε in εεργεν non augmentum est, sed pars verbi, ut ex εεργει patet; vide Β. 617.

131. ὁ ϝηδεϊ λεξεται ὑπνῳ. qui dulci cubuerit somno: Vulgò, ὁθ' ἡδεϊ, quod tamen pro ὁ τε esset. Alii, λεξατο.

132. ὁθι ζωστηρος οχηες. teritur quà sutilis alvo
 Balteus, et laterum juncturas fibula mordet. Æn. xii. 273.

134. ζωστηριν αρηροτι. balteo aptato: Facilè, Εν δε ζωστηρι πεσ' αρηροτι, scripsisse potuit.

135. Ὁς ϝρα δια ζωστηρος. Illa sanè per balteum: ut Α. 405. Vulgò, Δια μεν αρ ζωστηρος, contra metrum; vide Γ. 357. Heynius, Δια μεν αρα, proposuit. εληλατο, adigebatur, plusquam perfectum ab ελαυνω.

137. ϝερυμα. tutamen: a ϝερυω, Α. 141.

138. εϝρυτο. tutata est: plusquam perfectum passivum ab εϝρυω· Α. 141.

138. ϝισατο. cupidè ibat: aoristus primus, a ϝιεμαι· in quinque locis digamma postulat, in uno admittit. Vulgò, εισατο. Alia verba sunt εϝεισαμην a ϝειδομαι, Β. 215, et εισαμην ab ειμι, Ν. 93. Male hîc Heynius εεισατο vult legere, cùm Homerus augmenta vocalibus non præfigat.

140. κελαϝνεφες. niger: propriè ut nubes.

Συν κεινῃσιν νηυσι, λιπων αγαθον Μενελαον.
Ὡς ποτε τις ϝερεει· τοτε μοι χανοι ευρεια χθων.
Τον δ' επιθαρσυνων προσεφη ξανθος Μενελαος·
Θαρσει, μηδε τι πω δειδισσεο λαον Αχαιων·
Ουκ εν καιριῳ οξυ παγη βελος, αλλα παροιθεν
Εϝρυσατο ζωστηρ τε παναιολος, ηδ' ὑπενερθε
Ζωμα τε, και μιτρη, την χαλκηες καμον ανδρες.
Τον δ' απαμειβομενος προσεφη κρειων Αγαμεμνων·
Αι γαρ δη οὑτως ειη, πεπον ω Μενελαε·
Ἑλκος δ' ιητηρ επιμασσεται, ηδ' επιθησει
Φαρμαχ', ἁ κεν παυσησι μελαιναων οδυναων.
Η, και Ταλθυβιον, θειον κηρυκα, προσηυδα·
Ταλθυβι', ὁ ϝρα ταχιστα Μαχαονα δευρο καλεσσον,
Φωτ', Ασκληπιου υἱον αμυμονος ιητηρος,
Ὀϝρα ϝιδῃ Μενελαον Αϝρηϊον, αρχον Αχαιων,
Ὁν τις οϊστευσας εβαλεν, τοξων εΰ ϝειδως,
Τρωων η Λυκιων· τῳ μεν κλεος, αμμι δε πενθος.
Ὡς εφατ'· ουδ' αρα ϝοι κηρυξ απιθησεν ακουσας·
Βη δ' ιεναι κατα λαον Αχαιων χαλκοχιτωνων,
Παπταινων ἡρωα Μαχαονα· τον δ' ενοησεν
Ἑσταοτ'· αμφι δε μιν κρατεραι στιχες ασπισταων,
Λαων, οἱ ϝοι ἑποντ' εκ Τρικκης ἱπποβοτοιο.
Αγχοθι δ' ἱσταμενος ϝεπεα πτεροεντα προσηυδα·
Ορσ', Ασκληπιαδη· καλεει κρειων Αγαμεμνων,
Ὀϝρα ϝιδῃς Μενελαον Αϝρηϊον, Ατρεος υἱον,
Ὁν τις οϊστευσας εβαλεν, τοξων εΰ ϝειδως,

---

181. Συν κεινῃσιν νηυσι. Cum inanibus navibus: Duplex forma κεινος, et κενεος· forsitan vera forma est κεϝνος· κενος non occurrit.

182. τοτε μοι χανοι ευρεια χθων.

Sed mihi vel tellus optem priùs ima dehiscat. Æn. iv. 24.

189. πεπον ω Μενελαε. o care Menelae: Vulgò, φιλος ω Μενελαε· eâdem emendatione egent, I. 597, Φ. 106, Ψ. 313, 343, 627; Homerus hanc licentiam in hâc unâ voce non sibi permisisset. Vide B. 235.

190. Ἑλκος δ' ιητηρ επιμασσεται. Vulnus verò medicus tractabit: a μαω.

202. Εκ Τρικκης. Vulgò, Τρικης εξ· urbs tamen Tricca erat, B. 729.

Τρωων η Λυκιων· τῳ μεν κλεος, αμμι δε πενθος.
῾Ως φατο· τῳ δ' αρα θυμον ενι στηθεσσιν ορινε·
Βαν δ' ιεναι καθ' ὁμιλον ανα στρατον ευρυν Αχαιων.
Αλλ' ὁτε δη ϝρ' ἱκανον, ὁθι ξανθος Μενελαος
Βλημενος ην, περι δ' αυτον αγηγεραθ', ὁσσοι αριστοι,
Κυκλοσ', ὁ δ' εν μεσσοισι παριστατο ϝισοθεος φως·
Αυτικα δ' εκ ζωστηρος αρηροτος ἑλκεν οϊστον·
Του δ' εξελκομενοιο, παλιν ϝαγεν οξεες ογκοι·
Λυσε δε ϝοι ζωστηρα παναιολον, ηδ' ὑπενερθε
Ζωμα τε, και μιτρην, την χαλκηες καμον ανδρες.
Αυταρ επει ϝιδεν ἑλκος, ὁθ' εμπεσε πικρος οϊστος,
Αἱμ' εκμυζησας, επ' αρ ηπια φαρμακα ϝειδως
Πασσε, τα ϝοι ποτε πατρι φιλα φρονεων πορε Χειρων.
῾Οϝρα τοι αμφεπενοντο βοην αγαθον Μενελαον,
Τοϝρα δ' επι Τρωων στιχες ηλυθον ασπισταων·
Οἱ δ' αυτις κατα τευχε' εδυν, μνησαντο δε χαρμης.
Ενθ' ου κεν βριζοντα ϝιδοις Αγαμεμνονα διον,
Ουδε καταπτωσσοντ', ουδ' ουκ εθελοντα μαχεσθαι·
Αλλα μαλα σπευδοντα μαχην ες κυδιανειραν.
῾Ιππους μεν γαρ εϝασε και ἁρματα ποικιλα χαλκῳ·
Και τους μεν θεραπων απανευθ' εχε φυσιοωντας,
Ευρυμεδων, υἱος Πτολεμαιου Πειραϊδαο.
Τῳ μαλα πολλ' επετελλε παρισχεμεν, ὁπποτε κεν μιν
Γυια ϝλαβῃ καματος, πολεας διακοιρανεοντα·
Αυταρ ὁ πεζος εων επεπωλειτο στιχας ανδρων·
Και ϝρ' οὑς μεν σπευδοντας ὁρα Δαναων ταχυπωλων,

Liv. 32, 13, Plin. 4, 8, Strabo. Knightius versum damnat, ut et 197, 207.

212. ὁ δ' εν μεσσοισι. ille verò in mediis: Nempe Machaon.

214. παλιν ϝαγεν οξεες ογκοι. retrò fracti erant acuti hami: nempe in balteo; non enim cutem intraverant. ϝαγεν pro εϝαγησαν a ϝαγω, Γ. 367.

221. Τοϝρα δ' επι Τρωων στιχες ηλυθον. Trojani prælium incipiunt, quo Pandari injuriam probant. Knightius tamen versum damnat.

223. Ενθ' ου κεν βριζοντα. Agamemnon exercitum obit, principesque hortatur. βριζοντα, dormitantem: καταπτωσσοντα, paventem:

232. Και ϝρ' οὑς μεν σπευδοντας ὁρα. Et sanè quos quidem properantes vidit: Vulgò, ιδοι, ut et Δ. 240; quod in digamma peccat.

Τους μαλα θαρσυνεσκε παρισταμενος ϝεπεεσσιν·
  Αργειοι, μη πω τι μεθιετε θουριδος αλκης·
Ου γαρ επι ψευδεσσι πατηρ Ζευς εσσετ' αρωγος·
Αλλ' οἱ περ προτεροι ὑπερ ὁρκια δηλησαντο,
Των ητοι αυτων τερενα χροα γυπες εδονται·
Ἡμεις δ' αυτ' αλοχους τε φιλας, και νηπια τεκνα,
Αξομεν εν νηεσσιν, επει πτολιεθρον εϝλωμεν.
  Οὑς τινας αυ μεθιεντας ὁρα στυγερου πολεμοιο,
Τους μαλα νεικειεσκε χολωτοισιν ϝεπεεσσιν·
  Αργειοι, ϝιομωροι, ελεγχεες, ου νυ σεβεσθε;
Τιφθ' οὑτως εστητε τεθηποτες, ηΰτε νεβροι;
Αἱ τ' επει ουν εκαμον, πολεος πεδιοιο θεουσαι,
Ἑστᾶσ', ουδ' αρα τις σφι μετα φρεσι γιγνεται αλκη·
Ὡς ὑμεις εστητε τεθηποτες, ουδε μαχεσθε.
Η μενετε Τρωας σχεδον ελθεμεν, ενθα τε νηες
Εϝρυατ' ευπρυμνοι, πολιης επι θινι θαλασσης,
Ὀϝρα ϝιδητ', αι κ' υμμιν ὑπερσχῃ χειρα Κρονιων;
  Ὡς ϝρ' ὁγε κοιρανεων επεπωλειτο στιχας ανδρων·
Ηλθε δ' επι Κρητεσσι, κιων ανα ϝουλαμον ανδρων.
Οἱ δ' αμφ' Ιδομενηα δαΐφρονα θωρησσοντο·
Ιδομενευς μεν ενι προμαχοις, συϊ ϝεικελος αλκην,

---

235. επι ψευδεσσι. mendaciis: a ψευδος. Alii novam vocem ψευδης fingunt.

237. εδονται. edent: futurum ab εδω. Regulariter εσονται formaret, sed characteristica retinetur, ne pro εσονται, erunt, capiatur; plurima verba formam mediam in futuro sumunt, ut εσομαι, εισομαι, δεισομαι, θευσομαι.

239. επει πτολιεθρον εϝλωμεν. postquam urbem ceperimus: Vulgò, επην, quod grammaticus quidam in locis omnibus substituit, ubi subjunctivus sequatur. Αν tamen, meo judicio, vox non est Homerica, neque, si esset, voces επει αν ita contrahi possent. Vide Α. 90.

242. ϝιομωροι. violis dediti: id est, unguentis odoratis. Interpretes, ιομωροι, sagittis addicti, vertunt; id est, eminus pugnantes; contrà, εγχεσιμωροι, comminus pugnantes. Maltbeius tamen vocem ιος primam semper producere monet; unde ϝιομωροι, legendum censet, et, quorum fatum, ut viola, breve sit, explicat; alii, quorum fatum, ut viola, nigrum.

251. ανα ϝουλαμον ανδρων. per turbam hominum: Ϝουλαμος, a ϝειλεω, in quatuor locis digamma postulat. Hesychius, Γολαμος, διωγμος, habet. Β. 6.

257. Ιδομενευ, περι μεν σε τιω. Idomeneu, ante omnes te honoro: naves enim octoginta ad Trojam duxit. Hinc constat verbum τιω primam corripere posse; vide Β. 21.

Μηριονης δ' αρα ϝοι πυματας ωτρυνε φαλαγγας.
Τους δε ϝιδων γηθησε ϝαναξ ανδρων Αγαμεμνων,
Αυτικα δ' Ιδομενηα προσηυδα μειλιχιοισιν·
  Ιδομενευ, περι μεν σε τιω Δαναων ταχυπωλων,
Ημεν ενι πτολεμῳ, ηδ' αλλοιῳ επι ϝεργῳ,
Ηδ' ὁτε περ τ' εν δαιτι γερουσιον αιθοπα ϝοινον
Αργειων οἱ αριστοι ενι κρητηρσι κερῶνται.
Ει περ γαρ τ' αλλοι γε καρηκομοωντες Αχαιοι
Δαιτρον πινωσιν, σον δε πλειον δεπας αιει
Ἑστηχ', ὡς περ εμοι, πιεειν, ὁτε θυμος ανωγοι.
Αλλ' ορσευ πολεμονδ', οἱος παρος ευχεαι ειναι.
  Τον δ' αυτ' Ιδομενευς, Κρητων αγος, αντιον ηυδα·
Ατρεΐδη, μαλα μεν τοι εγων εριηρος ἑταϝρος
Εσσομαι, ὡς το πρωτον ὑπεστην και κατενευσα.
Αλλ' αλλους οτρυνε καρηκομοωντας Αχαιους,
Ὀϝρα ταχιστα μαχωμεθ'· επει συν γ' ὁρκι' εχευαν
Τρωες· τοισιν δ' αυ θανατος και κηδε' οπισσω
Εσσετ', επει προτεροι ὑπερ ὁρκια δηλησαντο.
  Ὡς εφατ'· Ατρεΐδης δε παρῳχετο, γηθοσυνος κῆρ.
Ηλθε δ' επ' Αιαντεσσι, κιων ανα ϝουλαμον ανδρων·
Τω δε κορυσσεσθην· ἁμα δε ϝνεφος ἑσπετο πεζων.

---

259. Ηδ' ὁτε περ τ' εν δαιτι. Et quando tamen etiam in dape: Vulgò, Ηδ' εν δαιθ', ὁτε περ τε. Sed dativus in ι nunc primùm elideretur, nec elisus occurrit, nisi in octo aliis Iliadis locis, in quorum plerisque facillima est emendatio. Homerum igitur hanc elisionem vitâsse constat; et si vitavit, non censendum est præ impotentiâ admisisse. MS. unus, ες δαιθ', habet. Vide Ε. 5, Λ. 543, 588, Μ. 88, Π. 385, 854, Ρ, 324, Ψ. 693; et confer Α. 244, 578, Γ. 300, 367, Η. 76, Κ. 551, Λ. 781.

260. οἱ αριστοι. optimi: Ita Κ. 539, Ν. 128; et vide Ζ. 289, Λ. 339, Χ. 380. κερῶνται, miscent, a κεραω· non alibi in Iliade occurrit.

261. Ει περ γαρ τε. Si tamen enim etiam: Knightius hîc et alibi, Ει περ γαρ κε, edidit; forsan vera lectio est, Ει περ γε ϝρα, vel, κε ϝρα.

262. Δαιτρον. Portionem, vinum demensum: a δαιω, divido.

264. ευχεαι ειναι. qualis olim gloriaris esse: ita, παρος ουτι θαμιζεις, Σ. 386. Alii, ευχεο.

273. Αιαντεσσι. Magna erat inter Ajaces consuetudo; unde copias jungebant, licèt sanguine et patriâ diversi essent. Uterque in bello, neuter in concilio, valebat. Vide Ν. 701.

Ὡς δ' ὁτ' απο σκοπιης εϝιδε ϝνεφος αιπολος ανηρ,
Ερχομενον κατα ποντον ὑπο Ζεφυρωφιν ιωης·
Τῳ δε τ' ανευθεν εοντι μελαντερον ηε τε πισσα,
Φαινετ' ιον κατα ποντον, αγει δε τε λαιλαπα πολλην·
Ϝριγησεν τε ϝιδων, ὑπο τε σπεος ηλασε μηλα·
Τοιαι ἁμ' Αιαντεσσιν Αϝρηϊθοων αιζηων
Δηϊον ες πολεμον πυκιναι κινυντο φαλαγγες
Κυανεαι, σακεσιν τε και εγχεσι πεφρικυιαι.
Και τους μεν γηθησε ϝιδων κρειων Αγαμεμνων,
Και σφεας φωνησας ϝεπεα πτεροεντα προσηυδα·
Αιαντ', Αργειων ἡγητορε χαλκοχιτωνων,
Σφωϊ μεν, ου δε ϝεϝοικ', οτρυνεμεν ου τι κελευω·
Αυτω γαρ μαλα λαον ανωγετε ϝιφι μαχεσθαι.
Αι γαρ, Ζευ τε πατερ, και Αθηναιη, και Απολλον,
Τοιος πασιν θυμος ενι στηθεσσι γενοιτο·
Τῳ κε ταχ' ἡμυσειε πολις Πριαμοιο ϝανακτος,
Χερσιν ὑφ' ἡμετερῃσι ϝαλουσα τε, περθομενη τε.

---

275. Ὡς δ' ὁτ' απο σκοπιης.

Qualis ubi ad terras abrupto sidere nimbus
It mare per medium; miseris heu præscia longè
Horrescunt corda agricolis; dabit ille ruinas
Arboribus, stragemque satis; ruet omnia latè;
Antevolant sonitumque ferunt ad littora venti;
Talis in adversos ductor Rhœteïus hostes
Agmen agit; densi cuneis se quisque coactis
Agglomerant. Æn. xii. 450.

276. ὑπο Ζεφυρωφιν ιωης. Sub Zephyri impetu: Vulgò, Ζεφυροιο, quod ob hiatum displicet; genitivum igitur Æolicum, aut antiquum, substitui. Suspicor Homerum hoc semper usum fuisse, et in versu sequenti Ορυμαγ... scripsisse. Formam tamen Ionicam usitatam non nisi metro postulante immutavi. Vide Α. 208, Β. 621, Η. 63. Bentleius ϝιωης voluit.

277. μελαντερον ηε τε πισσα. Vulgò male, ηΰτε.

Ipsa vides cœlum pice nigrius. Læander Heroni, Ovid. Ep.

278. αγει δε τε λαιλαπα πολλην. agit verò etiam procellam multam:

282. Κυανεαι. Cæruleæ: Hic forsan aut vestium aut scutorum color erat.

286. ου δε ϝεϝοικε. neque decet: ita Α. 119. Vulgò, ου γαρ εοικε.

287. ανωγετε ϝιφι μαχεσθαι. jubetis fortiter pugnare: Vulgò, ανωγετον.

289. Τοιος πασιν θυμος. Talis omnibus animus: Decem tantùm Nestoris, omnes Ajacibus, similes optat; cùm pluribus fortitudo, quam sapientia, obtingat. Vide Β. 371.

῾Ως ϝειπων, τους μεν λιπεν αυτοθι, βη δε μετ᾽ αλλους·
Ενθ᾽ ὁγε Νεστορ᾽ ετετμε, ϝλιγυν Πυλιων αγορητην,
Ϝους ἑταϝρους στελλοντα, και οτρυνοντα μαχεσθαι,
Αμφι ϝμεγαν Πελαγοντα τ᾽, Αλαστορα τε, Χρομιον τε,
Αἱμονα τε κρειοντα, Βιαντα τε, ποιμενα λαων.
῾Ιππηας μεν πρωτα συν ἱπποισιν και οχεσσι,
Πεζους δ᾽ εξοπιθεν στησεν πολεας τε και εσθλους,
῾Ερκος εμεν πολεμοιο· κακους δ᾽ ες μεσσον ελασσεν,
῾Οϝρα και ουκ εθελων τις αναγκαιῃ πολεμιζῃ.
῾Ιππευσιν μεν πρωτ᾽ επετελλετο· τους γαρ ανωγει
Σφους ἱππους εχεμεν, μηδε κλονεεσθαι ὁμιλῳ.
Μηδε τις ἱπποσυνῃ τε και ηνορεηθι πεποιθως,
Οιος προσθ᾽ αλλων μεματω Τρωεσσι μαχεσθαι,
Μηδ᾽ αναχωρειτω· αλαπαδνοτεροι γαρ εσεσθε.
῾Ος δε κ᾽ ανηρ απο ϝων οχεων ἑτερ᾽ ἁρμαθ᾽ ἱκηται,
Εγχει ορεξασθω· επει η πολυ φερτερον οὑτως.
῾Ωδε και οἱ προτεροι πολιας και τειχε᾽ επορθουν,

---

295. Πελαγοντα τ᾽, Αλαστορα τε. Vulgò, Πελαγοντα, Αλαστορα τε, metro imperfecto. Knightius duos versus damnat.

297. ῾Ιππηας μεν πρωτα. Currus aciem anteibant; duos continebant, bellatorem, et aurigam; duos plerumque equos, duas rotas, et temonem habebant. A parte posteriore aperti erant, ut bellator faciliùs desilere et conscendere posset. Vide Ε. 722, Ω. 266. Vulgò etiam οχεσφι legitur; sed hæc est genitivi forma, et loco non convenit; forsitan vera forma οχεσθι erat, sed usitatam prætuli.

299. κακους δ᾽ ες μεσσον ελασσε. ignavos verò in medium agebat: Hinc constat plures ordines fuisse; Ν. 126. Hoc consilium secuti sunt Hannibal, Pyrrhus, aliique multi. Ad hoc Quintilianus, v. 12. "Quæsitum potentissima argumenta primone ponenda sint loco, an summo, an partita primo summoque, ut Homericâ dispositione in medio sint infirma."

302. Σφους ἱππους εχεμεν. Suos equos continere: ut nec nimiùm progrederentur, nec peditibus implicarentur.

303. Μηδε τις. Sine monitu jam verba ipsa Nestoris refert.

306. ῾Ος δε κ᾽ ανηρ. Quicunque autem a suo curru alios currus adeat, Hastâ porrigat: Equites plerumque ad dimicandum ex curribus descendebant, Π. 426, Ρ. 480. Turbam equitum hastâ porrigere jubet, id est, hastâ non jactâ, sed propulsâ, dimicare. Ipsius tamen filius Antilochus hastam jacit, Δ. 459, cæterique principes omnes. Turba hastis porrectis dimicabat, Β. 543; et Mars etiam porrigit super jugum et habenas hastâ; Ε. 851; Diomedes contrà e curru porrigit, Minervâ adjuvante. Eustathius quatuor interpretationes affert, quarum ne una minimam veræ speciem habet.

Τονδε νοον και θυμον ενι στηθεσσιν εχοντες.
Ὡς ὁ γερων ωτρυνε, παλαι πολεμων εὒ ϝειδως·
Και τον μεν γηθησε ϝιδων κρειων Αγαμεμνων,
Και μιν φωνησας ϝεπεα πτεροεντα προσηυδα·
Ω γερον, ειθ', ὡς θυμος ενι στηθεσσι φιλοισιν,
Ὡς τοι γουναθ' ἑποιτο, βιη δε τοι εμπεδος ειη.
Αλλα σε γηρας τειρει ὁμοιϊον· ὡς οφελεν τις
Ανδρων αλλος εχειν, συ δε κουροτεροισι μετειναι.
Τον δ' ημειβετ' επειτα Γερηνιος ἱπποτα Νεστωρ·
Ατρειδη, μαλα μεν κεν εγων εθελοιμι και αυτος
Ὡς εμεν, ὡς ὁτε διον Ερευθαλιωνα κατεκταν·
Αλλ' ου πως ἁμα παντα Θεοι δοσαν ανθρωποισιν·
Ει τοτε κουρος εα, νυν αυτε με γηρας ἱκανει·
Αλλα και ὡς ἱππευσι μετεσσομαι, ηδε κελευσω
Βουλῃ και μυθοισι· το γαρ γερας εστι γεροντων.
Αιχμας δ' αιχμασσουσι νεωτεροι, οἱ περ εμειο
Ὁπλοτεροι γεγαασι, πεποιθασιν τε βιηθιν.
Ὡς εφατ'· Ατρειδης δε παρῳχετο, γηθοσυνος κῆρ.
Εὗρ' υἱον Πετεοιο, Μενεσθηα πληξιππον,
Ἑσταοτ'· αμφι δ' Αθηναιοι μηστωρες αϋτης·
Αυταρ ὁ πλησιον ἑστηκει πολυμητις Οδυσσευς,
Παρ δε Κεφαλληνων αμφι στιχες ουκ αλαπαδναι
Ἑστασαν· ου γαρ πω σφιν ακουετο λαος αϋτης,
Αλλα νεον συνορινομεναι κινυντο φαλαγγες
Τρωων θ' ἱπποδαμων και Αχαιων· οἱ δε μενοντες
Ἑστασαν, ὁπποτε πυργος Αχαιων αλλος επελθων

---

315. γηρας ὁμοιϊον. Senectus molesta: ὁμοιως πασι χαλεπον. Schol. Non nisi cum vocibus, γηρας, πολεμος, νεικος, et θανατος, jungitur.

319. κατεκταν. occidi: imperfectum a κατακτημι· aliæ formæ sunt κατεκτα, κατεκταμεν, κατακταμεναι, κατακτας. Vide Γ. 375.

331. Ου γαρ πω. Nondum enim eorum populus audierat clamorem: Nonnihil temporis præteriisse oportet, quo duces se ad suos reciperent.

334. πυργος. turris: pro catervâ, vel phalange.

335. ὁρμησειε και αρξειαν. irrueret et inciperent: Singulare et plurale cum nomine multitudinis in eâdem sententiâ.

341. Σφωϊν μεν τε ϝεϝοικε. Vos quidem etiam decet: Vulgò, μεν τ' επεοικε,

Τρωων ὁρμησειε, και αρξειαν πολεμοιο.
Τους δε ϝιδων νεικεσσε ϝαναξ ανδρων Αγαμεμνων,
Και σφεας φωνησας ϝεπεα πτεροεντα προσηυδα·
  Ω υἱε Πετεοιο, Διοτρεφεος βασιληος,
Και συ, κακοισι δολοισι κεκασμενε, κερδαλεοφρον,
Τιπτε καταπτωσσοντες αφεστατε, μιμνετε δ' αλλους;
Σφωϊν μεν τε ϝεϝοικε μετα πρωτοισιν εοντας
Ἑσταμεν, ηδε μαχης καυστειρης αντιβολησαι.
Πρωτω γαρ και δαιτος ακουαζεσθον εμειο,
Ὁπποτε δαιτα γερουσιν εφοπλιζοιμεν Αχαιοι·
Ενθα φιλ' οπταλεα κρεα' εδμεναι, ηδε κυπελλα
Ϝοινου πινεμεναι μελιϝηδεος, ὁϝρ' εθελητον·
Νυν δε φιλως χ' ὁροωτε, και ει δεκα πυργοι Αχαιων
Ὑμεοφιν προπαροιθε μαχοιατο νηλεϊ χαλκῳ.
  Τον δ' αρ ὑποδρα ϝιδων προσεφη πολυμητις Οδυσσευς·
Ατρεϊδη, ποιον σε ϝεπος φυγεν ἑρκος οδοντων;
Πως δη φης πολεμοιο μεθιεμεν; Ὁπποτ' Αχαιοι
Τρωσιν εφ' ἱπποδαμοισιν εγειρομεν οξυν Αϝρηα,
Οψεαι, αι κ' εθελησθα, και αι κεν τοι τα μεμηλῃ,
Τηλεμαχοιο φιλον πατερα προμαχοισι μιγεντα
Τρωων ἱπποδαμων· συ δε ταυτ' ανεμωλια βαζεις.
  Τον δ' επιϝμειδησας προσεφη κρειων Αγαμεμνων,
Ὡς γνω χωομενοιο· παλιν δ' ὁγε λαζετο μυθον·
  Διογενες Λαερτιαδη, πολυμηχαν' Οδυσσευ,
Ουτε σε νεικειω περιωσιον, ουτε κελευω.
Ϝοιδα γαρ, ὡς τοι θυμος ενι στηθεσσι φιλοισιν

---

quæ forma ficta est ad digamma supplendum; vide Α. 126. Forsitan, Σφωϊν γε ϝρα.

345. Ενθα φιλ' οπταλεα κρεα' εδμεναι. Ibi cari cocti carnes edere: Ita Α. 107.

348. Ὑμεοφιν. Vestrûm: Vulgò, Ὑμειων· ita Τ. 153, et σφεοθεν, Δ. 535.

353. αι κ' εθελησθα. si tum velis: Ita Θ. 471. Vulgò, ην.

353. και αι κεν τοι τα μεμηλῃ. et si tum tibi hæc curæ sint: Forsitan, μεμηλε· subjunctivus enim perfecti rarò occurrit. Vide Α. 66, Δ. 164.

355. συ δε ταυτ' ανεμωλια βαζεις. tu verò hæc ad ventos loqueris:

359. περιωσιον. ultra modum: a περι et οθω, trudo.

Ηπια δηνεα ϝοιδε· τα γαρ φρονεεις, ἁ τ' εγω περ.
Αλλ' ιθι· ταυτα δ' οπισθεν αρεσσομεθ', ει τι κακον νυν
Εϝρηται· τα δε παντα Θεοι μεταμωλια θειεν.
Ὡς ϝειπων, τους μεν λιπεν αυτοθι, βη δε μετ' αλλους.
Εὑρε δε Τυδεος υἱον ὑπερθυμον Διομηδεα,
Ἑσταοτ' εν θ' ἱπποισι και ἁρμασι κολλητοισι·
Παρ δε ϝοι ἑστηκει Σθενελος, Καπανηϊος υἱος.
Και τον μεν νεικεσσε ϝιδων κρειων Αγαμεμνων,
Και μιν φωνησας ϝεπεα πτεροεντα προσηυδα·
Ω μοι, Τυδεος υἱε δαϊφρονος ἱπποδαμοιο,
Τι πτωσσεις, τι δ' οπιπτευεις πολεμοιο γεφυρας;
Ου μεν Τυδεϊ γ' ὡδε φιλον πτωκαζεμεν ηεν,
Αλλα πολυ προ φιλων ἑταϝρων δαϊοισι μαχεσθαι·
Ὡς φασαν, οἱ ϝε ϝιδοντο πονευμενον· ου γαρ εγωγε
Ηντησ', ουδε ϝιδον· περι δ' αλλων φασι γενεσθαι·
Ητοι μεν γαρ ατερ πολεμου εισηλθε Μυκηνας
Ξεινος, ἁμ' αντιθεῳ Πολυνεικεϊ, λαον αγειρων,
Οἱ ϝρα τοτ' εστρατοωνθ' ἱερα προς τειχεα Θηβης,
Και ϝρα μαλα ϝλισσοντο δομεν κλειτους επικουρους.
Οἱ δ' εθελον δομεναι, και επῃνεον, ὡς εκελευον·
Αλλα Ζευς ετρεψε, παραισια σηματα φαινων.
Οἱ δ' επει ουν ῳχοντ', ηδε προς ὁδου εγενοντο,
Ασωπον δ' ἱκοντο βαθυσχοινον, λεχεποιην·

---

361. Ηπια δηνεα. Mitia consilia: βουλευματα, Hesychius.

363. μεταμωλια. vana: dicitur esse vox concisa pro μετανεμωλια, ad ventos data: potest etiam esse a μωλος, confusio pugnæ: alii, μεταμωνια.

371. Τι πτωσσεις. Quid paves? quid verò respicis belli pontes! γεφυραι spatia erant inter phalanges relicta, quibus equites se reciperent. Υ. 427.

372. πτωκαζεμεν. pavere: a πτωξ, lepus. Heynius, πτωσκαζεμεν.

374. οἱ ϝε ϝιδοντο. qui eum viderunt: vel, οἱ μιν ὁρῶντο· vulgò, οἱ μιν ιδοντο. Heynius et Knightius versus septem et viginti damnant.

382. ῳχοντ', ηδε προς ὁδου εγενοντο. iverant, et partem viæ confecerant: Alii, ῳχοντο, ιδε, solito errore. Vulgò etiam, προ ὁδου· vide Δ. 156, Α. 3.

383. Ασωπον δ' ἱκοντο. Asopum verò venerant: Alii, Ασωπονδε, unâ voce.

384. Ενθ' αυτ' αγγελιην επι Τυδεϊ τειλαν Αχαιοι. Tum autem legationem Tydeo imperârunt Achivi: Vulgò, επι Τυδη στειλαν· sed verbum επιστελλ

Ενθ' αυτ' αγγελιην επι Τυδεϊ τειλαν Αχαιοι·
Αυταρ ὁ βη, πολεας τε κιχησατο Καδμειῶνας
Δαινυμενους κατα δωμα βιης Ετεοκλεεειης.
Ενθ' ουδε, ξεινος περ εων, ἱππηλατα Τυδευς
Ταρβει, μουνος εων πολεσιν μετα Καδμειοισιν·
Αλλ' ὁγ' αεθλευειν προκαλιζετο· παντα δ' ενικα
Fρηϊδιως· τοιη ϝοι επιϝροθος ηεν Αθηνη.
Οἱ δε χολωσαμενοι Καδμειοι, κεντορες ἱππων,
Αυτις ανερχομενῳ πυκινον λοχον εἱσαν αγοντες,
Κουρους πεντηκοντα· δυω δ' ἡγητορες ησαν,
Μαιων Αἱμονιδης, επιϝεικελος αθανατοισιν,
Ὑιος τ' Αυτοφονοιο, μενεπτολεμος Λυκοφοντης.
Τυδευς μεν και τοισιν αϝεικεα ποτμον εφηκε·
Παντας επεφν', ἑνα δ' οιον ἱει ϝοικονδε νεεσθαι·
Μαιον' αρα προεηκε, Θεων τεραεσσι πιθησας.
Τοιος εεν Τυδευς Αιτωλιος· αλλα τον υἱον
Γεινατο, ϝειο χερεια μαχῃ, αγορῃ δε τ' αμεινω.
Ὡς φατο· τον δ' ουτι προσεφη κρατερος Διομηδης,
Αιδεσθεις βασιληος ενιπην αιδοιοιο.
Τον δ' υἱος Καπανηος αμειψατο κυδαλιμοιο·
Ατρεϊδη, μη ψευδε', επισταμενος σαφα ϝειπειν·
Ἡμεις τοι πατερων ϝμεγ' αμεινονες ευχομεθ' ειναι·
Ἡμεις και Θηβης ἑδος εϝλομεν ἑπταπυλοιο,

---

in Homero non occurrit, nec στελλω nisi in ordinandi sensu; ut, Fους ἑταϝρους στελλοντα, Δ. 294. Casus insuper a nominativis in ευς contrahi nequeunt; Α. 489.

390. επιϝροθος. auxiliatrix: Vulgò, επιῤῥοθος.

392. Αυτις ανερχομενῳ. Rursus redeunti: ut Α. 27, 425, Od. α. 317. MSS. Αψ ανερχομενῳ, contra metrum: Barnesius, Αψ οἱ ανερχομενω· Bentleius, Αψ αρ ανερχομενῳ. Alii vitiosè, Αψ αναερχομενῳ, licèt ita habeat Apollonius Rhodius.

401. τον δ' ουτι προσεφη. eum verò nihil allocutus est: Juvenis enim erat, et factis, non dictis, respondere destinat. Ου γαρ δοκεῖν αριστος, αλλ' ειναι θελει. Æsch. Septem ad Thebas. 594. Postea in concilio præstat, Ι. 32, Ξ. 109.

403. Τον δ' υἱος Καπανηος. Diomedis pudorem relevat Stheneli procacitas; Agamemnon ei non respondet. Thebarum excidii historia aptè inducitur.

Παυροτερον λαον αγαγονθ' ὑπο τειχος αρειον,
Πειθομενοι τεραεσσι Θεων, και Ζηνος αρωγῃ·
Κεινοι δε σφετερῃσιν ατασθαλιῃσιν ολοντο.
Τῳ μη μοι πατερας ποθ' ὁμοιῃ ενθεο τιμῃ.
Τον δ' αρ ὑποδρα ϝιδων προσεφη κρατερος Διομηδης·
Τεττα, σιωπῃ ἱζευ, εμῳ δ' επιπειθεο μυθῳ.
Ου γαρ εγω νεμεσῶ Αγαμεμνονι, ποιμενι λαων,
Οτρυνοντι μαχεσθαι εϋκνημιδας Αχαιους·
Τουτῳ μεν γαρ κυδος ἁμ' εψεται, ει κεν Αχαιοι
Τρωας δαιωσωσι, ϝελωσι τε Ϝιλιον ἱρην·
Τουτῳ δ' αυ ϝμεγα πενθος, Αχαιων δαιωθεντων.
Αλλ' αγε δη, και νωϊ μεδωμεθα θουριδος αλκης.
Η ϝρα, και εξ οχεων συν τευχεσιν αλτο χαμαζε·
Δεινον δ' εβραχε χαλκος επι στηθεσσι ϝανακτος,
Ορνυμενου· ὑπο κεν ταλασιφρονα περ δεος εϝλεν.
Ὡς δ' ὁτ' εν αιγιαλῳ πολυϝηχεϊ κυμα θαλασσης
Ορνυτ' επασσυτερον, Ζεφυρου ὑποκινησαντος,
Ποντῳ μεν τα πρωτα κορυσσεται, αυταρ επειτα

---

407. ὑπο τειχος αρειον. sub murum meliorem: id est, postea auctum et firmatum; ita o. 736. Alii perperam pro Αϝρηϊον poni censent.

408. Πειθομενοι. Confisi signis Deorum, et Jovis auxilio: Ea erat antiquorum pietas, ut Deorum auxilium maximum laudum incrementum judicarent.

409. ατασθαλιῃσιν. stultitiâ: Contra enim Deorum signa profecti multa impia fecerunt.

Καπανευς Θεου θελοντος εκπερσειν πολιν
Και μη θελοντος φησιν, ουδε την Διος
Εριν πεδῳ σκηψασαν εκποδων σχεθειν.
Τας αστραπας τε, και κεραυνιους βολας
Μεσημβρινοισι θαλπεσι προσῃκασεν. Sept. ad Theb. 429.

412. Τεττα, σιωπῃ ἱζευ. Amice, silentio conside: Vulgò male, ἷζε, contra metrum; vide A. 565, H. 115. Potuit etiam μεθιν scripsisse; sed non putandum est, Sthenelum sedentem Agamemnonem allocutum esse. Τεττα, et αττα, voces fictæ sunt, et benevolentiam indicant. Eustath.

416. Δαιωσωσι. Devastent: Vulgò, Δῃωσωσι· vide B. 415.

421. Ορνυμενου. Knightius versum damnat.

422. Ὡς δ' ὁτ' εν αιγιαλῳ πολυϝηχεϊ κυμα θαλασσης.

Fluctus ut, in medio cœpit cùm albescere ponto,
Longiùs, ex altoque sinum trahit, utque volutus
Ad terras, immanè sonat per saxa, nec ipso
Monte minor procumbit; at ima exæstuat unda

Χερσῳ ϝρηγνυμενον ϝμεγαλα βρεμει, αμφι δε τ' ακρας
Κυρτον εον κορυφουται, αποπτυει δ' ἁλος αχνην·
Ὡς τοτ' επασσυτεραι Δαναων κινυντο φαλαγγες
Νωλεμεως πολεμονδε· κελευε δε ϝοισι ϝεκαστος
Ἡγεμονων· οἱ δ' αλλοι ακην ισαν, ουδε κε φαιης
Τοσσον λαον ἑπεσθαι εχοντ' εν στηθεσιν αυδην,
Σιγῃ δειδιοτες σημαντορας· αμφι δε πασι
Τευχεα ποικιλ' ελαμπε, τα ϝειμενοι εστιχοωντο.
Τρωες δ', ὡς τ' οϊες πολυπαμμονος ανδρος εν αυλῃ
Μυριαι ἑστηκασιν αμελγομεναι γαλα λευκον,
Αζηχες μεμακυιαι ακουσασαι ϝοπα ϝαρνων·
Ὡς Τρωων αλαλητος ανα στρατον ευρυν ορωρει.
Ου γαρ παντων ηεν ὁμος θροος, ουδ' ια γηρυς,
Αλλα γλωσσ' εμεμικτο, πολυκλητοι δ' εσαν ανδρες.
Ὡρσε δε τους μεν Αϝρης, τους δε γλαυκωπις Αθηνη,
Δειμος τ', ηδε Φοβος, και Ερις αμοτον μεμαυια,
Ανδροφονῳ Αϝρηϊ κασιγνητη ἑταϝρη τε·
Ἡ τ' ολιγη μεν πρωτα κορυσσεται, αυταρ επειτα

Vorticibus, nigramque altè subjectat arenam. Georg. iii. 237.
Fluctus uti primo cœpit cùm albescere vento,
Paulatim sese tollit mare, et altiùs undas
Erigit, inde imo consurgit ad æthera fundo. Æn. vii. 528.

Virgilius Homerum frustra imitari conatur; optimè quidem incipit, nunquam tamen talis ad imum servatur.

425. ϝμεγαλα βρεμει. valdè resonat: Alibi est βρεμεται, sed verba neutralia vocibus vel activâ vel mediâ poni possunt.

428. κελευε δε ϝοισι ϝεκαστος. æratasque acies in prœlia cogit
Quisque suos. Æn. ix. 463.

433. Τρωες δε. Trojani vero ibant: ισαν e versu 429 trahendum. Ita B. 125.

435. Αζηχες μεμακυιαι, ακουσασαι ϝοπα ϝαρνων. Indesinenter balantes, audientes vocem agnorum: αζηκης ab αζη, vetustas, Od. χ. 184. Bentleius, ϝοπος αρνων.

437. ὁμος θροος, ουδ' ια γηρυς. idem clamor, nec una vox:

441. Ανδροφονῳ Αϝρηϊ. Homicidæ Marti: Vulgò, Αρεος ανδροφονοιο, sed Αϝρηος esset; B. 479. Versus quidem a Townleiano abest, et Lis Martis soror non erat.

442. Ἡ τ' ολιγη μεν πρωτα.

Parva metu primò, mox sese attollit in auras
Ingrediturque solo, et caput inter nubila condit. Æn. iv. 176.

Ουρανῳ εστηριξε καρη, και επι χθονι βαινει.
Ἡ σφιν και τοτε νεικος ὁμοιϊον εμβαλε μεσσῳ,
Ερχομενη καθ' ὁμιλον, οφελλουσα στονον ανδρων.
Οἱ δ', ὁτε δη ϝρ' ες χωρον ἑνα ξυνιοντες ἱκοντο,
Συν ϝρ' εβαλον ϝρινους, συν δ' εγχεα, και μενε' ανδρων
Χαλκεοθωρηκων· αϝαρ ασπιδες ομφαλοεσσαι
Επληντ' αλληλῃσι, πολυς δ' ορυμαγδος ορωρει.
Ενθαδ' ἁμ' οιμωγη τε και ευχωλη πελεν ανδρων,
Ολλυντων τε, και ολλυμενων· ϝρεε δ' αἱματι γαια.
Ὡς δ' ὁτε χειμαϝροοι ποταμοι, κατ' ορεσφι ϝρεοντες,
Ες μισγαγκειαν συμβαλλετον οβριμον ὑδωρ,
Κρουνων εκ ϝμεγαλων, κοιλης εντοσθε χαραδρης·
Των δε τε τηλοσε δουπον εν ουρεσιν εκλυε ποιμην·
Ὡς των μισγομενων γενετ' ιωχη τε φοβος τε.
Πρωτος δ' Αντιλοχος Τρωων ϝελεν ανδρα κορυστην,
Εσθλον ενι προμαχοισι, Θαλυσιαδην Εχεπωλον·
Τον ϝρ' εβαλε πρωτος κορυθος φαλον ἱπποδασειης,
Εν δε μετωπῳ πηξε, περησε δ' αρ οστεον εισω
Αιχμη χαλκειη· τον δε σκοτος οσσ' εκαλυψεν·

---

444. νεικος ὁμοιϊον. contentionem molestam: Δ. 315. Dicitur etiam, ὁμον νεικος. N. 333.

445. οφελλουσα στονον ανδρων. augens gemitum virorum:

446. Οἱ δ' ὁτε δη ϝρ' ες χωρον.

Jamque intra jactum teli progressus uterque
Substiterat; subito erumpunt clamore, frementesque
Exhortantur equos; fundunt simul undique tela
Crebra, nivis ritu; cœlumque obtexitur umbrâ. Æn. xi. 608.

449. Επληντο. Appropinquabantur: Ita πληντο, Ξ. 468, et πεπλημενς, Od. μ. 103. Aliud πληντο est a πληθω, impleo, Φ. 16.

450. Ενθα δ' ἁμ' οιμωγη τε.

Tum verò et gemitus morientum, et sanguine in alto
Armaque, corporaque, et permixti cæde virorum
Semianimes volvuntur equi. Æn. xi. 633.

451. Ολλυντων τε και ολλυμενων. Perdentiumque et pereuntium: Duplex λ in ολλυμι reduplicatio est verbi in μι.

452. Ὡς δ' ὁτε χειμαϝροοι ποταμοι. Vulgò, χειμαρροι· Vide Γ. 313.

In segetem veluti cùm flamma furentibus Austris
Incidit, aut veluti rapidus montano flumine torrens
Sternit agros, sternit sata læta, boumque labores,
Præcipitesque trahit sylvas; stupet inscius alto
Accipiens sonitum saxi de vertice pastor. Æn. ii. 305.

Ηριπε δ', ὡς ὁτε πυργος, ενι κρατερῃ ὑσμινῃ.
Τον δε πεσοντα ποδων εϝλαβε κρειων Ελεφηνωρ,
Χαλκωδοντιαδης, ϝμεγαθυμων αρχος Αβαντων·
Ἑλκε δ' ὑπ' εκ βελεων λελιημενος, ὁϝρα ταχιστα
Τευχεα συλησειε· μινυνθα δε ϝοι γενεθ' ὁρμη.
Νεκρον γαρ ϝερυοντα ϝιδων ϝμεγαθυμος Αγηνωρ,
Πλευρα, τα ϝοι κυψαντι παρ' ασπιδος εξεφααανθη,
Ουτησε ξυστῳ χαλκηρεϊ, λυσε δε γυια.
Ὡς τον μεν λιπε θυμος· επ' αυτῳ δ' επλετο ϝεργον
Αργαλεον Τρωων και Αχαιων· οἱ δε, λυκοι ὡς,
Αλληλοις επορουσαν, ανηρ δ' ανδρ' εδνοπαλιζεν.
Ενθ' εβαλ' Ανθεμιωνος ὑϊν Τελαμωνιος Αιας,
Ηϊθεον θαλερον, Σιμοεισιον· ὁν ποτε μητηρ
Ιδηθεν κατιουσα, παρ' οχθῃσιν Σιμοεντος
Γεινατ', επει ϝρα τοκευσιν ἁμ' ἑσπετο, μηλα ϝιδεσθαι·
Τουνεκα μιν καλεον Σιμοεισιον· ουδε τοκευσι
Θρεπτρα φιλοις απεδωκε, μινυνθαδιος δε ϝοι αιων
Επλεθ', ὑπ' Αιαντος ϝμεγαθυμου δουρι δαμεντι·
Πρωτον γαρ μιν ιοντα βαλε στηθος, παρα μαζον

---

456. γενετ' ιωχη τε φοβος τε. ortus est clamorque terrorque: Ed. Pr. εγενετο ιαχη τε φοβος τε, Ald. 1, γενετ' ιαχη, Tunebus, γενετο ιαχη, omnes contra metrum. Bentleius, γενετο ϝιαχη· sed vox non digamma accipit. In mentem venit, επελεν ιαχη, ut Δ. 450; sed vox ιωχη bis legitur, Ε. 521, 740, et ιωχμος, Θ. 89, 158. Formam igitur, quæ decem locis medetur, admisi; ιαχη in tribus manet. Facilè primam ancipitem habere potest.

457. Πρωτος δ' Αντιλοχος. Pylii, Nestoris curâ, primi prælium ineunt.

469. Ουτησε. Vulneravit: id est, comminus, hastâ propulsâ, et non e manibus emissâ; ea enim est vis verbi; βαλλειν contrà est hastâ jactâ ferire.

470. επ' αυτῳ δ' επλετο ϝεργον. super eo verò erat opus: ita, νυν επλετο ϝεργον ἁπασιν, Μ. 271. Vulgò, επ' αυτῳ δ' εργον ετυχθη, quod emendatio est post digamma amissum ad metrum sarciendum. Duo alia loca simili mutatione egent, Ρ. 279, Ω. 354. Knightius tres versus damnat.

472. Αλληλοις επορουσαν. congressi in prælia totas
Implicuere inter se acies, legitque virum vir. Æn. xi. 631.
εδνοπαλιζε, quatiebat; ita, τα σα ϝρακεα δνοπαλιζεις, Od. ξ. 512.

473. ὑϊν. filium: Vulgò, υἱον· vide Α. 489.

476. τοκευσιν. parentibus: Nulla alia forma dativi occurrit; alii casus sunt, τοκηες, τοκηων, τοκηας· in singulari non occurrit. Ad Ο. 660, τεκεων legendum.

Δεξιον· αντικρυ δε δι' ωμου χαλκεον εγχος
Ηλθεν· ὁ δ' εν κονιηθι χαμαι πεσεν, αιγειρος ὡς,
Ἡ ῥα τ' εν ειαμενῃ ἑλεος ϝμεγαλοιο πεφυκει,
Λειη· αϝαρ τε ϝοι οζοι επ' ακροτατῃ πεφυασι·
Την μεν θ' ἁρματοπηγος ανηρ αιθωνι σιδηρῳ
Εξεταμ', ὁ ϝρα ϝιτυν καμψῃ περικαλλεϊ διφρῳ·
Ἡ μεν τ' αζομενη κειται ποταμοιο παρ' οχθας·
Τοιον αρ Ανθεμιδην Σιμοεισιον εξεναριξεν
Αιας Διογενης· του δ' Αντιφος αιολοθωρηξ
Πριαμιδης καθ' ὁμιλον ακοντισεν οξεϊ δουρι·
Του μεν ἁμαρθ'· ὁ δε Λευκον, εΰν Οδυσηος ἑταϝρον,
Βεβληκει βουβωνα, νεκυν ἑτερωσ' εϝρυοντα·
Ηριπε δ' αμφ' αυτῳ, νεκρος δε ϝοι εκπεσε χειρος.
Του δ' Οδυσευς μαλα θυμον αποκταμενοιο χολωθη·
Βη δε δια προμαχων κεκορυθμενος αιθοπι χαλκῳ,
Στη δε μαλ' εγγυς ιων, και ακοντισε δουρι φαεινῳ,
Αμφι ϝε παπτηνας· ὑπο δε Τρωες κεκαδοντο,
Ανδρος ακοντισσαντος· ὁ δ' ουχ ἁλιον βελος ἡκεν,
Αλλ' υἱον Πριαμοιο νοθον βαλε Δημοκοωντα,
Ὁς ϝοι Αβυδοθεν ηλθε, παρ' ἱππων ωκειαων·
Τον ϝρ' Οδυσευς, ἑταϝροιο χολωσαμενος, βαλε δουρι

---

483. εν ειαμενῃ ἑλεος. in loco irriguo paludis: Ἑλος digamma non accipit; Υ. 221; licèt Dionysius Halicarnassensis præfigere moneat.

486. ϝιτυν. rotæ ambitum: In hoc loco digamma postulat, in altero admittit.

488. Ανθεμιδην. Anthemionis filium; Patronymica sæpe ita finguntur, ut versum inire possint; Β. 653.

491. εΰν Οδυσηος ἑταϝρον. bonum Ulyssis comitem: Vulgò, Οδυσσεος εσθλον ἑταιρον· sed Οδυσευς nusquam alibi, aut in Iliade, aut in Odysseâ, penultimam in obliquis corripit; synonymum igitur haud dubitanter substitui; vide Α. 1.

492. βουβωνα. inguinem: Homerus accuratam semper anatomiæ scientiam ostendit; neminem, nisi fatali vulnere interficit; ipse videtur, ut bellator, prœliis interfuisse.

497. ὑπο δε Τρωες κεκαδοντο. Trojani verò retrocesserunt: Semper Ulyssem honorare studet poeta; ei etiam Hector cedit; Δ. 505.

506. Αργειοι δε ϝμεγ' ιαχεον, ϝερυσαντο δε νεκρους. Argivi verò valde clamârunt, traxerunt verò mortuos: MSS. μεγ' ιαχον, ερρυσαντο δε νεκρους, quod minimè numerosum est; formam igitur intuli, quæ in Hymnis, in Euripide, in Apollonio Rhodio, et in Lexicis omnibus legitur, quamque metrum in

Κορσην· ἡ δ' ἑτεροιο δια κροταφοιο περησεν
Αιχμη χαλκειη· τον δε σκοτος οσσ' εκαλυψε·
Δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αυτῳ·
Χωρησαν δ' ὑπο τε προμαχοι, και φαιδιμος Ἑκτωρ.
Αργειοι δε ϝμεγ' ιαχεον, ϝερυσαντο δε νεκρους·
Ιθυσαν δε πολυ προτερω· νεμεσησε δ' Απολλων,
Περγαμου εκκατιων· Τρωεσσι δε κεκλετ' αϋσας·
  Ορνυσθ', ἱπποδαμοι Τρωες, μη ϝεικετε χαρμης
Αργειοις· επει ου σφι λιθος χρως, ουδε σιδηρος,
Χαλκον ανασχεσθαι ταμεσιχροα βαλλομενοισιν.
Ου μαν ουδ' Αχιλευς, Θετιδος παϊς ηϋκομοιο,
Μαρναται, αλλ' επι νηυσι χολον θυμαλγεα πεσσει.
  Ὡς φατ' απο πτολιος δεινος Θεος· αυταρ Αχαιους
Ωρσε Διος θυγατηρ, κυδιστη Τριτογενεια,
Ερχομενη καθ' ὁμιλον, ὁθι μεθιεντα ϝιδοιτο.
Ενθ' Αμαρυγκειδην Διωρεα ϝμοιρ' επεδησε·
Χερμαδιῳ γαρ βλητο παρα σφυρον οκριοεντι
Κνημην δεξιτερην· βαλε δε Θραϊκων αγος ανδρων
Πειροος Ιμβρασιδης, ὁς αρ Αινοθεν ειληλουθει·
Αμφοτερω δε τενοντε και οστεα λαας αναιδης
Αχρις απηλοιησεν· ὁ δ' ὑπτιος εν κονιηθι

---

aliis locis postulat; E. 302, 343. Barnesius quidem, μεγα ιαχον, edidit, unde Bentleius, μεγα ϝιαχον, proposuit; vide A. 482. Liceret etiam, ϝμεγ' αυτ' ιαχον, emendare, vel forsitan, ϝμεγ' ιωχον, vel, ϝμεγ' ιαυχον. Eustathius testatur Æoles ιαυχεν scripsisse; Od. κ. 192. Alia tamen verba duplicem formam habent, ut μαχομαι, μαχεομαι, ακαχεω, ηκαχον, et vide E. 203; ιαχον aoristus est; B. 316.

507. Ιθυσαν. Knightius decem versus damnat.

508. Περγαμου εκκατιων. E Pergamo descendens: Arx erat Trojæ, ubi Apollo templum habebat. Sic, Ιδηθεν κατιουσα, Δ. 475, et, Ουρανον εισανιων, H. 423. Knightii est emendatio pro εκκατιδων, ut et H. 21, ubi et in digamma et in sensum peccat. Perperam Heynius digamma in compositis excidere censet. In promptu esset εκκαθορῶν emendare, ut, Εξ Ιδης καθορῶν, Λ. 337, nisi sensus εκκατιων postularet.

512. Ου μαν ουδ' Αχιλευς. "Miro artificio, ut Poema unum sit a capite ad calcem, *ubique* spectatur et inseritur Achilles." Clark.

516. ὁθι μεθιεντα ϝιδοιτο. ubi remittentem videret: id est, ὁμιλον. Vulgò, μεθιεντας, quod in digamma peccat. Liceret etiam ὁρᾶτο, vel ὁρῷτο emendare.

522. Αχρις απηλοιησε. Prorsus comminuit: ab αλοιαω, molo.

Καππεσεν, αμφω χειρε φιλοις ἑταϝροισι πετασσας,
Θυμον αποπνειων· ὁ δ᾽ επεδραμεν, ὁς ϝρ᾽ εβαλεν περ,
Πειροος· ουτα δε δουρι παρ᾽ ομφαλον· εκ δ᾽ αρα πασαι
Χυντο χαμαι χολαδες· τον δε σκοτος οσσ᾽ εκαλυψε.
Τον δε Θοας Αιτωλος επεϝσυμενον βαλε δουρι
Στερνον ὑπερ μαζοιο, παγη δ᾽ εν πνευμονι χαλκος·
Αγχιμολον δε ϝοι ηλθε Θοας, εκ δ᾽ οβριμον εγχος
Εσπασατο στερνοιο· ϝερυσσατο δε ξιφος οξυ,
Τῳ ὁγε γαστερα τυψε μεσην, εκ δ᾽ αινυτο θυμον.
Τευχεα δ᾽ ουκ απεδυσε· περιστησαν γαρ ἑταϝροι,
Θρηΐκες ακροκομοι, δολιχ᾽ εγχεα χερσιν εχοντες,
Οἱ ϝε, ϝμεγαν περ εοντα και ιφθιμον και αγαυον,
Ωσαν απο σφεοθεν· ὁ δε χασσαμενος πελεμιχθη.
Ὡς τωγ᾽ εν κονιηθι παρ᾽ αλληλοισι τετασθην,
Ητοι ὁ μεν Θραΐκων, ὁ δ᾽ Επειων χαλκοχιτωνων,
Ἡγεμονες· πολλοι δε περικτεινοντο και αλλοι.
Ενθα κεν ουκετι ϝεργον ανηρ ονοσαιτο μετελθων,
Ὁς τις ετ᾽ αβλητος και ανουτατος οξεϊ χαλκῳ
Δινευοι κατα μεσσον, αγοι δε ϝε Παλλας Αθηνη,
Χειρος εϝλουσ᾽, αυταρ βελεων απεϝρυκοι εϝρωην.
Πολλοι γαρ Τρωων και Αχαιων ηματι κεινῳ
Πρηνεες εν κονιηθι παρ᾽ αλληλοισι τεταντο.

---

525. ουτα. vulneravit: ab ουτημι, unde quoque ουτασκε, ουταμεν, ουταμενος· alia forma est ουταζω, unde ουτασται· in futuro duplex forma, ουτασω, et ουτησω, Δ. 469.

526. Χυντο χαμαι χολαδες. Similis apud Virgilium in eâdem re litteræ repetitio.

Neu patriæ validas in viscera vertite vires. Æn. vi. 834.

535. Ωσαν απο σφεοθεν. Truderunt a se: οθω, moveo, Α. 181, in futuro ωσω, vel οθσω, format. Vulgò, σφειων, vocali ob metrum insertâ; ita, ὑμεοφιν, Δ. 348.

539. Ενθα. Knightius sex versus damnat, ut pannum ad librum claudendum assertum.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

E.

ARGUMENTA.

Διομηδεος αριστεια.

Ει, Αφροδιτην βαλλεν, Αρηα τε, Τυδεος υἱος.

1. Diomedi gloriam dat Minerva.—9. Phegeus et Idæus ei obviam eunt.—19. Diomedes Phegeum interficit.—29. Minerva Martem e prælio ducit.—37. Græci Trojanos pellunt.—38. Agamemnon Hodium interficit.—43. Idomeneus Phæstum.—49. Menelaus Scamandrium.—59. Meriones Phereclum.—69. Meges Pedæum.—76. Eurypylus Hypsenorem.—95. Pandarus Diomedem sagittâ vulnerat.—121. Minerva ei medetur.—144. Diomedes sex principes interficit, Astynoum et Hypenorem, Xanthum et Thoonem, Echemonem et Chromium.—166. Æneas Pandarum hortatur.—179. Pandarus ei respondet.—239. Diomedi obviam eunt.—241. Sthenelus Diomedem monet.—251. Diomedes Sthenelum Æneæ equos abigere jubet.—290. Pandarum interficit.—297. Æneam corpus tuentem saxo vulnerat.—330. Venerem filio opitulantem vulnerat.—353. Iris Venerem Martis curru ad Olympum vehit.—370. Dione mater eam solatur, et, quæ Dii ab hominibus passi sint, narrat.—418. Minerva Venerem irridet.—427. Jupiter eam demulcet.—432. Apollo Æneam eripit.—454. Martem in prœlium mittit.—471. Sarpedon Hectorem increpat.—512. Æneas in prœlium redit.—533. Agamemnon Deicoontem interficit.—541. Æneas Crethonem et Orsilochum.—561. Menelaus et Antilochus Pylæmenem et Mydonem interficiunt.—596. Diomedes Marti et Hectori, Minervæ monitu, cedit.—608. Hector Menesthem et Anchialum interficit.—610. Ajax Amphium.—628. Sarpedon Tlepolemum interficit, vulneratur ipse.—669. Ulysses Lyciorum multos cædit.—684. Sarpedon Hectorem alloquitur.—703. Mars et Hector plures cædunt.—711. Juno et Minerva Græcis auxilio veniunt.—793. Minerva Diomedem excitat.—855. Diomedes Martem vulnerat.—864. Mars ad Olympum fugit.—869. Jovi queritur.—888. Jupiter eum increpat.—900. Apollo ei medetur.

‘ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

Ε.

ΕΝΘ’ αυ Τυδειδῃ Διομηδεϊ Παλλας Αθηνη
Δωκε μενος και θαρσος, ϊν’ εκδηλος μετα πασιν
Αργειοισι γενοιτ’, ηδε κλεος εσθλον αροιτο.
Δαιε ϝοι εκ κορυθος τε και ασπιδος ακαματον πυρ,
Αστριν οπωρινῳ εναλιγκιον, ὁς τε μαλιστα

---

1. Διομηδεϊ Παλλας Αθηνη. Multi imperatores se Deorum ope rem gerere professi sunt, unde suis fiduciam, hostibus formidinem injecerunt.

3. γενοιτ’, ηδε. Vulgò, γενοιτο, ιδε, solito errore; emendavit Bentleius.

4. Δαιε ϝοι εκ κορυθος τε. Accendit ei e galeâque et scuto indomitum ignem: Virgilius hunc locum, et Σ. 205, sæpe imitatus est, sed Homero longè inferior est, quòd Deum omittat; Homero flamma divinitus emissa miraculum facit; Virgilio non nisi armorum splendor est naturalis.

Cui triplici crinita jubâ galea alta Chimæram
Sustinet, Ætnæos efflantem faucibus ignes. Æn. vii. 785.

Terribilem cristis galeam, flammasque vomentem. Æn. viii. 620.

geminas cui tempora flammas
Læta vomunt, patriumque aperitur vertice sidus. Æn. viii. 680.

Continuò nova lux oculis offulsit, et arma
Horrendùm sonuere; tremunt in vertice cristæ
Sanguineæ, clypeoque micantia fulmina mittit. Æn. ix. 731.

Ardet apex capiti, cristisque a vertice flamma
Funditur, et vastos umbo vomit aureus ignes.
Non secus ac liquidâ si quando nocte cometæ
Sanguinei lugubre rubent, aut Sirius ardor;
Ille sitim, morbosque ferens mortalibus ægris
Nascitur, et lævo contristat lumine cœlum. Æn. x. 270.

4. ακαματον πυρ. sed non incendia vires Indomitas posuere. Æn. v. 680. Vide Α. 398.

5. Αστριν οπωρινῳ. Stellæ autumnali: id est, Sirio, qui nostris quidem temporibus ad Solis autumnalis ortum penè meridianus est, in Homericis verò paulò ante solem oriebatur; ‘Ος ϝρα τ’ οπωρης εισι, Χ. 27. Vulgò, Αστερ’ οπωρινῳ; sed dativus in ι rarò eliditur, et Eustathius variam lectionem Αστερι memorat, et in dativo plurali αστρασι format; ita γαστηρ et γαστερι et γαστρι format; et ita πατρι et μητρι contrahuntur; et sic, Ανδριν ἑταιρισσαι, Ω. 335. Vide Δ. 259. Penultima in οπωρινος producitur, quia ab οπωρη fluat.

Λαμπρον παμφαινῃ λελοημενος Ωκεανοιο·
Τοιον ϝοι πυρ δαιεν απο κρατος τε και ωμων·
Ωρσε δε μιν κατα μεσσον, ὁθι πλειστοι κλονεοντο.
Ην δε τις εν Τρωεσσι Δαρης, αφνειος, αμυμων,
Ἱρευς Ἡφαιστοιο· δυω δε ϝοι υἷες ηστην,
Φηγευς, Ιδαιος τε, μαχης ευ ϝειδοτε πασης·
Τω ϝοι αποκρινθεντες εναντιω ὁρμηθητην·
Τω μεν αφ' ἱπποιϊν, ὁ δ' απο χθονος ωρνυτο πεζος.
Οἱ δ' ὁτε δη σχεδον ησαν επ' αλληλοισιν ιοντες,
Φηγευς ϝρα προτερος προϊει δολιχοσκιον εγχος,
Τυδεϊδεω δ' ὑπερ ωμον αριστερον ηλυθ' ακωκη
Εγχεος, ουδ' εβαλ' αυτον· ὁ δ' ὑστερος ωρνυτο χαλκῳ
Τυδεϊδης· του δ' ουχ ἁλιον βελος εκφυγε χειρος·
Αλλ' εβαλε στηθος μεταμαζιον, ωσε δ' αφ' ἱππων.
Ιδαιος δ' απορουσε, λιπων περικαλλεα διφρον,
Ουδ' ετλη περιβηναι αδελφεοφι κταμενοιο·
Ουδε γαρ ουδε κεν αυτος ὑπεκφυγε κηρα μελαιναν·
Αλλ' Ἡφαιστος εϝρυτο, σαωσε δε νυκτι καλυψας,
Ὡς δη ϝοι μη παγχυ γερων ακαχημενος ειη.
Ἱππους δ' εξελασας ϝμεγαθυμου Τυδεος υἱος,
Δωκεν ἑταϝροισιν καταγειν κοιλας επι νηας.
Τρωες δε ϝμεγαθυμοι, επει ϝιδον υἱε Δαρητος,

---

6. λελοημενος. lavatus: Vulgò, παμφαινησι λελουμενος· sed verbum Homericum est λοεω, vel potiùs λοϝεω, et in λουω contrahi nequit. Ita, λελιημενος, et τετιημενος.

Qualis ubi Oceano perfusus Lucifer undâ. Æn. viii. 589.

9. Ην δε τις εν Τρωεσσι Δαρης. Exemplum dat poeta, qualis narratio esse debeat; est enim eodem tempore et lucida et brevis.

12. αποκρινθεντες. segregati: Vulgò, αποκρινθεντε· pluralis tamen passim pro duali ponitur. B. 218.

15. Φηγευς ϝρα προτερος. Hastam e curru jacit, unde minùs certus erat jactus.

20. Ιδαιος δ' απορουσε. Idæus e curru desilit, et pedibus fugit, ne tempus in curru vertendo terat, et ut citiùs se in suos recipiat. Diomedes, curâ equorum implicitus, quorum avidus erat, eum sequi omittit. E. 165, 263, K. 477.

21. περιβηναι αδελφεοφι κταμενοιο. tutari fratrem occisum: περιβηναι est circumire, ut catulos leæna. Vulgò, αδελφειου, sed vox est αδελφεος, et

Τον μεν αλευαμενον, τον δε κταμενον παρ' οχεσσι,
Πασιν ορινθη θυμος· αφαρ γλαυκωπις Αθηνη,
Χειρος εϝλουσα, ϝεπεσσι προσηυδα θουρον Αϝρηα·
  Αϝρες, Αϝρες, βροτολοιγε, μιαιφονε, τειχεσιπλητα,
Ου κεν δη Τρωας μεν εϝασαιμεν και Αχαιους
Μαρνασθ', ὁπποτεροισι πατηρ Ζευς κυδος ορεξῃ,
Νωϊ δε χαζωμεσθα, Διος δ' αλεωμεθα μηνιν;
  Ὡς ϝειπουσα, μαχης εξηγαγε θουρον Αϝρηα·
Τον μεν επειτα καθεισεν επι ϝιοεντι Σκαμανδρῳ.
Τρωας δ' εκλιναν Δαναοι· ϝελε δ' ανδρα ϝεκαστος
Ἡγεμονων· πρωτος δε ϝαναξ ανδρων Αγαμεμνων
Αρχον Ἁλιζωνων Ὁδιον ϝμεγαν εκβαλε διφρου·
Πρωτῳ γαρ στρεφθεντι μεταφρενῳ εν δορυ πηξεν
Ωμων μεσσηγυς, δια δε στηθεσφιν ελασσε·
Δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αυτῳ·
  Ιδομενευς δ' αρα Φαιστον ενηρατο, Μηονος υἱον
Βωρου, ὁς εκ Ταρνης εριβωλακος ειληλουθει·
Τον μεν αρ Ιδομενευς δουρικλυτος εγχεϊ μακρῳ
Νυξ', ἱππων επιβησομενον, κατα δεξιον ωμον·
Ηριπε δ' εξ οχεων, στυγερος δ' αρα μιν σκοτος εϝλε.
Τον μεν αρ Ιδομενηος εσυλαον θεραποντες.
  Υἱον δε Στροφιοιο Σκαμανδριον, αἱμονα θηρης,

---

nusquam penultimam in aliis casibus producit; formam igitur antiquam restitui; vide Β. 518, 586.

31. Αϝρες, Αϝρες. Mars, Mars: Syllaba prima ante mutam et liquidam anceps est; Β. 110. Vulgò, Αρες, Αρες, quod nonnulli, ex ignoratione litteræ digamma, poetæ vitio vertunt. Eustathius duplicem etymologiam affert, primam absurdam ab αρα, imprecatio, alteram veram ab α, non, et ῥεω, dico, nisi quòd ϝρεω scripsisse debuisset. Alii quantitatem mutari judicant, quia bellum mutabile sit. μιαιφονε, imbute cæde: pro μιαινομενε φονῳ. τειχεσιπλητα, muris appropinquans: vide Δ. 449.

36. επι ϝιοεντι Σκαμανδρῳ. ad herbosum Scamandrum: a ϝιον, viola. Ita, interpretes; vulgò tamen, επ' ηϊοεντι Σκαμανδρῳ, legitur; sed vox ηϊοεις nec alibi occurrit, nec sensum idoneum præbet; ηϊων enim non ripam fluvii, sed littus maris, significat; littera η ad digamma supplendum inserta est. Licet etiam, violaceum, ob colorem, vertere; ut, ϝιοεντα σιδηρον, Ψ. 850, et, ϝιοϝειδεα ποντον, Λ. 298. Confer Μ. 283.

48. εσυλαον. spoliârunt: Vulgò, εσυλευον· vide Ε. 164.

49. αἱμονα θηρης. peritum venationis: pro δαημονα esse dicitur.

Ατρεΐδης Μενελαος εϝλ᾽ εγχεϊν οξυοεντι,
Εσθλον θηρητηρα· διδαξε γαρ Αρτεμις αυτη
Βαλλειν αγρια παντα, τα τε τρεφει ουρεσιν ὑλη.
Αλλ᾽ ου ϝοι τοτε γε χραισμ᾽ Αρτεμις ιοχεαιρα,
Ουδ᾽ ἑκατηβολιαι, ᾗσιν το πριν γ᾽ εκεκαστο·
Αλλα μιν Ατρεΐδης δουρικλεϊτος Μενελαος,
Προσθε ϝεθεν φευγοντα, μεταφρενον ουτασε δουρι,
Ωμων μεσσηγυς, δια δε στηθεσφιν ελασσεν·
Ηριπε δε πρηνης, αραβησε δε τευχε᾽ επ᾽ αυτῳ.
Μηριονης δε Φερεκλον ενηρατο, τεκτονος υἱον
Ἁρμονιδεω, ὁς χερσιν επιστατο δαιδαλα παντα
Τευχειν· εξοχα γαρ ϝεφιν ηρατο Παλλας Αθηνη·
Ὁς και Αλεξανδρῳ τεκτηνατο νηας εΐσας,
Αρχεκακους, αἱ πασι κακον Τρωεσσι γενοντο,
Ϝοι τ᾽ αυτῳ· επει ουτι Θεων εκθεσφατα ϝοιδει·
Τον μεν Μηριονης, ὁτε δη κατεμαρπτε διωκων,
Βεβληκει γλουτον κατα δεξιον· ἡ δε δια προ
Αντικρυ κατα κυστιν ὑπ᾽ οστεον ηλυθ᾽ ακωκη·
Γνυξ δ᾽ εριπ᾽ οιμωξας, θανατος δε μιν αμφεκαλυψε.

---

50. εϝλ᾽ εγχεϊν οξυοεντι. interfecit hastâ spinosâ: id est, e spino arbore confectâ; οξυη enim est spinus. Porphyr. Q. H. ita ϝμειλινον εγχος, fraxinea hasta; Ε. 655. Vox οξυη in Euripide et Archilocho pro hastâ usurpatur. Alii, acutâ, vertunt. Vulgò, ἑλ᾽ εγχεϊ οξυεντι. et Ε. 568, εγχεα οξυοεντε· unde ϝοξυοεντι fuisse suspiceris; sed rejiciunt Ξ. 443, Od. τ. 33, et thema adversatur. Litteram igitur adjeci, ut Α. 578.

54. Ουδ᾽ ἑκατηβολιαι. Neque longinqui jactus: Vulgò, Ουδε ἑκηβολιαι. Bentleius, Ουδε ϝεκηβολιαι· sed vide Α. 14.

55. δουρικλεϊτος. hastâ celeber: ita κλεϊτος, αγακλεϊτος, et τηλεκλεϊτος. MSS. tamen et Edd. δουρικλυτος habent, ut penultima anceps sit. Barnesius δουρικλειτος induxit. Vide Α. 447.

61. ϝεφιν ηρατο. eum amavit: Vulgò, μιν εφιλατο, quod pro εφιλησατο esse dicitur; sed φιλεω nusquam in voce mediâ occurrit. Mutatio facta est ob vanum timorem, ne εραμαι non nisi de amore Venereo dici possit; sed πολεμου εραται legitur, Ι. 64, et εδητυος ερος, Α. 469. Facile ϝ᾽ εφιλησε, vel φιλεεσκε ϝε, scripsisse potuit; φιλατο iterum occurrit, Υ. 304, ubi ηρατο legendum; et vide Ε. 117. ϝεφιν insuper pro ϝεθεν scripsi, ut postulat analogia, Α. 230, Ε. 270.

63. Αρχεκακους. quæ prima malorum Causa fuit. Æn. vii. 481.

64. Ϝοι τ᾽ αυτῳ. Knightius cum grammaticis antiquis versum damnat.

66. γλουτον, κυστιν. clunem, vesicam:

73. κεφαλης κατα ϝινιον. occiput, ubi plurimi nervi. Ϝινιον α ϝις in duobus locis digamma postulat.

Πηδαιον δ' αρ επεφνε Μεγης, Αντηνορος υἱον,
Ὁς ϝρα νοθος μεν εεν, πυκα δ' ετρεφε δια Θεανω,
Ϝισα φιλοισι τεκεσσι, χαριζομενη ποσεϊ ϝῳ.
Τον μεν Φυλεϊδης δουρικλυτος, εγγυθεν ελθων,
Βεβληκει κεφαλης κατα ϝινιον οξεϊ δουρι·
Αντικρυ δ' αν' οδοντας ὑπο γλωσσαν ταμε χαλκος·
Ηριπε δ' εν κονιῃ, ψυχρον δ' εϝλε χαλκον οδουσιν.
Ευρυπυλος δ' Ευαιμονιδης Ὑψηνορα διον,
Υἱον ὑπερθυμου Δολοπιονος, ὁς ϝρα Σκαμανδρου
Αρητηρ ετετυκτο, Θεος δ' ὡς τιετο δημῳ·
Τον μεν αρ Ευρυπυλος, Ευαιμονος αγλαος υἱος,
Προσθε ϝεθεν φευγοντα, μεταδρομαδην ελασ' ωμον,
Φασγανῳ αἰξας· απο δ' εξεσε χειρα βαρειαν·
Αἱματοεσσα δε χειρ πεδιῳ πεσε· τον δε κατ' οσσε
Εϝλαβε πορφυρεος θανατος και ϝμοιρα κραταιη.
Ὡς οἱ μεν πονεοντο κατα κρατερην ὑσμινην.
Τυδεϊδην δ' ου κεν γνοιης, ποτεροισι μετειη,
Ηε μετα Τρωεσσιν ὁμιλεοι, η μετ' Αχαιοις·
Θυνε γαρ αμπεδιον ποταμῳ πληθοντι ϝεϝοικως,

---

81. απο δ' εξεσε χειρα βαρειαν. abrasit verò manum gravem:
Te decisa suum, Laride, dextera quærit,
Semianimesque micant digiti, ferrumque retractant. Æn. x. 395.

87. ποταμῳ πληθοντι ϝεϝοικως.
Ac cùm mollis aquæ fertur natura repentè
Flumine abundanti, quod largis imbribus auget
Montibus ex altis magnus decursus aquaï,
Fragmina conjiciens sylvarum, arbustaque tota;
Nec validi possunt pontes venientis aquaï
Vim subitam tolerare; ita magno turbidus imbri
Molibus incurrit validis cum viribus amnis;
Dat sonitu magno stragem, volvitque sub undis
Grandia saxa; ruit, quà quidquam fluctibus obstat. Lucret. i. 282.

Non sic aggeribus ruptis cùm spumeus amnis
Exiit, oppositasque evicit gurgite moles,
Fertur in arva furens cumulo, camposque per omnes
Cum stabulis armenta trahit. Æn. ii. 496.

In segetem veluti cùm flamma furentibus Austris
Incidit, aut rapidus montano flumine torrens
Sternit agros, sternit sata læta, boumque labores;
Præcipitesque trahit sylvas. Æn. ii. 304.

Χειμαϝρρῳ, ὁς τ᾽ ωκα ϝρεων εκεδασσε γεφυρας·
Τον δ᾽ ουτε ϝρα γεφυραι εεργμεναι ισχανοωσιν,
Ουτε ϝρ᾽ ἑρκεα ϝ᾽ ισχει αλωαων εριθηλεων,
Ελθοντ᾽ εξαπινης, ὁτ᾽ επιβριση Διος ομβρος·
Πολλα δ᾽ ὑπ᾽ αυτου ϝεργα κατηριπε καλ᾽ αιζηων·
Ὡς ὑπο Τυδεϊδῃ πυκιναι κλονεοντο φαλαγγες
Τρωων, ουδ᾽ αρα μιν μιμνον, πολεες περ εοντες.
Τον δ᾽ ὡς ουν ενοησε Λυκαονος αγλαος υἱος,
Θυνοντ᾽ αμπεδιον, προ ϝεθεν κλονεοντα φαλαγγας,
Αιψ᾽ επι Τυδεϊδῃ ετιταινετο καμπυλα τοξα,
Και βαλ᾽ επαϊσσοντα, τυχων κατα δεξιον ωμον,
Θωρηκος γυαλον· δια δ᾽ επτατο πικρος οϊστος,
Αντικρυ δε διεσχε· παλασσετο δ᾽ αἱματι θωρηξ.
Τῳ δ᾽ επι μακρον αϋσε Λυκαονος αγλαος υἱος·
Ορνυσθε, Τρωες ϝμεγαθυμοι, κεντορες ἱππων·
Βεβληται γαρ αριστος Αχαιων· ουδε ϝε φημι
Δηθ᾽ ανσχησεσθαι κρατερον βελος, ει ετεον με
Ωρσε ϝαναξ, Διος υἱος, απορνυμενον Λυκιηθεν.
Ὡς εφατ᾽ ευχομενος· τον δ᾽ ου βελος ωκυ δαμασσεν·
Αλλ᾽ αναχωρησας, προσθ᾽ ἱπποιϊν και οχεσφιν
Εστη, και Σθενελον προσεφη, Καπανηϊον υἱον·
Ορσο, πεπον Καπανηϊαδη, καταβησεο διφρου,
Ὁϝρα μοι εξ ωμοιο ϝερυσσῃς πικρον οϊστον.

---

89. Τον δ᾽ ουτε ϝρα γεφυραι. Hunc verò neque sanè pontes contracti continent: Vulgò, ουτ᾽ αρ τε, ubi particula τε male geminatur. εεργμεναι ab εεργω, Β. 617; pontis contractio vim fluminis auget. Alii, muniti, vertunt.

90. Ουτε ϝρ᾽ ἑρκεα ϝ᾽ ισχει. Neque sanè septa eum continent vinearum virentium: Vulgò, Ουτ᾽ αρα ἑρκεα ισχει, quod bis in metrum peccat.

93. Ὡς ὑπο Τυδεϊδῃ.

> Sic Turno, quacunque viam secat, agmina cedunt
> Conversæque ruunt acies. Æn. xii. 368.

95. Λυκαονος αγλαος υἱος. Pandarus, Δ. 88.

103. Βεβληται γαρ αριστος.

> Pars belli haud temnenda, viri, jacet altus Orodes. Æn. x. 737.

109. Ορσο, πεπον. Surge, care: Imperativus perfecti passivi. καταβησεο, descende: Imperativus futuri medii, licet grammatici non agnoscant; ita οισε, οισετω, ab οισω.

῾Ως αρ εφη· Σθενελος δε καθ᾽ ἱππων αλτο χαμαζε·
Παρ δε στας, βελος ωκυ διαμπερες εκϝερυσ᾽ ωμου·
Αἱμα δ᾽ ανηκοντιζε δια στρεπτοιο χιτωνος.
Δη τοτ᾽ επειτ᾽ ηρᾶτο βοην αγαθος Διομηδης·
Κλυθι μοι, αιγιοχοιο Διος τεκος, ατρυτωνη·
Ει ποτε μοι και πατρι φιλα φρονεουσα παρεστης
Δηΐῳ εν πολεμῳ, νυν αυτε φιληθι μ᾽, Αθηνη·
Δος δε τε μ᾽ ανδρα ϝελειν, και ες ὁρμην εγχεος ελθειν,
῾Ος μ᾽ εβαλε φθαμενος, και επευχεται, ουδε με φησι
Δηρον ετ᾽ οψεσθαι λαμπρον φαος Ηελιοιο.
῾Ως εφατ᾽ ευχομενος· του δ᾽ εκλυε Παλλας Αθηνη,
Γυια δ᾽ εθηκεν ελαφρα, ποδας, και χειρας ὑπερθεν·
Αγχοθι δ᾽ ἱσταμενη ϝεπεα πτεροεντα προσηυδα·
Θαρσῶν νυν, Διομηδες, επι Τρωεσσι μαχεσθαι·
Εν γαρ τοι στηθεσσι μενος πατρωϊον ἡκα
Ατρομον, οἱον εχεσκε σακεσπαλος ἱππota Τυδευς.
Αχλυν δ᾽ αυ τοι απ᾽ οφθαλμων ϝελον, ἡ πριν επηεν,
῾Οϝρ᾽ ευ γινωσκῃς ημεν Θεον, ηδε και ανδρα.
Τῳ νυν, αι κε Θεος πειρωμενος ενθαδ᾽ ἱκηται,
Μη τι συγ᾽ αθανατοισι Θεοις αντικρυ μαχεσθαι
Τοις αλλοις· αϝαρ ει κε Διος θυγατηρ Αφροδιτη
Ελθησ᾽ ες πολεμον, τηνγ᾽ ουταμεν οξεϊ χαλκῳ.
῾Η μεν αρ ὡς ϝειπουσ᾽ απεβη γλαυκωπις Αθηνη.

---

112. διαμπερες. penitus trans: nempe a tergo: retrahere enim hami non sivissent.

113. στρεπτοιο χιτωνος. tortilis tunicæ: id est, e funibus, vel loris tortis, compositæ; iterum occurrit, Φ. 31.

117. νυν αυτε φιληθι μ᾽, Αθηνη. nunc rursus ama me, Minerva: φιληθι imperativus est a φιλημι, unde φιλημεναι, Χ. 265. Ita, Αλλα, ϝανασσ᾽, ἱληθι, διδωθι δε μοι κλεος εσθλον, Od. γ. 380, π. 184. Vulgò, νυν αυτε με φιλε᾽, Αθηνη, quæ quidem altera est imperativi forma, sed in metrum peccat. Liceret etiam, νυν αυ με φιλησον, legere. Malè Clarkius φιλαι edidit, licet ex Eustathio; vide Ε. 61.

118. Δος δε τε μ᾽ ανδρα ϝελειν. Da verò et me hominem capere: Locus digamma postulat; facile ανερ᾽ ἑλειν, vel ανδρ᾽ ἑλεειν, scripsisse potuit.

127. Αχλυν δ᾽ αυ. namque omnem, quæ nunc obducta tuenti
Mortales hebetat visus tibi, et humida circùm
Caligat, nubem eripiam. Æn. ii. 604.

Τυδεϊδης δ' εξαυτις ιων προμαχοισιν εμιχθη·
Και πριν περ θυμῳ μεμαως Τρωεσσι μαχεσθαι,
Δη τοτε μιν τρις τοσσον εϝλεν μενος, ὡς τε λεοντα,
Ὁν ϝρα τε ποιμην αγρῳ επ' ειροποκοις οϊεσσι
Χραυσῃ μεν τ' αυλης ὑπεραλμενον, ουδε δαμασσῃ·
Του μεν τε σθενος ωρσεν· επειτα δε τ' ου προσαμυνει,
Αλλα κατα σταθμους δυεται, τα δ' ερημα φοβειται·
Αἱ μεν τ' αγχιστιναι επ' αλληλῃσι κεχυνται·
Αυταρ ὁς εμμεμαως βαθεης εξαλλεται αυλης·
Ὡς μεμαως Τρωεσσι μιγη κρατερος Διομηδης.
Ενθ' εϝλε Ϝαστυνοον, και Ὑπεινορα, ποιμενα λαων·
Τον μεν ὑπερ μαζοιο βαλων χαλκηρεϊ δουρι,
Τον δ' ἑτερον ξιφεϊ ϝμεγαλῳ κληϊδα παρ' ωμον
Πληξ'· απο δ' αυχενος ωμον εεργαθεν, ηδ' απο νωτου.
Τους μεν εϝασ', ὁ δ' Αβαντα μετῳχετο, και Πολυειδον,
Ὑϊας Ευρυδαμαντος, ονειροπολοιο γεροντος·
Τοις ουκ ερχομενοις ὁ γερων εκρινατ' ονειρους,
Αλλα σφεας κρατερος Διομηδης εξεναριξε.
Βη δε μετα Ξανθον τε, Θοωνα τε, Φαινοπος υἱε,
Αμφω τηλυγετω· ὁ δ' ετειρετο γηραϊ λυγρῳ,
Υἱον δ' ου τεκετ' αλλον, επι κτεατεσσι λιπεσθαι.
Ενθ' ὁγε τους εναριζε, φιλον δ' εξαινυτο θυμον
Αμφοτεροιν· πατερι δε γοον και κηδεα λυγρα
Λειπ', επει ου ζωοντε μαχης εκνοστησαντε

---

140. Αλλα κατα σταθμους δυεται, τα δ' ερημα φοβειται. Sed in stabula subit, et loca deserta timet: Alii μηλα intelligunt; id est, oves deserti timent. Δυω non nisi hic, et Ν. 225, primam corripit.

141. αγχιστιναι. propinquæ, confertæ: Alii, αγχηστιναι.

142. βαθεης εξαλλεται αυλης. ex alto ovili salit: Hic quidem versus nihil ad similitudinem facit; Knightius igitur damnat. Vulgò etiam ἁ legitur, ut Α. 332. Ἀλλομαι non alibi in præsenti occurrit, præter καθαλλομενη, Λ. 298; vide Λ. 192, Μ. 438.

143. Ὡς μεμαως. Pœnorum qualis in arvis
Saucius ille gravi venantum vulnere pectus,
Tum demum movet arma leo, gaudetque comantes
Excutiens cervice toros, fixumque latronis
Impavidus frangit telum, et fremit ore cruento:
Haud secus accensi gliscit violentia Turni. Æn. xii. 4.

Δεξατο· χηρωσται δε δια κτησιν δατεοντο.
  Ενθ᾽ υἱους Πριαμοιο δυω ϝλαβε Δαρδανιδαο,
Ειν ἑνι διφρῳ εοντας, Εχημονα τε, Χρομιον τε.
Ὡς δε λεων εν βουσι θορων εξ αυχενα ϝαξει
Πορτιος ηε βοος, ξυλοχον κατα βοσκομεναων·
Ὡς τους αμφοτερους εξ ἱππων Τυδεος υἱος
Βησε κακως αϝεκοντας, επειτα δε τευχε᾽ εσυλα·
Ἱππους δ᾽ αυθ᾽ ἑταϝροισι διδου μετα νηας ελαυνειν.
  Τον δε ϝιδ᾽ Αινειας αλαπαζοντα στιχας ανδρων·
Βη δ᾽ ιμεν αν τε μαχην και ανα κλονον εγχειαων,
Πανδαρον αντιθεον διζημενος, ει που εφευροι.
Εὑρε Λυκαονος υἱον αμυμονα τε κρατερον τε·
Στη δε προσθ᾽ αυτοιο, ϝεπος τε μιν αντιον ηυδα·
  Πανδαρε, που τοι τοξον, ιδε πτεροεντες οϊστοι,
Και κλεος; ῷ ουτις τοι εριζεται ενθαδε γ᾽ ανηρ,
Ουδε τις εν Λυκιῃ σεογ᾽ ευχεται ειναι αμεινων.
Αλλ᾽ αγε, τῳδ᾽ εφες ανδρι βελος, Διϊ χειρας ανασχων,
Ὁς τις ὁδε κρατεει, και δη κακα πολλα ϝεϝοργε
Τρωας· επει πολλων τε και εσθλων γουνατ᾽ ελυσεν.
Ει μη τις Θεος εστι, κοτεσσαμενος Τρωεσσιν,
Ἱρων μηνισας· χαλεπη δε Θεου επι μηνις.
  Τον δ᾽ αυτε προσεϝειπε Λυκαονος αγλαος υἱος·
Αινεια, Τρωων βουληφορε χαλκοχιτωνων,
Τυδεΐδῃ μιν εγωγε δαϊφρονι παντα ϝεϊσκω,

---

147. εεργαθεν. discrevit: ab εεργαθω, Β. 617.

150. Τοις ουκ ερχομενοις. Illis non venientibus senex interpretatus est somnia: id est, ad Trojam proficiscentibus fatum non prædixit. Alii, redeuntibus, vertunt, sed ερχομενῳ eundem sensum habet, Ε. 198.

156. Αμφοτεροιν. morere, et ne fratrem desere frater. Æn. x. 600.

158. χηρωσται. orbi hæredes: οἱ μακροθεν συγγενεις. Hesych.

165. Ἱππους δ᾽ αυθ᾽ εταϝροισι. Vulgò, δ᾽ οἱς, quod in digamma peccat. Potuit etiam, Ϝοις δ᾽ ἱππους, scripsisse.

166. Τον δε ϝιδ᾽ Αινειας. Ita, Τους δε ϝιδε Σθενελος, Ε. 241. Vulgò, Τον δ᾽ ιδεν.

178. χαλεπη δε Θεου επι μηνις. difficilis verò Dei adversùs ira: Alii επιμηνις, unâ voce; sed επι sæpe sine casu ponitur.

Ασπιδι γιγνωσκων, αυλωπιδι τε τρυφαλειῃ,
Ἱππους τ᾽ εισορoων· σαφα δ᾽ ου ϝοιδ᾽, ει Θεος εστιν.
Ει δ᾽ ὁγ᾽ ανηρ, ὁν φημι, δαϊφρων Τυδεος υἱος,
Ουχ ὁγ᾽ ανευθε Θεου ταδε μαινεται, αλλα τις αγχι
Ἑστηκ᾽ αθανατων, ϝνεφελῃ ϝειλυμενος ωμους,
Ὁς τουτου βελος ωκυ κιχημενον ετραπεν αλλῃ.
Ηδη γαρ ϝοι εφηκα βελος, και μιν βαλον ωμον
Δεξιον, αντικρυ δια θωρηκος γυαλοιο·
Και μιν εγωγ᾽ εφαμην Αϝιδωνηϊ προϊαψειν,
Εμπης δ᾽ ουκ εδαμασσα· Θεος νυ τις εστι κοτηεις.
Ἱπποι δ᾽ ου παρεασι, και ἁρματα, των κ᾽ επιβαιην·
Αλλα που εν ϝμεγαροισι Λυκαονος ἑνδεκα διφροι,
Καλοι, πρωτοπαγεις, νεοτευχεες· αμφι δε πεπλοι
Πεπτανται· παρα δε σφι ϝεκαστῳ διζυγες ἱπποι
Ἑστᾶσιν, κρι λευκον ερεπτομενοι και ολυρας.
Η μεν μοι μαλα πολλα γερων αιχμητα Λυκαων
Ερχομενῳ επετελλε δομοις ενι ποιητοισιν·
Ἱπποισιν μ᾽ εκελευε και ἁρμασιν εμβεβαωτα
Αρχευειν Τρωεσσι κατα κρατερας ὑσμινας·
Αλλ᾽ εγω ου πιθομην, η κεν πολυ κερδιον ηεν,
Ἱππων φειδομενος, μη μοι δευοιατο φορβης,
Ανδρων ϝειλομενων, ειωθοτες εδμεναι αδρον.
Ὡς λιπον· αυταρ πεζος εων ες Ϝιλιον ηλθον,
Τοξοισιν πισυνος· τα δε μ᾽ ουκ αρ εμελλον ονησειν.

---

183. Ἱππους. Versus ab antiquis suspectus.

185. Ουχ ὁγ᾽ ανευθε Θεου. Non hæc sine numine Divum
Eveniunt. Æn. ii. 777.

201. η κεν. certè tum: Vulgò, ητ᾽ αν.

203. Ανδρων ϝειλομενων. Hominibus coarctatis: a ϝειλεω, ut αιδομενων ab αιδεομαι· nisi forsitan εϝλομενων legendum; sed aoristus non videtur hunc sensum obtinere. ειωθοτες εδμεναι αδρον, assueti edere lautè: vulgò, αδην, contra metrum; Αδρον, μεγα, δαψιλες, παχυ. Hesychius. Knightius versum damnat.

204. πεζος εων ες Ϝιλιον ηλθον. pedes ad Ilium veni: vel, ελ ηλυθα Ϝιλιον εισω· vel, Ὡς αρ πεζος εων ες Ϝιλιον ειληλουθα. Vulgò, Ὡς λιπον· αυταρ πεζος ες Ιλιον ειληλουθα· sed πεζος post se εων quasi postulat, Δ. 231, Λ. 230, 720, et Ϝιλιος digamma habet.

Ηδη γαρ δοιοισιν αριστηεσσιν εφηκα,
Τυδεΐδῃ τε, και Ατρεΐδῃ· εκ δ᾽ αμφοτεροιΐν
Ατρεκες αἱμ᾽ εϝσευα βαλων· ηγειρα δε μαλλον.
Τῳ ϝρα κακῃ αισῃ απο πασσαλου αγκυλα τοξα
Ηματι τῳ ϝελομην, ὁτε Ϝιλιον εις ερατεινην
Ἡγεομην Τρωεσσι, φερων χαριν Ἑκτορι διῳ.
Ει δε κε νοστησω, και εσοψομαι οφθαλμοισι
Πατριδ᾽ εμην, αλοχον τε, και ὑψερεφες ϝμεγα δωμα,
Αυτικ᾽ επειτ᾽ απ᾽ εμειο καρη ταμοι αλλοτριος φως,
Ει μη εγω ταδε τοξα φαεινῳ εν πυρι θειην,
Χερσι διακλασσας· ανεμωλια γαρ μοι οπηδεῖ.
Τον δ᾽ αυτ᾽ Αινειας, Τρωων αγος, αντιον ηυδα·
Μηδ᾽ οὑτως αγορευε· παρος δ᾽ ουκ εσσεται αλλως,
Πριν νωϊ, τῳδ᾽ ανδρι συν ἱπποισιν και οχεσσιν
Αντιβιην ελθοντε, συν εντεσι πειρηθηναι.
Αλλ᾽ αγ᾽, εμων οχεων επιβησεαι, οϝρα ϝιδηαι
Οἱοι Τρωϊοι ἱπποι, επισταμενοι πεδιοιο,
Κραιπνα μαλ᾽ ενθα και ενθα διωκεμεν, ηδε φεβεσθαι·
Τω και νωϊ πολινδε σαωσετον, ει κε περ αυτε
Ζευς επι Τυδεΐδῃ Διομηδεϊ κυδος ορεξῃ.
Αλλ᾽ αγε νυν, ϝμαστιγα και ἡνια σιγαλοεντα
Δεξαι, εγω δ᾽ ἱππων αποβησομαι, ὁϝρα μαχωμαι·
Ηε συ τονδε δεδεξο, μελησουσιν δε μοι ἱπποι.
Τον δ᾽ αυτε προσεϝειπε Λυκαονος αγλαος υἱος·

219. Πριν νωϊ τῳδ᾽ ανδρι. Antequam nos huic viro: Ita Knightius; vulgò, Πριν γ᾽ επι νω τῳδ᾽ ανδρι· sed νωϊ non alibi in Iliade contrahitur.

220. πειρηθηναι. tentari: id est, nostrûm ipsorum experimentum facere. Simplicius tamen esset, πειρησεσθαι· vide Κ. 444.

221. επιβησεαι. conscendes: ita emendavit Bentleius; futurum passim imperativi sensum habet. Vulgò, επιβησεο.

226. ἡνια σιγαλοεντα. habenas ornatas: ita, Ἡνια λευκ᾽ ελεφαντι, Ε. 583. Habet Hesychius, Σιαλωσαι, ποικιλαι, et in Exodo legitur, λιθους περισεσιαλωμενους χρυσιου, c. 36, unde Knightius et Heynius σιϝαλοεντα volunt legere.

227. ἱππων αποβησομαι. e curru descendam: id est, in terram, unde certior erat hastæ jactus. Pandarus quidem non descendit, et frustra telum jacit; Diomedes contrà a terrâ jacit et ferit.

Αινεια, συ μεν αυτος εχ' ἡνια και τεω ἱππω·
Μαλλον ὑφ' ἡνιοχῳ ειωθοτι καμπυλον ἁρμα
Οισετον, ει κε περ αυτε φεβωμεθα Τυδεος υἱον.
Μη τω μεν δεισαντε ματησετον, ουδ' εθελητον
Εκφερεμεν πολεμοιο, τεον φθογγον ποθεοντε·
Νωϊ δ' επαιξας ϝμεγαθυμου Τυδεος υἱος
Αυτω τε κτεινῃ, και ελασσῃ μωνυχας ἱππους.
Αλλα συγ' αυτος ελαυνε τε' ἁρματα και τεω ἱππω,
Τονδε δ' εγων επιοντα δεδεξομαι οξεϊ δουρι.
Ὡς αρα φωνησαντες, ες ἁρματα ποικιλα βαντες,
Εμμεμαωτ' επι Τυδειδῃ εχον ωκεας ἱππους·
Τους δε ϝιδε Σθενελος, Καπανηϊος αγλαος υἱος,
Αιψα δε Τυδειδην ϝεπεα πτεροεντα προσηυδα·
Τυδειδη Διομηδες, εμῳ κεχαρισμενε θυμῳ,
Ανδρ' ὁροω κρατερω επι σοι μεμαωτε μαχεσθαι,
Ϝιν' απελεθρον εχοντας· ὁ μεν τοξων εὖ ϝειδως,
Πανδαρος, υἱος δ' αυτε Λυκαονος ευχεται ειναι·
Αινειας δ' υἱος ϝμεγαλητορος Αγχισαο
Ευχεται εκγεγαμεν, μητηρ δε ϝοι εστ' Αφροδιτη.
Αλλ' αγε δη χαζωμεθ' εφ' ἱππων· μηδε μοι οὑτω
Θυνε δια προμαχων, μη πως φιλον ητορ ολεσσῃς.
Τον δ' αρ ὑποδρα ϝιδων προσεφη κρατερος Διομηδης·
Μη τι φοβονδ' αγορευ', επει ουδε σε πεισεμεν οιω·
Ου γαρ μοι γενναιον αλυσκαζοντι μαχεσθαι,
Ουδε καταπτωσσειν· ετι μοι μενος εμπεδον εστιν·
Οκνειω δ' ἱππων επιβαινεμεν· αλλα και αυτως

240. Εμμεμαωτε. Cupidi: Malè nonnulli ad Diomedem referunt.

245. Ϝιν' απελεθρον εχοντες. Vim immensam habentes: Ϝις in quatuor locis digamma postulat, in quinque admittit. Habet Hesychius, Γις, ισχυς, et hinc vox Latina, vis.

248. Ευχεται. Heynius et Knightius versum damnant.

255. Οκνειω. Nolo: non ob timorem, sed ob verecundiam; verbum iterum occurrit, Υ. 155, et οκνος passim. Knightius tamen verbum suspectum habet, ut et voces ϝϝα et γουν, unde quatuor versus damnat.

256. τρεῖν μ' ουκ ειϝασεν Αθηνη. tremere me non sivit Minerva: nempe

Αντιον ειμ' αυτων· τρεῖν μ' ουκ ειϝασεν Αθηνη.
Τουτω δ' ου παλιν αυτις αποισετον ωκεες ἱπποι
Αμφω αφ' ἡμειων, ει γ' ουν ἑτερος γε φυγησιν·
Αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῃσιν·
Αι κεν μοι πολυβουλος Αθηνη κυδος ορεξῃ
Αμφοτερω κτειναι, συ δε τουσδε μεν ωκεας ἱππους
Αυτοθ' εϝρυκακεειν, εξ αντυγος ἡνια τεινας·
Αινειαο δ' επαΐξαι μεμνημενος ἱππων,
Εκ δ' ελασαι Τρωων μετ' εϋκνημιδας Αχαιους.
Της γαρ τοι γενεης, ἡς Τρωΐ περ ευρυϝοπα Ζευς
Δωχ' υἱος ποινην Γανυμηδεος· οὑνεκ' αριστοι
Ἱππων, ὁσσοι εασιν ὑπ' Ηοα τ', Ηελιον τε.
Της γενεης εκλεψε ϝαναξ ανδρων Αγχισης,
Λαθρη Λαομεδοντος ὑποσχων θηλεας ἱππους·
Των ϝεθιν ἑξ εγενοντο γενεθλης εν ϝμεγαροισι·
Τους μεν τεσσαρας αυτος εχων ατιταλλ' επι φατνῃ,
Τω δε δυ' Αινειᾳ δωκεν, μηστωρε φοβοιο·
Ει τουτω κε ϝλαβοιμεν, αροιμεθα κεν κλεος εσθλον.
  Ὡς οἱ μεν τοιαυτα προς αλληλους αγορευον·
Τω δε ταχ' εγγυθεν ηλθον, ελαυνοντ' ωκεας ἱππους.
Τον προτερος προσεϝειπε Λυκαονος αγλαος υἱος·
  Καρτεροθυμε, δαΐφρον, αγαυου Τυδεος υἱε,
Η μαλα σ' ου βελος ωκυ δαμασσατο, πικρος οϊστος·
Νυν αυτ' εγχειῃ πειρησομαι, αι κε τυχοιμι.
  Η ϝρα, και αμπεπαλων προϊει δολιχοσκιον εγχος,
Και βαλε Τυδεΐδαο κατ' ασπιδα· της δε δια προ

---

ante Ε. 124, et vide Ε. 819, Λ. 279. Vulgò, τρεῖν μ' ουκ εᾷ Παλλας Αθηνη· sed ϝεαει ita contrahi nequit. Alii, εα, ut sit imperfectum.

265. Της γαρ τοι γενεης. Knightius novem versus damnat, quia Homerus non alibi Ganymedis raptum memoret.

> Semine ab æthereo, spirantes naribus ignes,
> Illorum de gente, patri quos dædala Circe
> Suppositâ de matre nothos furata creavit. Æn. vii. 281.

270. Των ϝεθιν ἑξ εγενοντο γενεθλης εν ϝμεγαροισι. Illorum ei sex nascebantur generis in domibus: Vulgò, Των οἱ ἑξ εγενοντο ενι μεγαροισι γενεθλης· Formam dativi antiquam induxi, et verba ob hiatum transposui; vide Ε. 61.

Αιχμη χαλκειη πταμενη θωρηκι πελασθη.
Τῳ δ' επι μακρον αϋσε Λυκαονος αγλαος υἱος·
Βεβληαι κενεωνα διαμπερες, ουδε σ' οϊω
Δηρον ετ' ανσχησεσθαι· εμοι δε ϝμεγ' ευχος εδωκας.
Τον δ' ου ταρβησας προσεφη κρατερος Διομηδης·
Ημβροτες, ουδ' ετυχες· αϝαρ ου μεν σφωϊ γ' οϊω
Πριν γ' αποπαυσεσθαι, πριν γ' η ἑτερον γε πεσοντα
Αἱματος ασαι Αϝρηα ταλαϝρινον πολεμιστην.
Ὡς φαμενος προεηκε, βελος δ' ιθυνεν Αθηνη
Ϝρινα παρ' οφθαλμον, λευκους δ' επερησεν οδοντας.
Του δ' απο μεν γλωσσαν πρυμνην ταμε χαλκος ατειρης,
Αιχμη δ' εξελυθεν παρα νειατον ανθερεωνα.
Ηριπε δ' εξ οχεων· αράβησε δε τευχε' επ' αυτῳ
Αιολα, παμφανοωντα· παρετρεσσαν δε ϝοι ἱπποι
Ωκυποδες· του δ' αυθι λυθη ψυχη τε μενος τε.
Αινειας δ' επορουσε συν ασπιδι δουρι τε μακρῳ,
Δεισας, μη πως ϝοι ϝερυσαιατο νεκρον Αχαιοι.
Αμφι δ' αρ αυτῳ βαινε, λεων ὡς, αλκι πεποιθως,
Προσθε δε ϝοι δορυ τ' εσχε και ασπιδα παντοσε ϝισην,
Τον κταμεναι μεμαως, ὁς τις τουγ' αντιον ελθοι,
Σμερδαλε' ιαχεων· ὁ δε χερμαδιον ϝλαβε χειρι
Τυδεϊδης, ϝμεγα ϝεργον, ὁ κ' ου δυο γ' ανδρε φεροιεν,
Οἱοι νυν βροτοι εισ'· ὁ δε μιν ϝρεα παλλε και οιος·
Τῳ βαλεν Αινειαο κατ' ισχιον, ενθα τε μηρος
Ισχιῳ ενστρεφεται· κοτυλην δε τε μιν καλεουσι·

---

289. Αἱματος ασαι Αϝρηα. Sanguine satiare Martem: Verbum non nisi in futuro et aoristo legitur, præter αμεναι, Ψ. 70. ταλαϝρινον, patientem ad scutum: vulgò, ταλαυρινον· ϝρινος digamma postulat, Η. 474, et Hesychius, Γρινος, δερμα, habet.

291. Ϝρινα παρ' οφθαλμον In nasum juxtà oculum: Pandarus caput inclinavit ad hastam Diomedis vitandam; unde per nasum ad mentum venit. Ϝρις digamma postulat, Ξ. 467.

293. Αιχμη δ' εξελυθεν Cuspis verò exivit: MSS. εξελυθη, εξεχυθη, et εξεσυθη præbent, quorum nullum ferri potest. Miror neminem veram lectionem vidisse; licèt ελυθε non alibi occurrat, proculdubio tamen pro ηλυθε, augmento omisso, poni potest.

Θλασσε δε ϝοι κοτυλην, προς δ' αμφω ϝρηξε τενοντε·
Ωσε δ' απο ϝρινον τρηχυς λιθος· αυταρ ὁγ' ἡρως
Εστη γνυξ εριπων, και ερεισατο χειρι παχειῃ
Γαιης· αμφι δε ϝ'οσσε κελαινη νυξ εκαλυψε.
Και νυ κεν ενθ' απολοιτο ϝαναξ ανδρων Αινειας,
Ει μη αρ οξυ νοησε Διος θυγατηρ Αφροδιτη,
Μητηρ, ἡ μιν ὑπ' Αγχισῃ τεκε βουκολεοντι·
Αμφι δε ϝον φιλον υἱον εχευατο πηχεε λευκω·
Προσθε δε ϝοι πεπλοιο φαεινου πτυγμ' εκαλυψεν,
Ἑρκος εμεν βελεων, μη τις Δαναων ταχυπωλων
Χαλκον ενι στηθεσσι βαλων, απο θυμον εϝλοιτο.
Ἡ μεν εϝον φιλον υἱον ὑπεξεφερεν πολεμοιο·
Ουδ' υἱος Καπανηος εληθετο συνθεσιαων
Ταων, ἁς επετελλε βοην αγαθος Διομηδης.
Αλλ' ὁγε τους μεν εϝους εϝρυκακε μωνυχας ἱππους
Νοσφιν απο φλοισβου, εξ αντυγος ἡνια τεινας·
Αινειαο δ', επαΐξας, καλλιτριχας ἱππους
Εξελασε Τρωων μετ' εϋκνημιδας Αχαιους·
Δωκε δε Δηϊπυλῳ, ἑταϝρῳ φιλῳ, ὁν περι πασης
Τιεν ὁμηλικιης, ὁτε ϝοι φρεσιν αρτια ϝοιδει,
Νηυσιν επι γλαφυρῃσιν ελαυνεμεν· αυταρ ὁγ' ἡρως
Ϝων ἱππων επιβας εϝλαβ' ἡνια σιγαλοεντα·
Αιψα δε Τυδεϊδην μεθεπε κρατερωνυχας ἱππους,
Εμμεμαως· ὁ δε Κυπριν επῳχετο νηλεϊ χαλκῳ,
Γιγνωσκων ὁτ' αναλκις εεν Θεος, ουδε Θεαων

---

302. Σμερδαλε' ιαχεων. Tremendè clamans: Vulgò, Σμερδαλεα ιαχων, quod ferri nequit. Bentleius, ϝιαχων, sed tunc Σμερδαλεον dixisset, ut, Σμερδαλεον κοναβησαν, Β. 334, Θ. 92, et in Hymn. ad Minerv. 11, Σμερδαλεον ιαχησεν. Vide Α. 482, Δ. 506, Ε. 343.

303. ὁ κ' ου δυο γ' ανδρε φεροιεν. quod tum non duo quidem homines ferrent: Ita Knightius; et sic Μ. 447; vulgò, ὁ ου.

310. αμφι δε ϝ'οσσε κελαινη νυξ εκαλυψε. circùm verò eum oculos nigra nox operuit: Vulgò, αμφι δε οσσε· sed pronomen desideratur, ut, τον δε σκοτος οσσ' εκαλυψε, Δ. 526. Malè Knightius versum damnat, ut et 313, 316, 317, 318, 320, 331, 332, 333, 340, 341, 342.

326. ὁτε ϝοι φρεσιν αρτια ϝοιδει. quòd ejus mente justa sciret: alii, quòd sibi mente consentaneâ erat: Vulgò, ὁτι, et, ῃδη· vide Β. 255, Α. 70.

Ταων, αἱ τ' ανδρων πολεμον κατακοιρανεουσιν,
Ουτ' αρ Αθηναιη, ουτε πτολιπορθος Ενυω.
Αλλ' ὁτε δη ϝ' εκιχανε πολυν καθ' ὁμιλον οπαζων,
Ενθ' επορεξαμενος ϝμεγαθυμου Τυδεος υἱος,
Ακρην ουτασε χειρα μεταλμενος οξεϊ χαλκῳ
Αβληχρην· ειθαρ δε δορυ χροος αντετορησεν,
Αμβροσιου δια πεπλου, ὁν αρ Χαριτες καμον αυται,
Πρυμνον ὑπερ θεναρος· ϝρεε δ' αμβροτον αἱμα Θεοιο,
Ιχωρ, οἱος περ τε ϝρεει μακαρεσσι Θεοισιν·
Ου γαρ σιτον εδουσ', ου πινουσ' αιθοπα ϝοινον,
Τουνεκ' αναιμονες εισι, και αθανατοι καλεονται.
'Η δε ϝμεγ' ιαχεουσα ϝεθεν απο καββαλεν υἱον·
Και τον μεν μετα χερσι ϝερυσσατο Φοιβος Απολλων
Κυανεῃ ϝνεφελῃ, μη τις Δαναων ταχυπωλων,
Χαλκον ενι στηθεσσι βαλων, εκ θυμον εϝλοιτο.
Τῃ δ' επι μακρον αϋσε βοην αγαθος Διομηδης·
Ϝεικε, Διος θυγατερ, πολεμου και δηϊοτητος·
Ου ϝαλις, ὁϝρα γυναικας αναλκιδας ηπεροπευεις,
Ει δε συγ' ες πολεμον πωλησεαι; η τε σ' οϊω
Ϝριγησειν πολεμον γε, και ει χ' ἑτερωθι πυθηαι.
'Ως εφαθ'· ἡ δ' αλυουσ' απεβησατο, τειρετο δ' αινως.
Την μεν Ϝιρις εϝλουσα ποδηνεμος εξαγ' ὁμιλου,

---

337. Αβληχρην. Debilem: Thema incertum est; forsitan, ου βαλλ... χρηστην.

338. ὁν αρ Χαριτες καμον αυται. quem sanè Gratiæ laborârant ipsæ: Ita, ον ϝρ' αυτη ποιησατο και καμε χερσι, Ε. 735. Vulgò, ον οἱ, quod in digamma peccat; ὁς αρ tamen passim legitur, ut Δ. 520, Η. 182.

339. Πρυμνον ὑπερ θεναρος. Ad extremum volæ: vox non alibi occurrit.

343. 'Η δε ϝμεγ' ιαχεουσα ϝεθεν απο καββαλεν υἱον. Illa verò valdè clamans a se dejecit filium: MSS. 'Η δε μεγ' ιαχουσα απο ἑο καββαλεν υἱον, contra metrum; vide Ε. 302.

349. Ου ϝαλις, ὁϝρα γυναικας. Non satis, quòd sanè mulieres imbelles decipis, Si verò tu quidem ad bellum ibis: Vulgò, Η ουχ ἁλις, ὁ,ττι γυναικας Homerus tamen hujusmodi elisiones non admittit, quanquam apud Tragicos abundent, et Η omninò vacat. Vulgò sententia versu finitur; sed vide Α. 340, Ο. 186, Ψ. 40.

352. αλυουσα. errans: id est, mente præ dolore; αλυων penultimam producit, Od. ι. 398.

353. Την μεν Ϝιρις. Vel, Την δ' αρα Ϝιρις· vulgò, Την μεν αρ Ιρις.

358. Πολλα ϝλισσομενη. Multa supplicans: Hinc constat ϝλισσομαι a

Αχθομενην οδυνησι· μελαινετο δε χροα καλον.
Εὗρεν επειτα μαχης επ᾽ αριστερα θουρον Αϝρηα
Ἡμενον· ηερι δ᾽ εγχος εκεκλιτο, και ταχε᾽ ἱππω·
Ἡ δε γνυξ εριπουσα, κασιγνητοιο φιλοιο,
Πολλα ϝλισσομενη, χρυσαμπυκας ητεεν ἱππους·
  Εκκομισαι μεν εμε, φιλ᾽ αδελφεε, δος δε μοι ἱππους,
Ὀϝρ᾽ ες Ολυμπον ἱκωμαι, ἱν᾽ αθανατων ἑδος εστι.
Λιην αχθομαι ἑλκος, ὁ με βροτος ουτασεν ανηρ
Τυδεΐδης, ὁς νυν και κεν Διϊ πατρι μαχοιτο.
  Ὡς φατο· τῃ δ᾽ Αϝρης δωκε χρυσαμπυκας ἱππους·
Ἡ δ᾽ ες διφρον εβαινεν, ακηχεμενη φιλον ητορ.
Παρ δε τε Ϝιρις εβαινε, και ἡνια λαζετο χερσι·
Ϝμαστιξεν δ᾽ ελααν, τω δ᾽ ουκ αϝεκοντε πετεσθην·
Αιψα δ᾽ επειθ᾽ ἱκοντο Θεων ἑδος, αιπυν Ολυμπον·
Ενθ᾽ ἱππους εστησε ποδηνεμος ωκεα Ϝιρις,
Λυσασ᾽ εξ οχεων· παρα δ᾽ αμβροσιον βαλεν ειδαρ.
Ἡ δ᾽ εν γουνασι πιπτε Διωνης δῖ᾽ Αφροδιτη,
Μητρος εϝης· ἡ δ᾽ αγκας ελαζετο θυγατερα ϝην,
Χειρι τε μιν κατεϝρεξε, ϝεπος τ᾽ εφατ᾽, εκ τ᾽ ονομαζε·
  Τις νυ σε τοιαδ᾽ εϝρεξε, φιλον τεκος, Ουρανιωνων
Μαψιδιως, ὡς ει τι κακον ϝρεζουσαν ενωπῃ;
  Την δ᾽ ημειβετ᾽ επειτα φιλοϝμειδης Αφροδιτη·

---

duplici consonante incipere, ut ex augmento producto in εϝλισσετο, Z. 45, I. 570; ita, Πυκνα ϝρωγαλεην, Od. ν. 438; vide A. 15. Barnesius, Πολλα ϝε λισσομενη, proposuit. χρυσαμπυκας. aurea frontalia habentes:

359. Εκκομισαι μεν εμε, φιλ᾽ αδελφεε, δος δε μοι ἱππους. Excipe quidem me, care frater, da verò mihi equos: Vulgò, Φιλε κασιγνητ᾽, εκκομισαι τε με, δος δε μοι ἱππους· δε tamen μεν excidisse demonstrat, φιλος nullâ ratione primam producere potest, et versus cæsurâ indiget; verba igitur transposui, et synonymum pro κασιγνητε substitui. Heynius δος τε emendat; alii κομισαι legunt. Vide Δ. 155.

362. ὁς νυν και κεν Διϊ πατρι μαχοιτο. qui nunc etiam tum cum Jove patre pugnaret: Vulgò, ὁς νυν γε και αν.

363. τῃ δ᾽ Αϝρης. ei verò Mars: Αϝρης primam in thesi producit; nempe ante mutam et liquidam; quod ne fiat, τῃ δε Αρης, hiatu intolerando, vulgò legitur; Bentleius, τῃ δ᾽ αρ Αρης, voluit.

364. ακηχεμενη. dolens: pro ακαχημενη, ab ακαχεω.

365. Παρ δε τε Ϝιρις εβαινε. Juxtà verò etiam Iris ibat: Ita rectè Heynius, et citat Λ. 518. Vulgò, Παρ δε οἱ Ιρις.

374. ενωπῃ. palam, in conspectu:

Ουτα με Τυδεος υἱος, ὑπερθυμος Διομηδης,
Οὑνεκ' εγω φιλον υἱον ὑπεξεφερον πολεμοιο,
Αινειαν, ὁς εμοι παντων πολυ φιλτατος εστιν.
Ου γαρ ετι Τρωων και Αχαιων φυλοπις αινη,
Αλλ' ηδη Δαναοι γε και αθανατοισι μαχονται.
Την δ' ημειβετ' επειτα Διωνη, δῖα Θεαων·
Τετλαθι, τεκνον εμον, και ανασχεο, κηδομενη περ.
Πολλοι γαρ δη τλημεν Ολυμπια δωματ' εχοντες
Εξ ανδρων, χαλεπ' αλγε' επ' αλληλοισι τιθεντες.
Τλη μεν Αϝρης, ὁτε δη ϝ' Ωτος, κρατερος τ' Εφιαλτης,
Παιδες Αλωηος, δησαν κρατερῳ ενι δεσμῳ·
Χαλκεῳ δ' εν κεραμῳ δεδετο τρισκαιδεκα μηνας.
Και νυ κεν ενθ' απολοιτ' Αϝρης, αϝατος πολεμοιο,
Ει μη μητρυιη, περικαλλης Ηεριβοια,
Ἑρμειᾳ ηγγειλεν· ὁ δ' εξεκλεψεν Αϝρηα
Ηδη τειρομενον· χαλεπος δε ϝε δεσμος εδαμνα.
Τλη δ' Ἡρη, ὁτε μιν κρατερος παϊς Αμφιτρυωνος,
Δεξιτερον κατα μαζον, οϊστῳ τριγλωχινι
Βεβληκει· τοτε κεν μιν ανηκεστον ϝλαβεν αλγος.
Τλη δ' Αϝιδης εν τοισι πελωριος ωκυν οϊστον,
Ευτε μιν αυτος ανηρ, υἱος Διος αιγιοχοιο,
Εν Πυλῳ εν νεκυεσσι βαλων, οδυνῃσιν εδωκεν.
Αυταρ ὁ βη προς δωμα Διος και μακρον Ολυμπον,
Κῆρ αχεων, οδυνῃσι πεπαρμενος· αυταρ οϊστος
Ωμῳ ενι στιβαρῳ ηληλατο, κηδε δε θυμον·

385. ὁτε δη ϝ' Ωτος. quando revera eum Otus: Vulgò, ὁτε μιν Ωτος, contra metrum. Knightius versus viginti damnat.

387. Χαλκεῳ δ' εν κεραμῳ. In aheneo verò carcere: Ita, turris ahenea. Horat.

388. απολοιτ' Αϝρης, αϝατος πολεμοιο. periisset Mars, clades belli: Vulgo, απολοιτο Αρης, ἆτος πολεμοιο. αϝατος, ab αϝαω, idem ac Αϝατη in feminino valet; vulgò pro αατος sumitur, quod interpretes, insatiabilis, vertunt.

389. μητρυιη. noverca: nempe Oti et Ephialtæ, quorum mater Iphimedea.

390. Ἑρμειᾳ ηγγειλεν. Mercurio nunciâsset: Vulgò, Ερμεᾳ εξηγγειλεν, quarum vocum neutra in Homero occurrit; MS. unus Ἑρμειᾳ habet.

394. τοτε κεν μιν. tunc tum eam: τοτε tempus denotat, κεν sequelam; Heynius, cum MSS. nonnullis, τοτε και μιν emendavit; si quid mutandum, τοτε δη μιν mallem.

Τῳ δ' επι Παιηων οδυνηφατα φαρμακα πασσων,
Ηκεσατ'· ου μεν γαρ τι καταθνητος γ' ετετυκτο.
Σχετλιος, οβριμοϝεργος, ὁς ουκ οθετ' αισυλα ϝρεζων,
Ὁς τοξοισιν εκηδε Θεους, οἱ Ολυμπον εχουσι.
Σοι δ' επι τουτον ανηκε Θεα γλαυκωπις Αθηνη·
Νηπιος, ουδε το ϝοιδε κατα φρενα Τυδεος υἱος,
Ὁϝρα μαλ' ου δηναιος, ὁς αθανατοισι μαχοιτο,
Ουδε τι μιν παιδες ποτι γουνασι παππαζουσιν,
Ελθοντ' εκ πολεμοιο και αινης δηϊοτητος.
Τῳ νυν Τυδεϊδης, ει και μαλα καρτερος εστι,
Φραζεσθω, μη τις ϝοι αμεινων σειο μαχηται·
Μη δην Αιγιαλεια, περιφρων Αδρηστινη,
Εξ ὑπνου γοοωσα φιλους ϝοικηας εγειρῃ,
Κουριδιον ποθεουσα ποσιν, τον αριστον Αχαιων,
Ιφθιμη αλοχος Διομηδεος ἱπποδαμοιο.
Η ϝρα, και αμφοτερῃσιν απ' ιχωρ χειρος ομοργνυ·
Αλθετο χειρ, οδυναι δε κατηπιοωντο βαρειαι.
Αἱ δ' αυτ' εισορωσαι Αθηναιη τε και Ἡρη,
Κερτομιοις ϝεπεεσσι Δια Κρονιδην ερεθιζον.
Τοισι δε μυθων ηρχε Θεα γλαυκωπις Αθηνη·
Ζευ πατερ, η ϝρα τι μοι κεχολωσεαι, ὁ ϝρα κε ϝειπω;
Η μαλα δη τινα Κυπρις Αχαιϊαδων ανιεισα
Τρωσιν ἁμ' ἑσπεσθαι, τους νυν εκπαγλ' εφιλησε,
Των τινα καϝρεζουσ' αρ Αχαιϊαδων εϋπεπλων,
Προς χρυσεῃ περονῃ καταμυξατο χειρα ϝαραιην.

---

396. Ευτε μιν αυτος ανηρ. Quando eum ille vir: Alii, ὡυτος, alii, ωυτος.

397. Εν Πυλῳ εν νεκυεσσι. In Pylo inter mortuos: Quando Hercules Pylum expugnavit, Neleique filios omnes præter absentem Nestorem interfecit, eis auxilio venerant Juno et Pluto.

407. μαχοιτο. pugnaret: Ita MSS. plerique et Edd. alii cum Ed. Pr. μαχηται· vide A. 60.

412. Μη δην. Knightius quatuor versus damnat, ut et 453, 462.

416. απ' ιχωρ χειρος ομοργνυ. ichor a manu tersit: Alii, ιχω, alii, χερσιν.

421. ὁ ϝρα κε ϝειπω. quod sanè tum dicam: Vulgò, ὁ,ττι· vide A. 294.

424. Των τινα καϝρεζουσ' αρ Αχαιϊαδων. Eorum aliquam palpans sanè Achivarum: ita Bentleius; repetitio enim nexum postulat; vulgò, particula omittitur, hiatu ingrato.

425. χειρα ϝαραιην. manum exilem: λεπτην, Hesychius. Ϝαραιος in tribus locis digamma postulat, in uno admittit.

Ὡς φατο· ϝμειδησεν δε πατηρ ανδρων τε Θεων τε,
Και ϝρα καλεσσαμενος προσεφη χρυσεην Αφροδιτην·
Ου τοι, τεκνον εμον, δεδοται πολεμηϊα ϝεργα·
Αλλα συγ᾽ ἱμεροεντα μετερχεο ϝεργα γαμοιο,
Ταυτα δ᾽ Αϝρηϊ θοῳ και Αθηνῃ παντα μελησει.
Ὡς οἱ μεν τοιαυτα προς αλληλους αγορευον.
Αινειᾳ δ᾽ επορουσε βοην αγαθος Διομηδης,
Γιγνωσκων ὁ ϝοι αυτος ὑπειρεχε χειρας Απολλων·
Αλλ᾽ ὁγ᾽ αρ ουδε Θεον ϝμεγαν ἁζετο· ϝιετο δ᾽ αιει
Αινειαν κτειναι, και απο κλυτα τευχεα δυσαι.
Τρις μεν επειτ᾽ επορουσε, κατακταμεναι μενεαινων,
Τρις δε ϝοι εστυφελιξε φαεινην ασπιδ᾽ Απολλων·
Αλλ᾽ ὁτε δη το τεταρτον επεϝσυτο, δαιμονι ϝισος,
Δεινα ϝ᾽ ὁμοκλησας προσεφη ἑκαϝεργος Απολλων·
Φραζεο, Τυδεϊδη, και χαζεο, μηδε Θεοισιν
Ϝισ᾽ εθελε φρονεειν· επει ουποτε φυλον ὁμοιον
Αθανατων τε Θεων, χαμαι ερχομενων τ᾽ ανθρωπων.
Ὡς φατο· Τυδεϊδης δ᾽ ανεχαζετο τυτθον οπισσω,
Μηνιν αλευαμενος ἑκατηβολου Απολλωνος.
Αινειαν δ᾽ απατερθεν ὁμιλου θηκεν Απολλων,
Περγαμῳ ειν ἱερῃ, ὁθι ϝοι νηος γ᾽ ετετυκτο·
Ητοι τον Λητω τε, και Αρτεμις ιοχεαιρα,
Εν ϝμεγαλῳ αδυτῳ ακεοντο τε κυδαινον τε.

---

437. Τρις δε ϝοι εστυφελιξε. Ter verò ei concussit splendidum scutum Apollo: id est, Apollo manu scutum Diomedis concussit; ea enim est verbi vis. Alio quidem tempore Apollo Jovis Ægidem portat.

439. ϝε. eum: Ita Β. 22, et passim; vulgò, δε.

451. Αμφι δε ϝειδωλῳ. Circum verò imaginem: Vulgò, Αμφι δ᾽ αρ ειδωλῳ ϝειδωλον tamen digamma postulat, Ε. 449, Ψ. 72, 104.

453. λαισηϊα. scuta leviora, ex pellibus hirsutis confecta. Knightius tamen vocem et versum damnat.

461. Τρωας δ᾽ αυτιχα ϝουλος Αϝρης. Trojanos verò statim turbidus Mars: MSS. Τρωας δε στιχας ουλος Αρης, quod Scholiastes exponit, Τρωας στρατον στιχας μετελθων· quod cùm durum sit, tres litteras mutavi. Potuit etiam, θουρος, scripsisse. Alii, Τρωων δε στιχας, emendant. Vide Β. 6.

462. θοῳ ἡγητορι λαων. alacri duci populorum: sic, πολεων ἡγητορα λαων, Υ. 383; κοσμητορε λαων, Α. 16; et, ποιμενι λαων, passim. Vulgò, Θρηκων, legitur, sed hic non ille Thracum dux erat, sed Antenoris filius, Æneas

Αυταρ ὁ ϝειδωλον τευξ' αργυροτοξος Απολλων,
Αυτῳ τ' Αινειᾳ ϝικελον και τευχεσι τοιον·
Αμφι δε ϝειδωλῳ Τρωες και διοι Αχαιοι
Δαιουν αλληλων αμφι στηθεσσι βοειας
Ασπιδας ευκυκλους, λαισηϊα τε πτεροεντα.
Δη τοτε θουρον Αϝρηα προσηυδα Φοιβος Απολλων·
Αϝρες, Αϝρες, βροτολοιγε, μιαιφονε, τειχεσιπλητα,
Ου κεν δη τονδ' ανδρα μαχης ϝερυσαιο μετελθων,
Τυδεϊδην, ὁς νυν και κεν Διϊ πατρι μαχοιτο;
Κυπριδα μεν πρωτον σχεδον ουτασε χειρ' επι καρπῳ,
Αυταρ επειτ' αυτῳ μοι επεϝσυτο, δαιμονι ϝισος.
Ὡς ϝειπων, αυτος μεν εφεζετο Περγαμῳ ακρῃ.
Τρωας δ' αυτιχα ϝουλος Αϝρης ωτρυνε μετελθων,
Ϝειδομενος Ακαμαντι, θοῳ ἡγητορι λαων·
Υἱασι δε Πριαμοιο Διοτρεφεεσσι κελευεν·
Ω υἱες Πριαμοιο, Διοτρεφεος βασιληος,
Τιπτε δ' ετι κτεινεσθαι εϝασετε λαον Αχαιοις,
Εισοκεν αμφι πυλης ευ ποιητησι μαχωνται;
Κειται ανηρ, ὁν ϝισον ετιομεν Ἑκτορι διῳ,
Αινειας, υἱος ϝμεγαλητορος Αγχισαο·
Αλλ' αγετ', εκ φλοισβοιο σαωσομεν εσθλον ἑταϝρον.
Ὡς ϝειπων, ωτρυνε μενος και θυμον ἁπαντων.
Ενθ' αυ Σαρπηδων μαλα νεικεσεν Ἑκτορα διον·

---

comes, quem ejus curam habere oportuit; Β. 823. Θραϊκων insuper tres syllabas haberet; Β. 595.

465. Τιπτε δ' ετι. Quare verò jam cædi sinetis populum Achivis, Donec circum portas bene factas pugnent? Vulgò, Ες τι ετι· sed forma Homerica est τιπτε. Vulgò etiam in versu sequenti, Η εισοκεν, legitur, contra metrum, et sententia in duas frangitur.

467. ὁν ϝισον. quem parem: Vulgò, ὁν τ' ισον.

470. ωτρυνε μενος και θυμον ἁπαντων. excitavit robur et animum omnium: sic, φοβον ἡκεν ἁπασιν, Π. 291. Versus decies occurrit, et vulgò ἑκαστου legitur, quod in digamma peccat; Β. 127. In promptu est cum Bentleio, θυμον τε ϝεκαστου, emendare, sed minus placet, et vocis synonymæ substitutio locis aliis duodecim medetur; vide Ι. 88, Κ. 388, Ο. 288, 505, Τ. 302, 332, Ψ. 55, 107, 370, Ω. 1. Criticum quendam offendisse videtur plurale cum singulari junctum; quod tamen passim manet, ubi difficilior fuisset mutatio; ut in, Πασιν ορινθη θυμος, Ε. 29, et, Πασιν θυμον ορινε, Β. 143. Quo facilius remedium, eo facilior in errorem lapsus.

῾Εκτορ, πη δη τοι μενος οιχεται, ὁ πριν εχεσκες;
Φης που ατερ λαων πολιν ἑξεμεν ηδ᾽ επικουρων,
Οιος συν γαμβροισι κασιγνητοισι τε σοισι·
Των νυν ουτιν᾽ εγω ϝιδεειν δυναμ᾽, ουδε νοησαι,
Αλλα καταπτωσσουσι, κυνες ὡς αμφι λεοντα.
῾Ημεις δ᾽ αυ μαχομεσθ᾽, ὁι περ τ᾽ επικουροι ενειμεν·
Και γαρ εγων, επικουρος εων, μαλα τηλοθεν ἡκω·
Τηλου γαρ Λυκιη, Ξανθῳ επι δινηεντι,
Ενθ᾽ αλοχον τε φιλην ελιπον και νηπιον υἱον,
Καδδε κτηματα πολλ᾽, ἁ τ᾽ εϝελδεται, ὁς κ᾽ επιδευης.
Αλλα και ὡς Λυκιους οτρυνω, και μεμον᾽ αυτος
Ανδρι μαχεσσασθαι· αϝαρ ουτι μοι ενθαδε τοιον,
Οἱον κ᾽ ηε φεροιεν Αχαιοι, η κεν αγοιεν·
Τυνη δ᾽ ἑστηκας· αϝαρ ουδ᾽ αλλοισι κελευεις
Λαοισιν μενεμεν, και αμυνεμεναι οαρεσσι.
Μη πως, ὡς αψισι λεοντε ϝαλοντε παναγρου,
Ανδρασι δυσμενεεσσι ϝελωρ και κυρμα γενησθε·
Οἱ δε ταχ᾽ εκπερσουσ᾽ ευναιομενην πολιν ὑμην.
Σοι δε χρη ταδε παντα μελειν νυκτας τε και ημαρ,
Αρχους ϝλισσομενῳ τηλεκλεϊτων επικουρων
Νωλεμεως εχεμεν, κρατερην δ᾽ αποθεσθαι ενιπην.
῾Ως φατο Σαρπηδων· δακε δε φρενας ῾Εκτορι μυθος·

---

478. Και γαρ εγων. Knightius quindecim versus damnat.

481. ἁ τ᾽ εϝελδεται. quæ optat, quicunque indigens: Vulgò, τα τ᾽ ελδεται· hæc tamen forma non alibi occurrit, nisi Ψ. 122, Od. Ψ. 6.

482. και μεμον᾽ αυτος. et in mente habeo ipse: perfectum medium a μενω, quanquam sensum diversum obtineat.

486. οαρεσσι. conjugibus: Vulgò, ωρεσσι· sed locus ipse formam solutam postulat.

487. ὡς αψισι λεοντε ϝαλοντε παναγρου. ut nexibus duo leones capti retis: Vulgò, ὡς αψισι λινου ἁλοντε παναγρου, quod et in metrum et in grammaticam peccat. Bentleius, παναγροιο ϝαλοντες, emendavit, quod Heynius laudat; metrum quidem salvum ita evadit, sed dubito, ut, ὡς ϝαλοντες, dici possit; usitatius est, ὡς ει ϝαλοντες· Β. 780, Ε. 374, Λ. 467. In mentem venit, εϝαλωτε, emendare, sed tum etiam ὡς ει postularetur; λεοντε igitur subtitui pro λινου, quod non alibi nisi filum significat. Mos est duobus leonibus insimul incedere, et Homerus passim ita fingit, ut, ὡς τε λεοντε δυω, Κ. 295, Ε. 554, Σ. 597, Ν. 198. Nugatur Clarkius, qui dualem poni censet, quod de Hectore et populo suo sermo sit.

Αυτικα δ' εξ οχεων συν τευχεσιν αλτο χαμαζε·
Παλλων δ' οξεα δουρα, κατα στρατον ῳχετο παντη,
Οτρυνων μαχεσασθαι· εγειρε δε φυλοπιν αινην·
Οἱ δ' εϝελιχθησαν, και εναντιοι εσταν Αχαιων·
Αργειοι δ' ὑπεμειναν αολλεες, ουδ' εφοβηθεν.
  Ὡς δ' ανεμος αχνας φορεει ἱερας κατ' αλωας,
Ανδρων λικμωντων, ὁτε κε ξανθη Δημητηρ
Κρινει επειγομενων ανεμων καρπον τε, και αχνας·
Αἱ δ' ὑπολευκαινονται αχυρμιαι· ὡς τοτ' Αχαιοι
Λευκοι ὑπερθε γενοντο κονισαλῳ, ὁν ϝρα δι' αυτων
Ουρανον ες πολυχαλκον επεπληγον ποδες ἱππων,
Αψ επιμισγομενων· ὑπο δ' εστρεφον ἡνιοχηες.
Οἱ δε μενος χειρων ιθυς φερον· αμφι δε νυκτα
Θουρος Αϝρης εκαλυψε μαχῃ, Τρωεσσιν αρηγων,
Παντοσ' εποιχομενος· του δ' εκραιαινεν εφετμας
Φοιβου Απολλωνος χρυσαορου, ὁς μιν ανωγει
Τρωσιν θυμον εγειραι, επει ϝιδε Παλλαδ' Αθηνην
Οιχομενην· ἡ γεϝρα πελεν Δαναοισιν αρηγων.
Αυτος δ' Αινειαν μαλα πιονος εξ αδυτοιο
Ἡκε, και εν στηθεσσι μενος βαλε ποιμενι λαων.
  Αινειας δ' ἑταϝροισι μεθιστατο· τοι δ' εχαρησαν,
Ὡς ϝ' εϝιδον ζωον τε και αρτεμεα προσιοντα,

---

491. τηλεκλεϊτων επικουρων. procul celebrium sociorum: Edd. et MSS. plerique, τηλεκλειτων· alii cum MSS. nonnullis, τηλεκλητων, e longinquo vocatorum, quod mihi multò languidius videtur. Proculdubio est τηλεκλεϊτος, Ξ. 321, Od. λ. 307, τ. 546, et τηλεκλυτος legitur, Τ. 400, Od. α. 30; ita, αγακλεϊτων επικουρων, Μ. 101.

492. κρατερην δ' αποθεσθαι ενιπην. fortem verò deponere increpationem: id est, a te removere, ut rectè Barnesius; alii ad socios referunt.

497. οἱ δ' εϝελιχθησαν. Illi verò convertebantur: a ϝελισσω. Vulgò, ελελιχθησαν.

500. ὁτε κε. quando: Vulgò, ὁτε τε. Alii, Κρινῃ. Vide Β. 471.

504. επεπληγον. feriebant: a πεπληγω, novo verbo a perfecto medio orto. Ita πεπληγετο, Μ. 162, et sic κεκληγοντες, Μ. 125.

506. και ϝιφια μηλα. et fortes oves: Ϝιφια in sex locis digamma postulat.

515. Ὡς ϝ' εϝιδον. Ut illum viderunt: vulgò, Ὡς ειδον· sed pronomen desideratur.

Και μενος εσθλον εχοντα· μεταλλησαν γε μεν ουτι·
Ου γαρ εϝα πονος αλλος, ὁν Αργυροτοξος εγειρεν,
Αϝρης τε βροτολοιγος, Ερις τ᾽ αμοτον μεμαυια.
Τους δ᾽ Αιαντε δυω, και Οδυσσευς, και Διομηδης,
Ωτρυνον Δαναους πολεμιζεμεν· οἱ δε και αυτοι
Ουτε βιας Τρωων ὑπεδειδισαν, ουτ᾽ αρ ιωχας·
Αλλ᾽ εμενον, ϝνεφεληϲι ϝεϝοικοτες, ἁς τε Κρονιων
Νηνεμιης εστησεν επ᾽ ακροπολοισιν ορεσσιν,
Ατρεμας, ὀϝρ᾽ εὑδησι μενος Βοϝραο, και αλλων
Ζαχρειων ανεμων, οἱ τε ϝνεφεα σκιοεντα
Πνοιῃσι ϝλιγυρῃσι διασκιδνασιν αεντες·
Ὡς Δαναοι Τρωας μενον εμπεδον, ουδ᾽ εφεβοντο.
Ατρεϊδης δ᾽ αν᾽ ὁμιλον εφοιτα, πολλα κελευων·
Ω φιλοι, ανερες εστε, και αλκιμον ητορ εϝλεσθε,
Αλληλους τ᾽ αιδεισθε κατα κρατερας ὑσμινας·
Αιδομενων τ᾽ ανδρων πλεονες σαοι, ηε πεφανται·
Φευγοντων δ᾽ ουτ᾽ αρ κλεος ορνυται, ουτε τις αλκη.
Η, και ακοντισε δουρι θοως· βαλε δε προμον ανδρα,
Αινειεω ἑταϝρον ϝμεγαθυμου, Δηϊκοωντα
Περγασιδην, ὁν Τρωες ὁμως Πριαμοιο τεκεσσι
Τιον, επει θοος εσκε μετα πρωτοισι μαχεσθαι·
Τον ϝρα κατ᾽ ασπιδα δουρι βαλε κρειων Αγαμεμνων·
Ἡ δ᾽ ουκ εγχος εϝρυτο, δια προ δε ϝισατο και της·
Νειαιρῃ δ᾽ εν γαστρι δια ζωστηρος ελασσε·
Δουπησεν δε πεσων, αραβησε δε τευχε᾽ επ᾽ αυτῳ.
Ενθ᾽ αυτ᾽ Αινειας Δαναων ϝελεν ανδρας αριστους,

---

516. μεταλλησαν γε μεν ουτι. interrogati sunt enim nihil: Β. 703.

521. ουτ᾽ αρ ιωχας. neque sanè clamores: Vulgò, ουτε ιωκας· satius duxi ιωχας scribere ob cognatas voces ιαχη, et ιωχμος· vide Δ. 456, Ε. 740, Λ. 600. Litteræ χ et κ sæpe permutantur. Bentleius ϝιωκας voluit, sed rejicit analogia.

524. Βοϝραο. Boreæ: Vulgò, Βορεαο· Hesychius tamen Βοῤῥας, et Porphyrius aliique Βοῤῥης, habent, quod Βοϝρης esset, et metrum hanc formam in duobus locis postulat, Ι. 5, Ψ. 195, et in omnibus admittit.

542. Κρηθων᾽ Ορσιλοχον τε, Διοκλεεος δυο παιδε· Sic, Ασκληπιοφιν δυο παι

Κρηθων᾽ Ορσιλοχον τε, Διοκλεεος δυο παιδε·
Των ϝρα πατηρ μεν εναιεν εϋκτιμενῃ ενι Φηρῃ,
Αφνειος βιοτοιο· γενος δ᾽ ην εκ ποταμοιο
Αλφειου, ὁς τ᾽ ευρυ ϝρεει Πυλιων δια γαιης.
Ὁς τεκετ᾽ Ορσιλοχον πολεεσσ᾽ ανδρεσσι ϝανακτα·
Ορσιλοχος δ᾽ αρ ετικτε Διοκλεεα ϝμεγαθυμον·
Εκ δε Διοκλεεος διδυμαονε παιδε γενεσθην,
Κρηθων Ορσιλοχος τε, μαχης ευ ϝειδοτε πασης.
Τω μεν αρ ἡβησαντε, μελαιναων επι νηων,
Ϝιλιον εις ευπωλον ἁμ᾽ Αργειοισιν ἑπεσθην,
Τιμην Ατρεϊδῃς, Αγαμεμνονι και Μενελαῳ,
Αρνυμενω· τω δ᾽ αυθι τελος θανατοιο καλυψεν.
Οἱω τωγε λεοντε δυω ορεος κορυφῃσιν
Ετραφετην ὑπο μητρι, βαθειης ταρφεσιν ὑλης·
Τω μεν αρ ἁρπαζοντε βοας και ϝιφια μηλα
Σταθμους ανθρωπων κεραιζετον, ὁϝρα και αυτω
Ανδρων εν παλαμῃσι κατεκταθεν οξεϊ χαλκῳ·
Τοιω τω χειρεσσιν ὑπ᾽ Αινειαο δαμεντε
Καππεσετην, ελατῃσι ϝεϝοικοτες ὑψηλῃσι.
Τω δε πεσοντ᾽ ελεησε βοην αγαθος Μενελαος·
Βη δε δια προμαχων, κεκορυθμενος αιθοπι χαλκῳ,
Ϝσειων εγχειην· του δ᾽ ωτρυνεν μενος Αϝρης,
Τα φρονεων, ἱνα χερσιν ὑπ᾽ Αινειαο δαμειη.
Τον δε ϝιδ᾽ Αντιλοχος ϝμεγαθυμου Νεστορος υἱος·
Βη δε δια προμαχων· περι γαρ διε ποιμενι λαων,
Μη τι παθῃ, σφεας δε ϝμεγ᾽ αποσφηλειε πονοιο.

B. 731, et Πατροκλεες, A. 337, et vide E. 548. Vulgò, Υἱε Διοκληος, Κρηθωνα τε Ορσιλοχον τε, contra metrum. Knightius versum omittit.

555. Ετραφετην. Nutriti sunt: Aoristus secundus a τρεφω. Ita τραφεμεν sensum neutralem obtinet, H. 199, N. 433 n, Σ. 436, et confer B. 661, Φ. 279, Ψ. 348; τρεφω tamen, et εθρεψα sensum semper activum habent; forsitan igitur, Τετροφατον, vel, ὑπο μητρι τραφητην Ουρεος εν κορυφῃσι, legere oportet.

567. σφεας δε ϝμεγ᾽ αποσφηλειε πονοιο. eos verò valde excidere faceret labore: Vulgò, μεγα δε σφεας· sed σφεας non alibi una syllaba est brevis. Alii σφας scribunt, sed nusquam occurrit. Knightius versum damnat, ut et 589, 645.

Τω μεν δη χειρας τε, και εγχεα παμφανοωντα,
Αντιον αλληλων εχετην, μεμαωτε μαχεσθαι.
Αντιλοχος δε μαλ' αγχι παριστατο ποιμενι λαων.
Αινειας δ' ου μεινε, θοος περ εων πολεμιστης,
Ὡς εϝιδεν δυο φωτε παρ' αλληλοισι μενοντε.
Οἱ δ' επει ουν νεκρους ϝερυσαν μετα λαον Αχαιων,
Τω μεν αρα δειλω βαλετην εν χερσιν ἑταϝρων·
Αυτω δε στρεφθεντε μετα πρωτοισι μαχεσθην.
  Ενθα Πυλαιμενεα ϝελετην, αταλαντον Αϝρηϊ,
Αρχον Παφλαγονων ϝμεγαθυμων ασπισταων.
Τον μεν αρ Ατρεϊδης δουρικλειτος Μενελαος
Ἑσταοτ' εγχεϊ νυξε, κατα κληϊδα τυχησας·
Αντιλοχος δε Μυδωνα βαλ' ἡνιοχον θεραποντα,
Εσθλον Ατυμνιαδην, ὁ δ' ὑπεστρεφε μωνυχας ἱππους,
Χερμαδιῳ αγκωνα τυχων μεσον· εκ δ' αρα χειρων
Ἡνια λευκ' ελεφαντι χαμαι πεσον εν κονιηθιν.
Αντιλοχος δ' αρ επαϊξας ξιφει ηλασε κορσην·
Αυταρ ὁγ' ασθμαινων ευϝεργεος εκπεσε διφρου,
Κυμβαχος εν κονιηθιν επι βρεχμον τε και ωμους.
Δηθα μαλ' ἑστηκει, τυχε γαρ ψαμαθοιο βαθειης,
Ὀϝρ' ἱππω πληξαντε χαμαι βαλον εν κονιηθι·
Τους δ' ιϝμασ' Αντιλοχος, μετα δε στρατον ηλασ' Αχαιων.
  Τους δ' Ἑκτωρ ενοησε κατα στιχας, ωρτο δ' επ' αυτους
Κεκληγως· ἁμα δε Τρωων ἑσποντο φαλαγγες
Καρτεραι· ηρχε δ' αρα σφιν Αϝρης, και ποτνι' Ενυω·
Ἡ μεν εχουσα κυδοιμον αναιδεα δηϊοτητος·
Αϝρης δ' εν παλαμῃσι πελωριον εγχος ενωμα·

---

568. και εγχεα παμφανοωντα. et hastas resplendentes: sic Ε. 619, et, πανοψιον εγχος, Φ. 397, et, λαμπετο δουρος Αιχμη χαλκειη, Ζ. 319. Vulgò, και εγχεα οξυοεντα, contra metrum. Vide Ε. 50.

576. Ενθα Πυλαιμενεα ϝελετην. Tunc Pylæmenem interfecerunt: hinc constat ϝελον digamma accipere; Α. 137. Alter Pylæmenes inter Paphlagonas memoratur, Ν. 643, forsitan hujus pater, ut Barnesius conjicit.

586. Κυμβαχος. pronus: a κυπτω. επι βρεχμον. in sinciput:

597. απαλαμνος. inscitus: αμηχανος, Hesychius; vox non alibi occurrit.

Φοιτα δ' αλλοτε μεν προσθ' Ἑκτορος, αλλοτ' οπισθεν.
Τον δε ϝιδων ϝριγησε βοην αγαθος Διομηδης.
Ὡς δ' ὁτ' ανηρ απαλαμνος, ιων πολεος πεδιοιο,
Στειη επ' ωκυϝροῳ ποταμῳ ἁλαδε προϝρεοντι,
Αφρῳ μορμυροντα ϝιδων, ανα τ' εδραμ' οπισσω·
Ὡς τοτε Τυδεϊδης ανεχαζετο, ϝειπε τε λαῳ·
Ω φιλοι, οἱον δη θαυμαζομεν Ἑκτορα διον,
Αιχμητην τ' εμεναι, και θαρσαλεον πολεμιστην.
Τῳ δ' αιει παρα τις τε Θεων, ὁς λοιγον αμυνει·
Και νυν ϝοι παρα κεινος Αϝρης, βροτῳ ανδρι ϝεϝοικως.
Αλλα προς Τρωας τετραμμενοι αιεν οπισσω
Ϝεικετε, μηδε Θεοις μενεαινειν ϝιφι μαχεσθαι.
Ὡς αρ εφη· Τρωες δε μαλα σχεδον ηλυθον αυτων·
Ενθ' Ἑκτωρ δυο φωτε κατεκτανε, ϝειδοτε χαρμης,
Ειν ἑνι διφρῳ εοντε, Μενεσθην Αγχιαλον τε.
Τω δε πεσοντ' ελεησε ϝμεγας Τελαμωνιος Αιας·
Στη δε μαλ' εγγυς ιων, και ακοντισε δουρι φαεινῳ,
Και βαλεν Αμφιον Σελαγου ὑϊν, ὁς ϝρ' εν Απαισῳ
Ναιε πολυκτημων, πολυληϊος· αλλα ϝε ϝμοιρα
Ηγ' επικουρησοντα μετα Πριαμον τε και υἱας·
Τον ϝρα κατα ζωστηρα βαλεν Τελαμωνιος Αιας,
Νειαιρῃ δ' εν γαστρι παγη δολιχοσκιον εγχος·
Δουπησεν δε πεσων· ὁ δ' ἐπεδραμε φαιδιμος Αιας
Τευχεα συλησων· Τρωες δ' επι δουρατ' εχευαν
Οξεα, παμφανοωντα· σακος δ' ανεδεξατο πολλα.
Αυταρ ὁ λαξ προσβας εκ νεκρου χαλκεον εγχος
Εσπασατ'· ουδ' αρ ετ' αλλα δυνησατο τευχεα καλα

---

598. Στειῃ. Stet: Subjunctivus Ionicus ab εστην, Α. 26. Ita, στειομεν, Ο. 297; στεομεν, Λ. 348, Χ. 231; περιστειωσι, Ρ. 95. Hesychius quoque στειωμεν habet. Vulgò, Στηῃ in hoc loco legitur, sed eandem formam in omnibus servandam judicavi.

603. παρα τις τε Θεων. adest aliquis Deorum: Bentleius, τις γε· vulgò, εἱς γε.

606. μενεαινειν ϝιφι μαχεσθαι. velle fortiter pugnare: Vulgò, μενεαινεμεν, quod tantundem est; Bentleius, μενεαινετε.

612. εν Απαισῳ. Ita Β. 828; vulgò, ενι Παισῳ.

Ωμοιϊν απεϝλεσθαι· επειγετο γαρ βελεεσσι·
Δεισε δ' ὁγ' αμφιβασιν κρατερην Τρωων αγερωχων,
Οἱ πολλοι τε και εσθλοι εφεστασαν εγχε' εχοντες,
Οἱ ϝε, ϝμεγαν περ εοντα και ιφθιμον και αγαυον,
Ωσαν απο σφεοφιν· ὁ δε χασσαμενος πελεμιχθη.
  Ὡς οἱ μεν πονεοντο κατα κρατερην ὑσμινην.
Τληπολεμον δ' Ἡρακλεϊδην, ηϋν τε ϝμεγαν τε,
Ωρσεν επ' αντιθεῳ Σαρπηδονι ϝμοιρα κραταιη.
Οἱ δ' ὁτε δη σχεδον ησαν επ' αλληλοισιν ιοντες,
Υἱος θ' υἱωνος τε Διος ϝνεφεληγερεταο,
Τον και Τληπολεμος προτερος προς μυθον εϝειπε.
  Σαρπηδον, Λυκιων βουληφορε, τις τοι αναγκη
Πτωσσειν ενθαδ' εοντι μαχης αδαημονι φωτι;
Ψευδομενοι δε σε φασι Διος γονον αιγιοχοιο
Ειναι, επει πολλον κεινων επιδευεαι ανδρων,
Οἱ Διος εξεγενοντο μετα προτερων ανθρωπων·
Αλλοιον τινα φασι βιην Ἡρακλεεειην
Ειναι, εμον πατερα θρασυμεμνονα, θυμολεοντα;
Ὁς ποτε δευρ' ελθων, ἑνεχ' ἱππων Λαομεδοντος,
Ἑξ οιης συν νηυσι και ανδρασι παυροτεροισι,
Ϝιλιου εξαλαπαξε πολιν, χηρωσε δ' αγυιας.
Σοι δε κακος μεν θυμος, αποφθινυθουσι δε λαοι·
Ουδε τε σε Τρωεσσιν οϊομαι αλκαρ εσεσθαι,
Ελθοντ' εκ Λυκιης, ουδ' ει μαλα καρτερος εσσι,
Αλλ' ὑπ' εμου δμηθεντα πυλας Αϝιδαο περησειν.
  Τον δ' αυ Σαρπηδων, Λυκιων αγος, αντιον ηυδα·
Τληπολεμ', ητοι κεινος απωλεσε Ϝιλιον ἱρην,
Ανερος αφραδιῃσιν αγαυου Λαομεδοντος,
Ὁς ϝρα μιν ευ ϝερξαντα κακῳ ηνιπαπε μυθῳ,
Ουδ' απεδωχ' ἱππους, ὡν εἱνεκα τηλοθεν ηλθε.

---

637. μετα προτερων ανθρωπων. inter priores homines: Ita bene Heynius, qui citat N. 700; Vulgò, επι.

638. Αλλοιον τινα φασι. Alius generis virum dicunt: ita mihi scribendum videtur; alii, Αλλ' οἷον.

Σοι δ' εγω ενθαδε φημι φονον και κηρα μελαιναν
Εξ εμεθεν τευξεσθαι, εμῳ δ' ὑπο δουρι δαμεντα
Ευχος εμοι δωσειν, ψυχην δ' Αϝιδι κλυτοπωλῳ.
Ὡς φατο Σαρπηδων· ὁ δ' ανεσχετο ϝμειλινον εγχος
Τληπολεμος, και των μεν ὁμαρτη δουρατα μακρα
Εκ χειρων ηϊξαν· ὁ μεν βαλεν αυχενα μεσσον
Σαρπηδων, αιχμη δε διαμπερες ηλθ' αλεγεινη·
Τον δε κατ' οφθαλμων ερεβεννη νυξ εκαλυψε.
Τληπολεμος δ' αρα μηρον αριστερον εγχεϊ μακρῳ
Βεβληκει· αιχμη δε διεϝσυτο μαιμωωσα,
Οστεῳ εγχριμφθεισα· πατηρ δ' ετι λοιγον αμυνεν.
Οἱ μεν αρ αντιθεον Σαρπηδονα διοι ἑταϝροι
Εξεφερον πολεμοιο· βαρυνε δε μιν δορυ μακρον
Ἑλκομενον· το μεν ουτις επεφρασατ', ουδ' ενοησε,
Μηροθεν εκϝερυσαι δορυ ϝμειλινον, ὀϝρ' επιβαιη,
Σπευδοντων· τοιον γαρ εχον πονον αμφις ἑποντες.
Τληπολεμον δ' ἑτερωθεν εϋκνημιδες Αχαιοι
Εξεφερον πολεμοιο· νοησε δε διος Οδυσσευς,
Τλημονα θυμον εχων· μαιμησε δε ϝοι φιλον ητορ.
Μερμηριξε δ' επειτα κατα φρενα και κατα θυμον,
Η προτερω Διος υἱον εριγδουποιο διωκοι,
Η ὁγε των πλεονων Λυκιων απο θυμον εϝλοιτο·
Ουδ' αρ Οδυσσηϊ ϝμεγαλητορι ϝμορσιμον ηεν,
Ιφθιμον Διος υἱον αποκταμεν οξεϊ χαλκῳ.
Τῳ ϝρα κατα πληθυν Λυκιων τραπε θυμον Αθηνη.
Ενθ' ὁγε Κοιρανον εϝλεν, Αλαστορα τε, Χρομιον τε,
Αλκανδρον θ', Ἁλιον τε, Νοημονα τε, Πρυτανιν τε.
Και νυ κ' ετι πλεονας Λυκιων κτανε διος Οδυσσευς,
Ει μη αρ οξυ νοησε ϝμεγας κορυθαιολος Ἑκτωρ.
Βη δε δια προμαχων, κεκορυθμενος αιθοπι χαλκῳ,

---

639. θυμολεοντα. corde leonem: ut Ricardus, Angliæ rex. Hoc epitheton, non nisi Herculi, Achilli, et Ulyssi ab uxore Penelope, tribuitur.

655. ϝμειλινον. fraxineam: a ϝμελιη. Nusquam digamma aut postulat, aut rejicit, et nusquam primam corripit.

Δειμα φερων Δαναοισι· χαρη δ' αρα ϝοι Διος ὑιος
Σαρπηδων προσιοντι, ϝεπος δ' ολοφυδνον εϝειπε·
Πριαμιδη, μη δη με ϝελωρ Δαναοισιν εϝασῃς
Κειμενον, αλλ' επαμυνον· επειτα με και λιποι αιων
Εν πολει ὑμετερῃ· επει ουκ αρ εμελλον εγωγε,
Νοστησας ϝοικονδε, φιλην ες πατριδα γαιαν,
Ευφρανεειν αλοχον τε φιλην και νηπιον ὑιον.
Ὡς φατο· τον δ' ουτι προσεφη κορυθαιολος Ἑκτωρ,
Αλλα παρηΐξεν λελιημενος, ὁϝρα ταχιστα
Ωσαιτ' Αργειους, πολεων δ' απο θυμον εϝλοιτο.
Οἱ μεν αρ αντιθεον Σαρπηδονα διοι ἑταϝροι
Εἱσαν ὑπ' αιγιοχοιο Διος περικαλλεϊ φηγῳ·
Εκ δ' αρα ϝοι μηρου δορυ ϝμειλινον ωσε θυραζε
Ιφθιμος Πελαγων, ὁς ϝοι φιλος ηεν ἑταϝρος·
Τον δ' ελιπε ψυχη, κατα δ' οφθαλμων κεχυτ' αχλυς.
Αυτις δ' αμπνυνθη, περι δε πνοιη Βοϝραο
Ζωγρει επιπνειουσα κακως κεκαφηοτα θυμον.
Αργειοι δ' ὑπ' Αϝρηϊ και Ἑκτορι χαλκοκορυστῃ
Ουτε ποτε προτρεποντο μελαιναων επι νηων,
Ουτε ποτ' αντεφεροντο μαχῃ· αλλ' αιεν οπισσω
Χαζονθ', ὡς επυθοντο μετα Τρωεσσιν Αϝρηα.
Ενθα τινα πρωτον, τινα δ' ὑστατον εξεναριξεν
Ἑκτωρ τε Πριαμοιο παϊς και χαλκεος Αϝρης;

---

683. χαρη δ' αρα ϝοι Διος υἱος Σαρπηδων προσιοντι. gavisus verò sanè est eo Jovis filius Sarpedon adveniente: Ita Bentleius; vulgò, χαρη δ' αρα ὁ προσιοντι Σαρπηδων Διος υἱος· sed ϝεπος digamma postulat.

685. Κειμενον. Jacentem: ita P. 536. Vulgò, Κεισθαι· diphthongus tamen αι non alibi ante vocalem nisi in cæsurâ producitur.

698. Ζωγρει επιπνειουσα. Ad vitam revocavit inflans ægrè respirantem animum: Ζωγρεῖν alibi est, vivum capere, Z. 46. Forsan Εγρεν, vel Ηγει' legendum, ab εγειρω· εγρετο passim legitur, et εγειρε, O. 242. Pindarus εγερε habet. κεκαφηοτα, a καπτω· iterum occurrit, Od. ε. 468.

706. Αιτωλον, Ϝοινομαον τε. Ætolum, Ænomaumque: Vulgò, Αιτωλιον, sed Ϝοινομαος a ϝοινος fluit, et in duobus aliis locis digamma postulat.

708. Ὁς ϝρ' Ὑλῃ ναιεσκε. Qui sanè Hylâ habitabat: vel, Ὁς ϝρ' Ὑληϝε εναιε. Vulgò, Ὁς ῥ' εν Ὑλῃ. prima quidem iterum corripitur, H. 221, sed producitur, B. 500, et in ὑλη, sylva, semper. μεμηλως, curam agens: perfectum medium a μελω.

Αντιθεον Τευθραντ᾿, επι δε πληξιππον Ορεστην,
Τρηχον τ᾿ αιχμητην Αιτωλον, Ϝοινομαον τε,
Ϝοινοπιδην θ᾿ Ἑλενον, και Ορεσβιον αιολομιτρην,
Ὁς ϝρ᾿ Ὑλῃ ναιεσκε, ϝμεγα πλουτοιο μεμηλως,
Λιμνῃ κεκλιμενος Κηφισιδι· παρ δε ϝοι αλλοι
Ναιον Βοιωτοι, μαλα πιονα δημον εχοντες.
Τους δ᾿ ὡς ουν ενοησε Θεα λευκωλενος Ἡρη
Αργειους ολεκοντας ενι κρατερῃ ὑσμινῃ,
Αυτικ᾿ Αθηναιην ϝεπεα πτεροεντα προσηυδα·
  Ω ποποι, αιγιοχοιο Διος τεκος, Ατρυτωνη,
Η ϝρ᾿ ἁλιον τον μυθον ὑπεστημεν Μενελαῳ,
Ϝιλιον εκπερσαντ᾿ ευτειχεον απονεεσθαι,
Ει οὑτω μαινεσθαι εϝῶμεν ϝουλον Αϝρηα.
Αλλ᾿ αγε δη και νωϊ μεδωμεθα θουριδος αλκης.
  Ὡς εφατ᾿· ουδ᾿ απιθησε Θεα γλαυκωπις Αθηνη·
Ἡ μεν εποιχομενη χρυσαμπυκας εντυεν ἱππους
Ἡρη, πρεσβα Θεα, θυγατηρ ϝμεγαλοιο Κρονοιο.
Ἡβη δ᾿ αμφ᾿ οχεεσσι θοως βαλε καμπυλα κυκλα,
Χαλκει᾿, οκτακνημα, σιδηρεῳ αξονιν αμφις·
Των ητοι χρυσεη ϝιτυς αφθιτος, αυταρ ὑπερθεν
Χαλκε᾿ επισσωτρα, προσαρηροτα, θαυμα ϝιδεσθαι·
Πλημναι δ᾿ αργυρου εισι περιδρομοι αμφοτερωθεν·
Διφρος δε χρυσεοισι και αργυρεοισιν ιϝμασιν

---

717. εϝῶμεν ϝουλον Αϝρηα. sinimus turbidum Martem: Vulgò, εασομεν ουλον Αρηα· sed ουλος pro ολοος non videtur vox sana esse; vide Β. 6. Potuit etiam, θουρον, scripsisse.

721. πρεσβα. honoranda: pro πρεσβυτατη, vel πρεσβεια. Knightius hunc versum et 723 damnat.

722. Ἡβη δ᾿ αμφ᾿ οχεεσσι. Hebe verò circum currum citò jecit flexos orbes, *id est, rotas*, Æreos, octo radios habentes, ferreum axem circum; Eorum quidem aurea curvatura incorrupta; attamen super Ærei canthi, adaptati, mirum aspectu; Modioli verò argentei sunt rotundi utrinque, Currus verò aureis et argenteis loris Tenditur; *id est, pars sub pedibus;* duoque rotundi ambitus erant; *id est, currus pars superior;* Ex eoque argenteus temo erat; attamen ad extremum Ligavit aureum pulchrum jugum; lora vero jugalia Pulchra imposuit, aurea: Notabilis est currus descriptio; vide Δ. 297, Ω. 265.

Εντεταται· δοιαι δε περιδρομοι αντυγες εισι·
Του δ' εξ αργυρεος ϝρυμος πελεν· αυταρ επ' ακρῳ
Δησε χρυσειον καλον ζυγον, εν δε λεπαδνα
Καλ' εβαλε, χρυσει'· ὑπο δε ζυγον ηγαγεν Ἡρη
Ἱππους ωκυποδας, μεμαυι' εριδος και αϋτης.
Αυταρ Αθηναιη, κουρη Διος αιγιοχοιο,
Πεπλον μεν κατεχευεν εανον πατρος επ' ουδει,
Ποικιλον, ὁν ϝρ' αυτη ποιησατο και καμε χερσιν·
Ἡ δε, χιτων' ενδυσα Διος ϝνεφεληγερεταο,
Τευχεσιν ες πολεμον θωρησσετο δακρυοεντα.
Αμφι δ' αρ ωμοισιν βαλετ' αιγιδα θυσανοεσσαν,
Δεινην, ἡν περι μεν παντη Φοβος εστεφανωτο·
Εν δ' Ερις, εν δ' Αλκη, εν δε κρυοεσσα τ' Ιωχη·
Εν δε τε Γοργειη κεφαλη δεινοιο πελωρου,
Δεινη τε, σμερδνη τε, Διος τερας αιγιοχοιο.
Κρατι δ' επ' αμφιφαλον κυνεην θετο τετραφαληρον,
Χρυσειην, ἑκατον πολιων πρυλεεσσ' αραρυιαν.
Ες δ' οχεα φλογεα ποσι βησατο· λαζετο δ' εγχος
Βριθυ, ϝμεγα, στιβαρον, τῳ δαμνησι στιχας ανδρων
Ἡρωων, τοισιν τε κοτεσσεται οβριμοπατρη.
Ἡρη δε ϝμαστιγι θοως επεμαιετ' αρ ἱππους.
Αυτομαται δε πυλαι μυκον ουρανου, ἁς εχον Ὡραι,

---

729. ϝρυμος. temo: a ϝερυω, digamma postulat; in sex locis occurrit.

734. Πεπλον μεν κατεχευεν εανον. Pallium quidem dejecit tenue: suum nempe, ut Ulysses, Β. 183. Currus quidem pallio tegebantur; Ε. 194. εανος. tenuis: alia est vox a ϝεανος, vestis; Γ. 385.

735. ὁν ϝρ' αυτη. quas illi læta laborum
Ipsa suis quondam manibus Sidonia Dido
Fecerat, et tenui telas discreverat auro. Æn. xi. 73.

738. αιγιδα θυσανοεσσαν. ægidem fimbriatam: Β. 447. Prima in θυσανοεις necessitate producitur, ut in Διογενης, Α. 337. Barnesius θυσσανοεσσαν induxit ad quantitatem indicandam.

Ægidaque horrificam, turbatæ Palladis arma. Æn. viii. 435.

740. εν δε κρυοεσσα τ' Ιωχη. inerat verò atroxque Clamor: Vulgò, κρυοεσσα Ιωκη. Vide Ε. 521.

tristesque ex æthere Diræ,
Et scissâ gaudens vadit Discordia pallâ,
Quam cum sanguineo sequitur Bellona flagello. Æn. viii. 701.

Της επιτετραπται ϝμεγας ουρανος, Ουλυμπος τε,
Ημεν ανακλιναι πυκινον ϝνεφος, ηδ' επιθειναι.
Τῃ ϝρα δι' αυταων κεντρηνεκεας εχον ἱππους·
Εὑρον δε Κρονιωνα, Θεων ατερ ἡμενον αλλων,
Ακροτατῃ κορυφῃ πολυδειραδος Ουλυμποιο.
Ενθ' ἱππους στησασα Θεα λευκωλενος Ἡρη
Ζην' ὑπατον Κρονιδην εξηϝρετο, και προσεϝειπε.
Ζευ πατερ, ου νεμεσιζῃ, ὁρῶν ταδε καρτερα ϝεργα,
Ὁσσον τε ϝρα και οἱον απωλεσε λαον Αχαιων
Μαψ, αϝαρ ου κατα κοσμον; εμοι δ' αχος· οἱ δε ϝεκηλοι
Τερπονται Κυπρις τε και αργυροτοξος Απολλων,
Αφρονα τουτον ανεντες, ὁς ουτινα ϝοιδε θεμιστα.
Ζευ πατερ, η ϝρα τι μοι κεχολωσεαι, αι κεν Αϝρηα
Λυγρως πεπληγυια μαχης εξ αποδιωμαι;
Την δ' απαμειβομενος προσεφη ϝνεφεληγερετα Ζευς·
Αγρει μαν ϝοι επορσον Αθηναιην αγελαιην,
Ἡ ϝε μαλιστ' ειωθε κακης οδυνῃσι πελαζειν.
Ὡς εφατ'· ουδ' απιθησε Θεα λευκωλενος Ἡρη·
Ϝμαστιξεν δ' ἱππους· τω δ' ουκ αϝεκοντε πετεσθην
Μεσσηγυς γαιης τε και ουρανου αστεροεντος.
Ὁσσον δ' ηεροϝειδες ανηρ ϝιδεν οφθαλμοισιν,
Ἡμενος εν σκοπιῃ, λευσσων επι ϝοινοπα ποντον,

---

744. ἑκατον πολιων πρυλεεσσ' αραρυιαν. centum urbium peditibus aptam: vim infinitam Deorum indicat.

747. Ηρωων. Knightius versus damnat, 747, 750, 751, 758, 786, 808, 860, 861, 863.

757. ου νεμεσιζῃ, ὁρῶν ταδε καρτερα ϝεργα. non indignaris videns hæc fortia facta: MSS. Αρῃ, et Αρει exhibent; Αϝρηϊ tamen ita contrahi nequit. Apollonius etiam in Lexico, et duo MSS. ὁρῶν ταδε εργ' αϊδηλα, habent; vide E. 872.

758. Ὁσσον τε ϝρα και οἱον. Quantumque sanè et qualem: Vulgò, Ὁσσατιων τε και οἱον· ὁσσατιος tamen vox nihili est. Knightius ob hanc causam versum damnat; sed desiderari videtur.

759. οἱ δε ϝεκηλοι. illo verò otiosi: Vide A. 554.

769. Μεσσηγυς. terras inter cœlumque, legebat
Littus arenosum Libyæ, ventosque secabat. Æn. iv. 256.

770. Ὁσσον δ' ηεροϝειδες. Quantum verò obscurum: id est, ad extremum visûs terminum. Homerus semper Deorum vim amplificare studet, ut Longinus monuit. §. 9.

Τοσσον επι θρωσκουσι Θεων ὑψϝηχεες ἱπποι.
Αλλ' ὁτε δη Τροϊην ἱξαν, ποταμω τε ϝρεοντε,
Ἡχι ϝροας Σιμοεις συμβαλλετον ηδε Σκαμανδρος,
Ενθ' ἱππους εστησε Θεα λευκωλενος Ἡρη,
Λυσασ' εξ οχεων· περι δ' ηερα πολλον εχευε·
Τοισιν δ' αμβροσιην Σιμοεις ανετειλε νεμεσθαι.
 Αἱ δε βατην τρηρωσι πελειασιν ιθμαθ' ὁμοιαι,
Ανδρασιν Αργειοισιν αλεξεμεναι μεμαυιαι.
Αλλ' ὁτε δη ϝρ' ἱκανον, ὁθι πλειστοι και αριστοι
Ἑστασαν, αμφι βιην Διομηδεος ἱπποδαμοιο
Ϝειλομενοι, ϝλιεσσι ϝεϝοικοτες ωμοφαγοισιν,
Η συσι καπροισιν, των τε σθενος ουκ αλαπαδνον·
Ενθα στασ' ηϋσε Θεα λευκωλενος Ἡρη,
Στεντορι ϝεισαμενη ϝμεγαλητορι χαλκεοφωνῳ,
Ὁς τοσον αυδησασχ', ὁσον αλλοι πεντηκοντα·
 Αιδως, Αργειοι, κακ' ελεγχεα, ϝειδος αγητοι·
Ὀϝρα μεν ες πολεμον πωλεσκετο διος Αχιλλευς,
Ουδε ποτε Τρωες προ πυλαων Δαρδανιαων
Οιχνεσκον· κεινου γαρ εδειδισαν οβριμον εγχος·
Νυν δ' ἑκαθεν πολιος κοιλης επι νηυσι μαχονται.
 Ὡς ϝειπουσ', ωτρυνε μενος και θυμον ἁπαντων·

---

772. Τοσσον επι. Eousque: Γ. 12; vulgò præpositio cum verbo jungitur. ὑψϝηχεες. altè sonantes: credo, quia tonitru Deorum curruum sonitum fuisse censebatur. Alii, ὑψαυχενες, ut εριαυχενες, altis cervicibus.

773. Αλλ' ὁτε δη Τροϊην ἱξαν, ποταμω τε ϝρεοντε. Hinc constat urbem Trojam ad confluentem Simoentis et Scamandri positam fuisse; tria millia passuum a Græcorum castris distaret. Simois, hodie Shimar, inter urbem et Callicolonen fluebat; Υ. 51. Non nisi rivulus est, nec in æstate exercitui impedimento esset. Contrà Scamander, hodie Mender, fluvius magnus est, et, Idæ nivibus auctus, aquis semper abundat. Vadum quidem habet, sed periculosum, nec exercitus hoc unquam trajecisse videntur, licet Trojani multi a planitie fugati huc se receperint; Φ. 1. Confer Ζ. 4, Κ. 11, 428, Λ. 497, Υ. 216.

773. ἱξαν. venerunt: Ita Knightius, ut sit aoristus primus ab ἱκω: vulgò, ἱξον, pro quo grammatici novum verbum ἱξω fingunt. In quinque locis occurrit, et ἱξε in octo.

778. τρηρωσι πελειασιν ιθμαθ' ὁμοιαι. pavidis columbis ingressus similes:
 mox aere lapsa quieto
 Radit iter liquidum, celeres neque commovet alas. Æn. v. 216.

782. ϝλιεσσι. leonibus: a ϝλις, Λ. 239. Vulgò, λειουσι, sed λεων in

Τυδεΐδῃ δ' επορουσε Θεα γλαυκωπις Αθηνη·
Εὑρε δε τονγε ϝανακτα παρ' ἱπποισιν και οχεσσιν
Ἑλκος αναψυχοντα, το μιν βαλε Πανδαρος ιῳ·
Ἱδρως γαρ μιν ετειρεν ὑπο πλατεος τελαμωνος
Ασπιδος ευκυκλου· τῳ τειρετο, καμνε δε χειρα·
Αν δ' ισχων τελαμωνα, κελαϝνεφες αἱμ' απομοργνυ·
Ἱππειου δε Θεα ζυγου ἡψατο, φωνησεν τε·
Η ολιγον ϝοι παιδα ϝεϝοικοτα γεινατο Τυδευς·
Τυδευς τοι μικρος μεν εεν δεμας, αλλα μαχητης.
Και ϝρ' ὁτε περ μιν εγω πολεμιζειν ουκ ειϝασκον,
Ουδ' εκπαιφασσειν, ὁτε κ' ηλυθε νοσφιν Αχαιων
Αγγελος ες Θηβας, πολεας μετα Καδμεΐωνας.
Δαινυσθαι μιν ανωγον ενι ϝμεγαροισι ϝεκηλον.
Αυταρ ὁ θυμον εχων ϝον καρτερον, ὡς το παρος περ,
Κουρους Καδμειων προκαλιζετο· παντα δ' ενικα
Ϝρηΐδιως· τοιη ϝοι εγων επιταϝροθος ηα.
Σοι δ' ητοι μεν εγω παρα θ' ἱσταμαι, ηδε φυλασσω,
Και σε προφρονεως κελομαι Τρωεσσι μαχεσθαι·
Αλλα σευ η καματος πολυαΐξ γυια δεδυκεν,
Η νυ σε που δεος ισχει ακηριον· ου συγ' επειτα
Τυδεος εκγονος εσσι δαΐφρονος ἱπποδαμοιο.

---

nullo alio casu primam producit; formam igitur Æolicam admisi, quam Etym. Magn. et Schol. Ven. ad Λ. 480, Callimacho attribuunt.

791. Νυν δ' ἑκαθεν πολιος. Nunc verò longè ab urbe: sic Ν. 107, Π. 634, et alibi; Bentleius, Νυν δε ϝεκας, voluit. Vide Α. 14.

792. ἁπαντων. omnium: vulgò, ἑκαστου· vide Ε. 470.

801. Τυδευς τοι μικρος μεν. "Interim confert admirationi multùm etiam infirmitas; ut cùm Homerus Tydea parvum, sed bellatorem dicit fuisse." Quintilian. lib. iii. c. 7.

Ingentes animos angusto in pectore versant. Georg. iv. 83.
Ingenio pugnax, corpore parvus erat. Ovid.
Sed non et viribus impar
Tydea fert animum, totosque infusa per artus
Major in exiguo regnabat corpore virtus. Stat. Theb. lib. i.

803. εκπαιφασσειν. properare, strenuè agere: ita Β. 450.

808. τοιη ϝοι. talis ei: Alii, τοιη τοι.

812. ακηριον. secors: a κῆρ, cor.

813. δαΐφρονος ἱπποδαμοιο. bellicosi, equorum domitoris; ita rectè Bentleius, ut Δ. 370. Vulgò, Οινειδαο, quod in digamma peccat. Β. 641.

Την δ' απαμειβομενος προσεφη κρατερος Διομηδης·
Γινωσκω σε, Θεα, θυγατερ Διος αιγιοχοιο,
Τῳ τοι προφρονεως ϝερεω ϝεπος, ουδ' επικευσω·
Ουτε τι με δεος ισχει ακηριον, ουτε τις οκνος·
Αλλ' ετι σων μεμνημαι εφετμεων, ἁς επετειλας.
Ου μ' ειϝας μακαρεσσι Θεοις αντικρυ μαχεσθαι
Τοις αλλοις· αϝαρ ει κε Διος θυγατηρ Αφροδιτη
Ελθησ' ες πολεμον, τηνγ' ουταμεν οξεϊ χαλκῳ.
Τουνεκα νυν αυτος τ' αναχαζομαι, ηδε και αλλους
Αργειους εκελευσα ϝαλημεναι ενθαδε παντας·
Γινωσκω γαρ Αϝρηα μαχην ανα κοιρανεοντα.
Τον δ' ημειβετ' επειτα Θεα γλαυκωπις Αθηνη·
Τυδεϊδη Διομηδες, εμῳ κεχαρισμενε θυμῳ,
Μητε συγ' Αϝρηα τον δειδιθι, μητε τιν' αλλον
Αθανατων· τοιη τοι εγων επιταϝροθος ειμι.
Αλλ' αγ' επ' Αϝρηϊ πρωτῳ εχε μωνυχας ἱππους·
Τυψον δε σχεδιην, μηδ' ἁζεο θουρον Αϝρηα.
Τουτον μαινομενον, τυκτον κακον, αλλοπροσαλλον·
Ὁς πρωην μεν εμοι τε και Ἡρῃ στευτ' αγορευων,
Τρωσι μαχησεσθαι, αϝαρ Αργειοισιν αρηξειν·
Νυν δε μετα Τρωεσσιν ὁμιλεῖ, των δε λελασται.
Ὡς φαμενη, Σθενελον μεν αφ' ἱππων ωσε χαμαζε,
Χειρι παλιν ϝερυσασ'· ὁ δ' αρ εμμαπεως απορουσεν·
Ἡ δ' ες διφρον εβαινε παρα Διομηδεα διον
Εμμεμαυια Θεα· ϝμεγα δ' εβραχε φηγινος αξων

815. Γιγνωσκω σε, Θεα. Et nunc nequicquam fallis Dea. Æn. xii. 634.

817. Ουτε τι με δεος ισχει. Neque quid me timor retinet: Hinc constat litteram primam in δεος vim duplicem habere; vellem δρεος legere; vide A. 33.

823. ϝαλημεναι. cogi: Εϝαλην, aoristus secundus passivus a ϝειλεω, in duodecim locis digamma postulat, in tribus admittit; malè alii a ϝαλημι deducunt, cùm sensus semper passivus sit. Vide A. 409.

827. Μητε συγ' Αϝρηα τον δειδιθι. Neque tu quidem Martem hunc metue: ita Bentleius. Edd. Vett. τονδε, contra metrum. Male Barnesius, Αρη τονδε τι δειδιθι, cùm Αϝρηα penultimam non corripiat.

831. τυκτον κακον. creatum malum: verbale a τευχω.

Βριθοσυνῃ· δεινην γαρ αγεν Θεον, ανδρα τ' αριστον.
Λαζετο δε ϝμαστιγα και ἡνια Παλλας Αθηνη·
Αυτικ' επ' Αϝρηϊ πρωτῳ εχε μωνυχας ἱππους.
Ητοι ὁ μεν Περιφαντα πελωριον εξεναριζεν,
Αιτωλων οχ' αριστον, Οχησιου αγλαον υἱον·
Τον μεν Αϝρης εναριζε μιαιφονος· αυταρ Αθηνη
Δυν' Αϝιδος κυνεην, μη μιν ϝιδοι οβριμος Αϝρης.
Ὡς δε ϝιδε βροτολοιγος Αϝρης Διομηδεα διον,
Ητοι ὁ μεν Περιφαντα πελωριον αυτοθ' εϝασε
Κεισθαι, ὁθι πρωτον κτεινων εξαινυτο θυμον·
Αυταρ ὁ βη ϝρ' ιθυς Διομηδεος ἱπποδαμοιο.
Οἱ δ' ὁτε δη σχεδον ησαν επ' αλληλοισιν ιοντες,
Προσθεν Αϝρης ωρεξαθ' ὑπερ ζυγον ἡνια θ' ἱππων
Εγχεϊ χαλκειῳ, μεμαως απο θυμον ολεσσαι·
Και τογε χειρι ϝλαβουσα Θεα γλαυκωπις Αθηνη
Ωσεν ὑπ' εκ διφροιο ϝετωσιον αϊχθηναι.
Δευτερος αυθ' ὡρμᾶτο βοην αγαθος Διομηδης
Εγχεϊ χαλκειῳ· επερεισε δε Παλλας Αθηνη
Νειατον ες κενεωνος, ὁθι ζωνυσκετο μιτρην·
Τῃ ϝρα μιν ουτα τυχων, δια δε χροα καλον εδαψεν·
Εκ δε δορυ σπασεν αυτις· ὁ δ' εβραχε χαλκεος Αϝρης,
Ὁσσον τ' εννεαχιλοι επιαχον, η δεκαχιλοι
Ανερες εν πολεμῳ, εριδα ξυναγοντες Αϝρηος.
Τους δ' αρ ὑπο τρομος εϝλεν Αχαιους τε Τρωας τε
Δεισαντας· τοσον εβραχ' Αϝρης, αϝατος πολεμοιο.

835. Σθενελον μεν αφ' ἱππων.

Aurigam Turni media inter lora Metiscum
Excutit, et longè lapsum temone relinquit;
Ipsa subit, manibusque undantes flectit habenas,
Cuncta gerens, vocemque et corpus et arma Metisci. Æn. xii. 469.

851. Προσθεν Αϝρης. Pedes fuisse videtur, quamvis currus facilè ab Olympo rediisse potuit.

857. Νειατον ες κενεωνος. Ad imum ventris: ita, Πρυμνον ὑπερ θεναρος, E. 339; et, Νειοθεν εκ κραδιης, K. 10; vulgò, κενεωνα, contra metrum.

858. Τῃ ϝρα μιν ουτα. Hìc sanè eum vulneravit: Diomedes hastam non jacit, sed e curru porrigit.

Οἱη δ' εκ ϝνεφεων ερεβεννη φαινεται αηρ,
Καυματος εξ ανεμοιο δυσαεος ορνυμενοιο·
Τοιος Τυδεϊδῃ Διομηδεϊ χαλκεος Αϝρης
Φαινεθ', ἁμα ϝνεφεεσσιν ιων εις ουρανον ευρυν.
Καρπαλιμως δ' ἱκανε Θεων ἑδος, αιπυν Ολυμπον·
Παρ δε Διϊ Κρονιωνι καθεζετο, θυμον αχευων,
Δειξεν δ' αμβροτον αἱμα, καταϝρεον εξ ωτειλης,
Και ϝ', ολοφυρομενος, ϝεπεα πτεροεντα προσηυδα·
Ζευ πατερ, ου νεμεσιζῃ, ὁρῶν ταδε καρτερα ϝεργα;
Αιει τοι ϝριγιστα Θεοι τετληοτες ειμεν
Αλληλων ιοτητι, χαριν ανδρεσσι φεροντες.
Σοι παντες μαχομεσθα· συ γαρ τεκες αφρονα κουρην,
Ουλομενην, ᾑ τ' αιεν αησυλα ϝεργα μεμηλεν.
Αλλοι μεν γαρ παντες, ὁσοι Θεοι εισ' εν Ολυμπῳ,
Σοι τ' επιπειθονται, και δεδμημεσθα ϝεκαστος·
Ταυτην δ' ουτε ϝεπει προτιβαλλεαι, ουτε τι ϝεργῳ,
Αλλ' ανιεῖς, επει αυτος εγειναο παιδ' Αϝιδηλον·
Ἡ νυν Τυδεος υἱον, ὑπερθυμον Διομηδεα,
Μαργαινειν ανεηκεν επ' αθανατοισι Θεοισι.
Κυπριδα μεν πρωτον σχεδον ουτασε χειρ' επι καρπῳ·
Αυταρ επειτ' αυτῳ μοι επεϝσυτο, δαιμονι ϝισος·
Αλλα μ' ὑπηνεικαν ταχεες ποδες· η τε κε δηρον
Αυτοθι πηματ' επασχον εν αινῃσιν νεκαδεσσιν,

---

865. Καυματος. Ex calore vento maligno orto: nempe qui Sirocco vocatur.

867. ἁμα ϝνεφεεσσι. cum nubibus: Vulgò, ὁμου, sed præpositio est ἁμα.

871. Και ϝε. Et eum: Ita, Και μ', ολοφυρομενος, Od. κ. 265, et, Και μιν φωνησας, Α. 201. Vulgò, Και ῥα.

885. Αλλα μ' ὑπηνεικαν. Knightius tres versus damnat, ut et 901. Vox νεκας non alibi occurrit.

887. Η ζωος αμενηνος εα. Aut vivus invalidus essem: Vulgò, Η κε ζως' sed ζωος ita contrahi nequit, et particula non postulatur. εα aoristus primus est ab ειμι.

892. ακασχετον. non reprimendum: Vulgò, αασχετον, quod Hesychius ακατασχετον exponit; ita ασχετον, Π. 549; et κασχεθε, Λ. 701. ουκ επιϝεικτη, non æquandum: a ϝεϝιγμαι· vulgò, επιεικτον.

896. μεθιν δε σε γεινατο μητηρ. mihi verò te genuit mater: Vulgò, εμο· antiquam formam ad hiatum tollendum restitui. Hesychius μεθεν habet. Vide Α. 180, 208, Ι. 57, 426, Π. 848, Υ. 20.

Η ζωος αμενηνος εα χαλκοιο τυπῃσι.
Τον δ' αρ ὑποδρα ϝιδων προσεφη ϝνεφεληγερετα Ζευς·
Μη τι μοι, αλλοπροσαλλε, παρεζομενος μινυριζε·
Εχθιστος δε μοι εσσι Θεων, οἱ Ολυμπον εχουσιν.
Αιει γαρ τοι ερις τε φιλη, πολεμοι τε, μαχαι τε·
Μητρος τοι μενος εστιν ακασχετον, ουκ επιϝικτον,
Ἡρης· την μεν εγω σπουδῃ δαμνημι ϝεπεσσι·
Τῳ σ' οἲω κεινης ταδε πασχειν εννεσιῃσιν.
Αλλ' ου μαν σ' ετι δηρον ανεξομαι αλγε' εχοντα·
Εκ γαρ εμευ γενος εσσι, μεθιν δε σε γεινατο μητηρ·
Ει δε τευ εξ αλλου γε Θεων γενευ ὣδ' Αϝιδηλος,
Και κεν δη παλαι ηες ενερτερος Ουρανιωνων.
Ὡς φατο, και Παιηον' ανωγει ϝ' ιησασθαι·
Τῳ δ' επι Παιηων οδυνηφατα φαρμακα πασσων,
Ηκεσατ'· ου μεν γαρ τι καταθνητος γ' ετετυκτο·
Ὡς δ' ὁτ' οπος γαλα λευκον επειγομενος συνεπηξεν,
Ὑγρον εον, μαλα δ' ωκα περιτρεφεται κυκοωντι·
Ὡς αρα καρπαλιμως ιησατο θουρον Αϝρηα.
Τον δ' Ἡβη λοεσεν, χαριεντα δε ϝειματα ϝεσσε.
Παρ δε Διῒ Κρονιωνι καθεζετο κυδεῒ γαιων.
Αἱ δ' αυτις προς δωμα Διος ϝμεγαλοιο νεοντο,
Ἡρη τ' Αργειη και Αλαλκομενηῒς Αθηνη,
Παυσασαι ανδροκτασιων βροτολοιγον Αϝρηα.

---


898. ηες. eras: Vulgò, ησθα, quod usitatius; sed Hesychius ηες habet; Bentleius, ησθ' ὑπενερτερος, proposuit. Ουρανιωνες Titanes erant, Urani filii, qui etiam Deorum omnium origo erat.

899. ϝ' ιησασθαι. ei mederi: Vulgò deest pronomen; sed Eustathius varias lectiones ανωγε μιν, et ανωγει ἑ, memorat.

903. περιτρεφεται. coagulatur: lectio est Herodiani ab Eustathio memorata; et ita Od. ξ. 477. Athenæus caseos τροφαλιδας vocari memorat. Lib. x. c. 21, Clarkio citante. Vulgò, περιστρεφεται.

906. Παρ δε Διῒ. Knightius quatuor versus damnat.

909. Παυσασαι ανδροκτασιων βροτολοιγον Αϝρηα. Sistentes ab homicidiis homicidam Martem: Vulgò, Παυσασαι βροτολοιγον Αρην ανδροκτασιαων. MS. unus Αρη' habet, nec Αρην formare potest; ordinem verborum ob numeros immutavi.



῾ΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Z.

ARGUMENTA.

'Εκτορος και Ανδρομαχης οαριστυς.
Ζητα, παῖς Πριαμοιο φιλῃ οαριζει γυναικι.

1. Diis amotis, Græci plurimos cædunt.—73. Helenus Hectorem : urbem ire suadet, ut Minervæ supplicationem jubeat.—119. Glaucus Diomedes colloquuntur.—237. Hecuba Hectori occurrit.—286. Miner fit supplicatio.—313. Hector Paridem quærit.—370. Deinde it domu suam.—394. Andromachen ad Scæas portas invenit.—503. Cum Pari in prœlium redit.

Ζητα. Inter nùmeralia Græca, littera F, vel digamma, sextum locu occupabat; posteri quidem στau nominabant; et sic in linguâ Hebrai littera Vau, et in Latinâ F. Hinc etiam constat, cùm littera ͵ octavu locum occupet, digamma non nisi post novas litteras inductas obsolevis Idem epigrammate indicatur; Antholog. iv. 167.

'Εξ ὡραι μοχθοις ἱκανωταται· αἱ δε μετ' αυτας
Γραμμασι δεικνυμεναι ΖΗΘΙ λεγουσι βροτοις.

ʻΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Ζ.

ΤΡΩΩΝ δ᾽ οιωθη και Αχαιων φυλοπις αινη·
Πολλα δ᾽ αρ ενθα και ενθ᾽ ιθυσε μαχη πεδιοιο,
Αλληλων ιθυνομενων χαλκηρεα δουρα,
Μεσσηγυς Σιμοεντος ιδε Ξανθοιο ϝροαων.
Αιας δε πρωτος Τελαμωνιος, ἑρκος Αχαιων,
Τρωων ϝρηξε φαλαγγα, φαος δ᾽ ἑταϝροισιν εθηκεν,
Ανδρα βαλων, ὁς αριστος ενι Θραϊκεσσι τετυκτο,
Ὑἱον Εὒσσωρου, Ακαμαντ᾽, ηΰν τε ϝμεγαν τε.
Τον ϝρ᾽ εβαλε πρωτος κορυθος φαλον ἱπποδασειης·
Εν δε μετωπῳ πηξε, περησε δ᾽ αρ οστεον εισω
Αιχμη χαλκειη· τον δε σκοτος οσσ᾽ εκαλυψεν.
Αξυλον δ᾽ αρ επεφνε βοην αγαθος Διομηδης,
Τευθρανιδην, ὁς εναιεν εϋκτιμενη εν Αρισβῃ,
Αφνειος βιοτοιο, φιλος δ᾽ ην ανθρωποισι·
Παντας γαρ φιλεεσκεν, ὁδῳ επι ϝοικια ναιων.
Αλλα ϝοι ουτις τωνγε τοτ᾽ ηρκεσε λυγρον ολεθρον,
Προσθεν ὑπαντιασας· αλλ᾽ αμφω θυμον απεϝρα,
Αυτον και θεραποντα Καλησιον, ὁς ϝρα τοθ᾽ ἱππων
Εσκεν ὑφηνιοχος· τω δ᾽ αμφω γαιαν εδυτην.
Δρησον δ᾽ Ευρυαλος και Οφελτιον εξεναριξε·

---

1. οιωθη. relinquebatur: id est, a Diis. Sic, Οιωθη δ᾽ Οδυσευς, Λ. 401.
2. ιθυσε. prorupit; ιθυω nusquam casum regit; ιθυνω transitivum est.
3. Αλληλων ιθυνομενων. Invicem dirigentium: id est, επ᾽ αλληλοις.
4. Μεσσηγυς Σιμοεντος ιδε Ξανθοιο ϝροαων. Trojani a Diomede pulsi jam sub mœnibus urbis inter fluvios pugnant. Ζ. 80. Simoentem igitur trajecerant. Censendum est, cùm poeta hoc non memoret, fundum ejus siccum et glareosum fuisse, nec exercitibus impedimentum præbuisse. Vide Ε. 773.
16. ουτις τωνγε. cadit et Ripheus justissimus unus
Qui fuit in Teucris et servantissimus æqui. Æn. ii. 426.

Βη δε μετ' Αισηπον και Πηδασον, οὑς ποτε νυμφη
Νηϊς Αβαρβαρεη τεκ' αμυμονι Βουκολιωνι·
Βουκολιων δ' ην υἱος αγαυου Λαομεδοντος,
Πρεσβυτατος γενεῃ, σκοτιον δε ϝε γεινατο μητηρ·
Ποιμαινων δ' επ' οεσσι μιγη φιλοτητι και ευνῃ·
Ἡ δ' ὑποκυσσαμενη διδυμαονε γεινατο παιδε·
Και μεν των ὑπελυσε μενος και φαιδιμα γυια
Μηκιστηϊαδης, και απ' ωμων τευχε' εσυλα.
Ϝαστυαλον δ' αρ επεφνε μενεπτολεμος Πολυποιτης.
Πιδυτην δ' Οδυσευς Περκωσιον εξεναριξεν
Εγχεϊ χαλκειῳ· Τευκρος δ' Αρεταονα διον.
Αντιλοχος δ' Αβληρον ενηρατο δουρι φαεινῳ
Νεστοριδης· Ελατον δε ϝαναξ ανδρων Αγαμεμνων·
Ναιε δε, Σατνιοεντος εϋϝρειταο παρ' οχθας,
Πηδασον αιπεινην. Φυλακον δ' εϝλε Ληϊτος ἡρως
Φευγοντ'· Ευρυπυλος δε Μελανθιον εξεναριξεν·
Αδρηστον δ' αρ επειτα βοην αγαθος Μενελαος
Ζωον εϝλ'· ἱππω γαρ ϝοι ατυζομενω πεδιοιο,
Οζῳ ενι βλαφθεντε μυρικινῳ, αγκυλον ἁρμα
Ϝαξαντ' εν πρωτῳ ϝρυμῳ, αυτω μεν εβητην
Προς πολιν, ᾗ περ οἱ αλλοι ατυζομενοι φοβεοντο·
Αυτος δ' εκ διφροιο παρα τροχον εξεκυλισθη,
Πρηνης εν κονιηθιν επι στομα· παρ δε ϝοι εστη
Ατρεϊδης Μενελαος, εχων δολιχοσκιον εγχος·
Αδρηστος δε ϝ' επειτα ϝλαβων εϝλισσετο γουνων·
Ζωγρει, Ατρεος υἱε, συ δ' αξια δεξαι αποινα·

34. εϋϝρειταο. bene fluentis: a ϝρεω, fluo.

38. ατυζομενω πεδιοιο. consternati per planitiem:

45. εϝλισσετο. precabatur: MSS. ελισσετο contra metrum perhibent; Barnesius duplex λ intulit; rectè tamen Dawesius digamma adsciscere indicavit; vide Α. 15, Ε. 358. Vulgò etiam δ' αρ legitur, sed pronomen desideratur.

Et genua amplectens effatur talia supplex;
Te precor hanc animam serves natoque patrique;
Est domus alta; jacent penitus defossa talenta
Cælati argenti, sunt auri pondera facti. Æn. x. 523.

Πολλα δ' εν αφνειου πατρος κειμηλια κειται,
Χαλκος τε, χρυσος τε, πολυκμητος τε σιδηρος·
Των κεν τοι χαρισαιτο πατηρ απερεισι' αποινα,
Αι κεν εμε ζωον πεπυθοιτ' επι νηυσιν Αχαιων.
῾Ως φατο· τῳ δ' αρα θυμον ενι στηθεσσιν επειθε.
Και δη μιν ταχ' εμελλε θοας επι νηας Αχαιων
Δωσειν ϝῳ θεραποντι καταξεμεν· αλλ' Αγαμεμνων
Αντιος ηλθε θεων, και ὁμοκλησας ϝεπος ηυδα·
Ω πεπον, ω Μενελαε, τιη δε συ κηδεαι αυτως
Ανδρων; η σοι αριστα πεποιηται κατα ϝοικον
Προς Τρωων· των μη τις ὑπεκφυγοι αιπυν ολεθρον,
Χειρας θ' ἡμετερας· μηδ' ὁν τινα γαστερι μητηρ
Κουρον εοντα φεροι, μηδ' ὁς φυγοι· αλλ' ἁμα παντες
Ϝιλιου εξ απολοιατ', ακηδεστοι και αφαντοι.
῾Ως ϝειπων ετρεψεν αδελφεοφι φρενας ἡρως,
Αισιμα παρϝειπων· ὁ δ' απο ϝεθεν ωσατο χειρι
῾Ηρω' Αδρηστον· τον δε κρειων Αγαμεμνων
Ουτα κατα ϝλαπαρην· ὁ δ' ανετραπετ'· Ατρεϊδης δε
Λαξ εν στηθεσι βας εξεσπασε ϝμειλινον εγχος.
Νεστωρ δ' Αργειοισιν εκεκλετο, μακρον αϋσας·
Ω φιλοι, ἡρωες Δαναοι, θεραποντες Αϝρηος,
Μη τις νυν εναρων επιβαλλομενος, μετοπισθε
Μιμνετω, ὡς κεν πλειστα φερων επι νηας ἱκηται·
Αλλ' ανδρας κτεινωμεν· επειτα δε και τα ϝεκηλοι
Νεκρους αμπεδιον συλησετε τεθνειωτας.
῾Ως ϝειπων, ωτρυνε μενος και θυμον ἁπαντων·

---

46. Ζωγρει. Vivum cape: Hesychius. Ita, ζωαγρια. Σ. 407, et vide Ε. 698, Κ. 378. Knightius δ'αϝγρεε', id est, ζωγρειο, edidit. Forsitan, Ζωγρεε μ'.

51. επειθε. suasit: Alii, ορινε.

Et jam jamque magis cunctantum flectere sermo
Cœperat —. Æn. xii. 940.

59. μηδ' ὁς φυγοι. neque is fugiat: id est puer in ventre; ὁς pro οὗτος. Knightius hoc non licere censet, et tres versus damnat; constructio quidem inusitata est. Confer Α. 73, 333, 405, Φ. 198, Χ. 201, Od. α. 286, ρ. 172. Ita, ὁ γαρ pro τουτο γαρ, Μ. 344.

70. επειτα δε και τα ϝεκηλοι. postea verò et hæc otiosi: id est, spolia.

72. ἁπαντων. omnium: Vulgò, ἑκαστου· vide Ε. 470.

Ενθα κεν αυτε Τρωες Αϝρηϊφιλων ὑπ' Αχαιων
Fιλιον εισανεβησαν, αναλκειῃσι δαμεντες,
Ει μη αρ Αινειᾳ τε και Ἑκτορι ϝειπε παραστας
Πριαμιδης Ἑλενος, οιωνοπολων οχ' αριστος·
Αινεια τε, και Ἑκτορ, επει πονος υμμι μαλιστα
Τρωων και Λυκιων εγκεκλιται, οὑνεκ' αριστοι
Πασαν επ' ιθυν εστε, μαχεσθαι τε φρονεειν τε·
Στητ' αυτου, και λαον εϝρυκακετε προ πυλαων,
Παντη εποιχομενοι, πριν γ' αυτ' εν χερσι γυναικων
Φευγοντας πεσεειν, δαϊοισι δε χαρμα γενεσθαι·
Αυταρ επει κε φαλαγγας εποτρυνητον ἁπασας,
Ἡμεις μεν Δαναοισι μαχησομεθ' αυθι μενοντες,
Και μαλα τειρομενοι περ· αναγκαιη γαρ επειγει.
Ἑκτορ, αϝαρ συ πολινδε μετερχεο, ϝειπε δ' επειτα
Μητερι σῃ και εμῃ· ἡ δε ξυναγουσα γεραιας
Νηον Αθηναιης γλαυκωπιδος, εν πολει ακρῃ,
Οιξασα κληϊδι θυρας ἱεροιο δομοιο,
Πεπλον, ὁ ϝοι δοκεει χαριεστατος ηδε ϝμεγιστος
Ειναι ενι ϝμεγαροις, και ϝοι πολυ φιλτατος αυτῃ,
Θειναι Αθηναιης επι γουνασιν ηϋκομοιο·
Και ϝοι ὑποσχεσθαι δυοκαιδεκα βους ενι νηῳ,
Ηνις, ηκεστας, ἱερευσεμεν, αι κ' ελεησῃ
Fαστυ τε, και Τρωων αλοχους, και νηπια τεκνα·
Αι κεν Τυδεος υἱον αποσχῃ Fιλιου ἱρης,
Αγριον αιχμητην, κρατερον μηστωρα φοβοιο·

---

79. Πασαν επ' ιθυν εστε. Omnem ad impetum estis: Nomina in υς, quæ υος in genitivo formant, ultimam producunt.

89. Οιξασα. Aperiens: Versus mihi vacare videtur; Theano enim, non Hecuba, portas aperit; Ζ. 298. Suspicor etiam verbum οἴγω contrahi non posse; Ξ. 168, Ω. 455, 457. Κληϊς insuper pessulus, non clavis, qualem nos accipimus, erat. Nonnulli hunc et præcedentem damnant.

90. Πεπλον, ὁ ϝοι δοκεει. Pallium, quod ei videtur: ita, vel, ὁς αρ, emendandum; vulgò, ὅς οἱ. Hesychius ὁ pro ὁς, οὗτος, διο, et ὅτι, poni indicat.

92. Αθηναιης επι γουνασιν. Minervæ in genibus: Ex nullo alio loco statuas habuisse videntur Trojani aut Græci; neque ex hoc constare opinor. Ut enim genua amplectebantur supplices, ita forsitan, in genibus ponere, pro dicare dicebatur. Sic, ταυτα Θεων εν γουνασι κειται, Ρ. 514.

Ὁν δη εγω καρτιστον Αχαιων φημι γενεσθαι·
Ουδ᾽Αχιληα ποθ᾽ ὡδε γ᾽ εδειδιμεν, ορχαμον ανδρων,
Ὁν περ φασι Θεας εξ εμμεναι· αλλ᾽ ὁδε λιην
Μαινεται, ουδ᾽ αρα τις δυναται μενος αντιφεριζειν.
Ὡς εφαθ᾽· Ἑκτωρ δ᾽ ουτι κασιγνητῳ απιθησεν·
Αυτικα δ᾽ εξ οχεων συν τευχεσιν αλτο χαμαζε·
Παλλων δ᾽ οξεα δουρα, κατα στρατον ῳχετο παντη,
Οτρυνων μαχεσασθαι· εγειρε δε φυλοπιν αινην.
Οἱ δ᾽ εϝελιχθησαν, και εναντιοι εσταν Αχαιων.
Αργειοι δ᾽ ὑπεχωρησαν, ϝληξαν δε φονοιο·
Φαν δε τιν᾽ αθανατων εξ ουρανου αστεροεντος
Τρωσιν αλεξησοντα κατελθεμεν, ὡς εϝελιχθεν.
Ἑκτωρ δε Τρωεσσιν εκεκλετο, μακρον αϋσας·
Τρωες ὑπερθυμοι, τηλεκλεϊτοι τ᾽ επικουροι,
Ανερες εστε, φιλοι, μνησασθε δε θουριδος αλκης,
Ὀϝρα κ᾽ εγω βειω προτι Ϝιλιον, ηδε γερουσι
Ϝειπω βουλευτησι, και ἡμετερης αλοχοισι,
Δαιμοσιν αρησασθαι, ὑποσχεσθαι δ᾽ ἑκατομβας.
Ὡς αρα φωνησας απεβη κορυθαιολος Ἑκτωρ·
Αμφι δε μιν σφυρα τυπτε και αυχενα δερμα κελαινον,
Αντυξ, ἡ πυματη θεεν ασπιδος ομφαλοεσσης.
Γλαυκος δ᾽ Ἱππολοχοιο παϊς και Τυδεος υἱος
Ες μεσον αμφοτερων συνιτην μεμαωτε μαχεσθαι.
Οἱ δ᾽ ὁτε δη σχεδον ησαν επ᾽ αλληλοισιν ιοντες,
Τον προτερος προσεϝειπε βοην αγαθος Διομηδης·

---

94. Ηνις, ηκεστας. Unius anni, indomitas: Hesychius ηνεις habet.

101. ουδ᾽ αρα τις δυναται μενος αντιφεριζειν. neque sanè quis potest robur opponere: Ita, ουδ᾽ αρα πως, Π. 60, et passim, et μενος αντιφεριζεις, Φ. 411, 357. Vulgò, ουδε τις οἱ δυναται μενος ισοφαριζειν, quod bis in digamma peccat.

113. Ὀϝρα κ᾽ εγω βειω. Ut tum ego vadam: Subjunctivus Ionicus a βημι, Α. 26.

119. Γλαυκος δε. Die jam provecto, et Sole incalescente, remittitur pugna. Glaucus et Diomedes in medium procedunt, cæteris spectantibus. Colloquio interposito, præliorum tædium levatur.

Τις δε συ εσσι, φεριστε, καταθνητων ανθρωπων;
Ου μεν γαρ ποτ' οπωπα μαχῃ ενι κυδιανειρῃ
Το πριν· αfαρ μεν νυν γε πολυ προβεβηκας άπαντων
Σῳ θαρσει, ὅτ' εμον δολιχοσκιον εγχος εμεινας.
Δυστηνων δε τε παιδες εμῳ μενει αντιοωσιν.
Ει δε τις αθανατων γε κατ' ουρανου ειληλουθας,
Ου κεν εγωγε Θεοισιν επουρανιοισι μαχοιμην.
Ουδε γαρ ουδε Δρυαντος ὑϊς, κρατερος Λυκοοργος,
Δην ην, ὅς fρα Θεοισιν επουρανιοισιν εριζεν·
Ὁς ποτε μαινομενοιο Διωνυσοιο τιθηνας
Fσευε κατ' ηγαθεον Νυσηϊον· αἱ δ' ἁμα πασαι
Θυσθλα χαμαι κατεχευαν, ὑπ' ανδροφονου Λυκοοργου
Θεινομεναι βουπληγι· Διωνυσος δε φοβηθεις
Δυσεθ' ἁλος κατα κυμα· Θετις δ' ὑπεδεξατο κολπῳ
Δειδιοτα· κρατερος γαρ εχε τρομος ανδρος ὁμοκλῃ.
Τῳ μεν επειτ' οδυσαντο Θεοι fρεια ζωοντες,
Και μιν τυφλον εθηκε Κρονου παϊς· ουδ' αρ ετι δην
Ην, επει αθανατοισιν απηχθετο πασι Θεοισιν.
Ουδε κ' εγω μακαρεσσι Θεοις εθελοιμι μαχεσθαι.
Ει δε τις εσσι βροτων, οἱ αρουρης καρπον εδουσιν,
Ασσον ιθ', ὡς κεν θασσον ολεθρου πειραθ' ἱκηαι.
Τον δ' αυθ' Ἱππολοχοιο προσηυδα φαιδιμος υἱος·

---

127. Δυστηνων. Knightius versus septendecim damnat, quia poetam nihil de Baccho, cæterisque Diis mysticis, scivisse censeat.

128. Ει δε τις αθανατων. Si verò quis immortalium: Minervâ in cœlum reduce, Diomedes Deos non ampliùs cognoscit. Usitata hæc est loquendi forma.

134. ὑπ' ανδροφονου Λυκοοργου. sub homicidâ Lycurgo: Vulgò, υπ' ανδροφονοιο Λυκουργου· vox tamen non alibi contrahitur.

146. Οἱη περ φυλλων γενεη. Locum hunc pulcherrimum imitati sunt multi. In Sapientiâ Sirach, c. 14, v. 18, locus est a Grotio citatus, qui ab eodem fonte fluxisse videtur. Ὡς φυλλον θαλλον επι δενδρου δασεος, τα μεν καταβαλλει, αλλα δε φυει· οὑτως γενεα σαρκος και αἱματος, ἡ μεν τελευτᾷ, ἑτερα δε γεννᾶται. Ita et Euripides apud Plutarchum de consolatione.

Κυκλος γαρ αυτος, καρπιμοις τε γης φυτοις,
Θνητων τε γενεᾳ· τοις μεν αυξεται βιος,
Των δε φθινει τε, κᾀκθεριζεται παλιν.

148. fεαρος δ' επιγιγνεται ὡρῃ. veris verò oboriuntur tempore: nempe folia. Fεαρ non alibi in Homero occurrit; Hesychius tamen Γεαρ, εαρ habet, et hinc vox Latina. Vide Β, 89.

Τυδεΐδη ϝμεγαθυμε, τιη γενεην ϝερεεινεις;
Οἱη περ φυλλων γενεη, τοιηδε και ανδρων.
Φυλλα τα μεν τ' ανεμος χαμαδις χεει, αλλα δε θ' ὑλη
Τηλεθοωσα φυει, ϝεαρος δ' επιγιγνεται ὡρη·
Ὡς ανδρων γενεη, ἡ μεν φυει, ἡ δ' αποϝληγει.
Ει δ' εθελεις και ταυτα δαημεναι, ὀϝρ' εῦ ϝειδῃς
Ἡμετερην γενεην, πολλοι δε ϝισασι μιν ανδρες,
Εστι πολις Εφυρη, μυχῳ Αργεος ἱπποβοτοιο,
Ενθαδε Σισυφος εσκεν, ὁ κερδιστος γενετ' ανδρων,
Σισυφος Αιολιδης· ὁ δ' αρα Γλαυκον τεκεθ' υἱον·
Αυταρ Γλαυκος ετικτεν αμυμονα Βελλεροφοντην·
Τῳ δε Θεοι καλλος τε και ηνορεην ερατεινην
Ωπασαν· αυταρ ϝοι Προιτος κακ' εμησατο θυμῳ·
Ὁς ϝ' εκ δημου ελασσεν, επει πολυ φερτερος ηεν
Αργειων· Ζευς γαρ ϝοι ὑπο σκηπτρῳ εδαμασσε.
Τῳ δε γυνη Προιτου επεμηνατο, δῖ' Αντεια,
Κρυπταδιῃ φιλοτητι μιγημεναι· αλλα τον ουτι
Πειθ' αγαθα φρονεοντα δαΐφρονα Βελλεροφοντην.
Ἡ δε ψευσαμενη Προιτον βασιληα προσηυδα·
Τεθναιης, ω Προιτ', η κακτανε Βελλεροφοντην,
Ὁς ϝρ' εθελεν φιλοτητι μιγημεναι ουκ εθελουσῃ.
Ὡς φατο· τον δε ϝανακτα χολος ϝλαβεν, οἱον ακουσε·

---

149. ἡ μεν φυει, ἡ δ' αποϝληγει. hæc quidem oritur, hæc verò desinit: Forsitan φυεθ' pro φυεται legendum, ut, τα δ' ανηροτα παντα φυονται, Od. ι. 109, et γεννᾶται, not. Ζ. 146; φυω enim non alibi nisi sensum transitivum habet; Ζ. 148, Α. 235.

151. πολλοι δε ϝισασι μιν ανδρες. multi verò sciunt id homines: Vulgò, πολλοι δε μιν ανδρες ισασιν, quod tantundem est, sed in digamma peccat; Σ. 420, Α. 85; ϝισασι primam syllabam ancipitem habet; Ι. 36. Knightius versum damnat, ut et 159, et 186.

152. Εφυρη. Nomen antiquum Corinthi. Urbs antiqua fuit. Æn. i. 16.

153. κερδιστος. vaferrimus: Glaucus nomine medio utitur; proavo enim maledicere noluit, qui quidem furacissimus erat. Eustath.

160. Τῳ δε γυνη Προιτου. Huic verò uxor Præti insanivit, nobilis Antea, Secretâ amicitiâ misceri: Historiam e Genesi desumptam crederes.

164. κακτανε. interfice: pro κατακτανε, aoristo secundo a κατακτεινω.

165. Ὁς ϝρ' εθελεν. Qui sanè voluit: Ita Ζ. 158, et passim; vulgò, Ὁς μ' εθελεν· sed μοι elidi nequit; in duobus tantùm aliis locis elidi videtur, sed facillima etiam in his emendatio est; Ν. 481, Ρ. 100; et vide Ι. 669.

Κτειναι μεν ϝ' αλεεινε, σεβασσατο γαρ τογε θυμῳ,
Πεμπε δε μιν Λυκιηνδε, πορεν δ' ὁγε σηματα λυγρα,
Γραψας εν πινακι πτυκτῳ θυμοφθορα πολλα·
Δειξαι δ' ηνωγει ϝῳ πενθερῳ, ὀϝρ' απολοιτο.
Αυταρ ὁ βη Λυκιηνδε Θεων ὑπ' αμυμονι πομπῃ·
Αλλ' ὁτε δη Λυκιην ἱξε, Ξανθον τε ϝρεοντα,
Προφρονεως μιν τιε ϝαναξ Λυκιης ευρειης·
Εννημαρ ξεινισσε, και εννεα βους ἱερευσεν.
Αλλ' ὁτε δη δεκατη εφανη ϝροδοδακτυλος Ηως,
Και τοτε μιν ϝερεεινε, και ῃτεε σημα ϝιδεσθαι,
Ὁ ϝρα ϝεθιν γαμβροιο παρα Προιτοιο φεροιτο.
Αυταρ επει δη σημα κακον παρεδεξατο γαμβρου,
Πρωτον μεν ϝε Χιμαιραν αμαιμακετην εκελευσε
Πεφνεμεν· ἡ δ' αρ εεν θειον γενος, ουδ' ανθρωπων,
Προσθε λεων, οπιθεν δε δρακων, μεσση δε χιμαιρα,
Δεινον αποπνειουσα πυρος μενος αιθομενοιο.
Και την μεν κατεπεφνε, Θεων τεραεσσι πιθησας.
Δευτερον αυ Σολυμοισι μαχεσσατο κυδαλιμοισι·
Καρτιστην δη τηνγε μαχην φατο δυμεναι ανδρων.
Το τριτον αυ κατεπεφνεν Αμαζονας αντιανειρας.
Τῳ δ' αρ ανερχομενῳ πυκινον δολον αλλον ὑφαινε·
Κρινας εκ Λυκιης ευρειης φωτας αριστους,

---

167. Κτειναι μεν ϝ' αλεεινε. Occidere quidem eum vitavit: Vulgò, μεν ῥα· sed pronomen desideratur; similem emendationem, Ζ. 45, et 179, adhibui.

169. Γραψας. Scribens: Hinc constat litteras temporibus Trojanis antiquiores fuisse, ut ex Libris quoque Sacris, et Ægyptiorum monumentis patet.

177. Ὁ ϝρα ϝεθιν. Quod sanè ei: Vulgò, Ὁ, ττι ῥα οἱ· sed Ὁτι nullâ ratione produci potest; Α. 294, Ε. 270.

179. Πρωτον μεν ϝε Χιμαιραν. Primùm quidem eum Chimæram ingentem jussit Occidere: Nonnulli Bellerophontem montem purgâsse volunt, flammas e capite vomentem, in partibus superioribus leonum, in mediis caprorum, in inferioribus serpentum plenum. Vulgò, μεν ῥα.

184. Σολυμοισι. Judæis: qui quidem a Lyciâ non longè aberant, et iis temporibus florebant. "Clara alii tradunt Judæorum initia; Solymos, carminibus Homeri celebratam gentem, conditæ urbi Hierosolymam nomen e suo fecisse." Tacit. Hist. v. 2. Nulla auctoritas probabilis est, aliam

Εἰσε λοχον· τοι δ' ουτι παλιν ϝοικονδε νεοντο·
Παντας γαρ κατεπεφνεν αμυμων Βελλεροφοντης.
Αλλ' ὁτε δη γιγνωσκε Θεου γονον ηΰν εοντα,
Αυτοθι μιν κατεϝρυκε, διδου δ' ὁγε θυγατερα ϝην·
Δωκε δε ϝοι τιμης βασιληΐδος ἡμισυ πασης.
Και μεν ϝοι Λυκιοι τεμενος ταμον εξοχον αλλων,
Καλον φυταλιης και αρουρης, ὁϕρα νεμοιτο.
Ἡ δ' ετεκε τρια τεκνα δαϊφρονι Βελλεροφοντῃ,
Ϝισανδρον τε, και Ἱππολοχον, και Λαοδαμειαν.
Λαοδαμειῃ μεν παρελεξατο μητιετα Ζευς,
Ἡ δ' ετεκ' αντιθεον Σαρπηδονα χαλκοκορυστην.
Αλλ' ὁτε δη και κεινος απηχθετο πασι Θεοισιν,
Η τοι ὁ καππεδιον τοτ' Αληϊον οιος αλᾶτο,
Ϝον θυμον κατεδων, πατον ανθρωπων αλεεινων·
Ϝισανδρον δε ϝοι υἱον Αϝρης, αϝατος πολεμοιο,
Μαρναμενον Σολυμοισι κατεκτανε κυδαλιμοισι·
Την δε χολωσαμενη χρυσηνιος Αρτεμις εκτα.
Ἱππολοχος δή μ' ετικτε, και εκ του φημι γενεσθαι·
Πεμπε δε μ' ες Τροϊην, και μοι μαλα πολλ' επετελλεν,
Αιεν αριστευειν, και ὑπειροχον εμμεναι αλλων,
Μηδε γενος πατερων αισχυνεμεν, οἱ ϝμεγ' αριστοι
Εν τ' Εφυρῃ εγενοντο και εν Λυκιῃ ευρειῃ.

---

gentem hujus nominis Lyciæ propinquam fuisse, et Eusebius, Chærili poetæ testimonio, Hebræos Solymos olim dictos monet.

200. Αλλ' ὁτε δη και κεινος. Sed quando revera et ille invisus erat omnibus Diis: Antimachus hoc ei evenisse dicit, quia cum Solymis pugnaverat. Simile est Nebuchadnezzari in Scriptis Sacris judicium.

201. Ητοι ὁ καππεδιον τοτ' Αληϊον οιος αλᾶτο. Revera ille per planitiem tunc Aleiam solus errabat: Ita Bentleius; vulgò, το Αληϊον· sed τοτε et ὁτε bene respondent, ut Α. 493, 494. Male Heynius, το Ϝαληϊον, proponit; melius esset, Αϝληϊον, legere, ut ληϊον digamma habeat. Alii ασπορον explicant, ut Ι. 125; alii ab αλαομαι deducunt. Herodotus, vi. 95, το Αληϊον πεδιον in Ciliciâ memorat, haud procul a Tarso, et Dionysius in Periegesi, et Hesychius. Vertit Cicero, Quæst. Tuscul. l. 3.

> Qui miser in campis mœrens errabat Aleis,
> Ipse suum cor edens, hominum vestigia vitans.

209. Μηδε γενος πατερων αισχυνεμεν.

> Ecquid in antiquam virtutem, animosque viriles
> Et pater Æneas, et avunculus excitat Hector? Æn. iii. 342.

Ταυτης τοι γενεης τε και αἱματος ευχομαι ειναι.
  Ὡς φατο· γηθησεν δε βοην αγαθος Διομηδης·
Εγχος μεν κατεπηξεν επι χθονι πουλυβοτειρῃ,
Αυταρ ὁ μειλιχιοισι προσηυδα ποιμενα λαων·
  Η ϝρα νυ μοι ξεινος πατρωϊος εσσι παλαιος.
Ϝοινευς γαρ ποτε διος αμυμονα Βελλεροφοντην
Ξεινισ' ενι ϝμεγαροισιν, εϝεικοσιν ηματ' εϝρυξας·
Οἱ δε και αλληλοισι πορον ξεινηϊα καλα·
Ϝοινευς μεν ζωστηρα διδου φοινικι φαεινον,
Βελλεροφοντης δε χρυσεον δεπας αμφικυπελλον·
Και μιν εγω κατελειπον ιων εν δωμασ' εμοισι.
Τυδεα δ' ου μεμνημαι· επει μ' ετι τυτθον εοντα
Καλλιφ', ὁτ' εν Θηβῃσιν απωλετο λαος Αχαιων.
Τῳ νυν σοι μεν εγω ξεινος φιλος Αργεϊ μεσσῳ
Ειμι· συ δ' εν Λυκιῃ, ὁτε κεν των δημον ἱκωμαι.
Εγχεσι δ' αλληλων αλεωμεθα και δι' ὁμιλου·
Πολλοι μεν γαρ εμοι Τρωες, κλεϊτοι τ' επικουροι,
Κτεινειν, ὁν κε Θεος γε πορῃ και ποσσι κιχειω·
Πολλοι δ' αυ σοι Αχαιοι, εναιρεμεν, ὁν κε δυνηαι·
Τευχεα δ' αλληλοις επαμειψομεν· ὀϝρα και οἱδε
Γνωωσ', ὁ ξεινοι πατρωϊοι ευχομεθ' ειναι.
  Ὡς αρα φωνησαντε, καθ' ἱππων αϊξαντε,
Χειρας τ' αλληλων ϝλαβετην, και πιστωσαντο.
Ενθ' αυτε Γλαυκῳ Κρονιδης φρενας εκϝελετο Ζευς,
Ὁς προς Τυδεϊδην Διομηδεα τευχε' αμειβε,
Χρυσεα χαλκειων, ἑκατομβοι' εννεαβοιων.
  Ἑκτωρ δ' ὡς Σκαιας τε πυλας και φηγον ἱκανεν,
Αμφ' αρα μιν Τρωων αλοχοι θεον, ηδε θυγατρες,

---

222. Τυδεα δ' ου μεμνημαι. Tydeum verò non memini : Knightius duos versus damnat, quia μεμνημαι non alibi accusativum regat. Causa parum idonea videtur.

231. Γνωωσ', ὁ ξεινοι. Sciant, quòd hospites : Vulgò, Γνῶσιν, ὅτι ξεινοι' sed Γνωωσι ita contrahi nequit; Α. 129, 411.

234. Ενθ' αυτε Γλαυκῳ. Raro jocis indulget Homerus; poema tamen Satyricum, Margiten, scripsisse dicitur. Knightius quidem quinque versus damnat, 230, 231, 234, 235, 236.

Εϝρομεναι παιδας τε, κασιγνητους τε, ϝετας τε,
Και ποσιας· ὁ δ' επειτα Θεοις ευχεσθαι ανωγει
Πασας ἑξειης· πολλῃσι δε κηδε' εφηπτο.
Αλλ' ὁτε δη Πριαμοιο δομον περικαλλε' ἱκανε,
Ξεστῃσ' αιθουσῃσι τετυγμενον· αυταρ εν αυτῳ
Πεντηκοντ' ησαν θαλαμοι ξεστοιο λιθοιο,
Πλησιοι αλληλων δεδμημενοι· ενθαδε παιδες
Κοιμῶντο Πριαμοιο παρα μνηστῃς αλοχοισι·
Κουρων δ' ἑτερωθεν εναντιοι ενδοθεν αυλης
Δωδεκ' εσαν τεγεοι θαλαμοι ξεστοιο λιθοιο,
Πλησιοι αλληλων δεδμημενοι· ενθαδε γαμβροι
Κοιμῶντο Πριαμοιο παρ' αιδοιῃς αλοχοισιν.
Ενθα ϝοι ηπιοδωρος εναντιη ηλυθε μητηρ,
Λαοδικην εσαγουσα, θυγατρων ϝειδος αριστην,
Εν τ' αρα ϝοι φυ χειρι, ϝεπος τ' εφατ', εκ τ' ονομαζε·
Τεκνον, τιπτε λιπων πολεμον θρασυν ειληλουθας;
Η μαλα δη τειρουσι δυσωνυμοι υἱες Αχαιων
Μαρναμενοι περι ϝαστυ· σε δ' ενθαδε θυμος ανηκεν
Ελθοντ', εξ ακρης πολιος Διϊ χειρας ανασχειν.
Αλλα μεν', ὁϝρα κε τοι μελιϝηδεα ϝοινον ενεικω,
Ὡς σπεισῃς Διϊ πατρι και αλλοις αθανατοισι
Πρωτον· επειτα δε κ' αυτος ονησεαι, αι κε πιῃσθα·
Ανδρι δε κεκμηωτι μενος ϝμεγα ϝοινος αεξει,
Ὡς τυνη κεκμηκας, αμυνων σοισι ϝετῃσι.
Την δ' ημειβετ' επειτα ϝμεγας κορυθαιολος Ἑκτωρ·
Μη μοι ϝοινον αειρε μελιφρονα, ποτνια μητηρ,
Μη μ' απογυιωσῃς, μενεος δ' αλκης τε λαθωμαι.
Χερσι δ' αϝνιπτοισιν Διϊ λειβειν αιθοπα ϝοινον

---

239. ϝετας τε. familiaresque: Forsitan æquales, ὁμηλικας, qui ejusdem ætatis sint, a ϝετος, annus. Ϝετης in sex locis digamma postulat.

243. εν αυτῳ Πεντηκοντ' ησαν. in eâ Quinquaquinta erant: Vulgò, ενεσαν' sed Homerus præpositionem non geminat.

252. Λαοδικην εσαγουσα. Laodicen adducens: Ea semper verbi vis; malè interpretes, ad Laodicem proficiscens; quidni eam comitata fuerit filia?

Ἁζομαι· ουδε πη εστι κελαινεφεϊ Κρονιωνι
Αἱματι και λυθρῳ πεπαλαγμενον ευχεταασθαι.
Αλλα συ μεν προς νηον Αθηναιης αγελαης
Ερχεο συν θυεεσσιν, αολλισσασα γεραιας·
Πεπλον δ', ὁς τις τοι χαριεστατος ηδε ϝμεγιστος
Εστιν ενι ϝμεγαρῳ, και τοι πολυ φιλτατος αυτῃ,
Τον θες Αθηναιης επι γουνασιν ηϋκομοιο,
Και ϝοι ὑποσχεσθαι δυοκαιδεκα βους ενι νηῳ,
Ηνις, ηκεστας, ἱερευσεμεν, αι κ' ελεησῃ
Ϝαστυ τε, και Τρωων αλοχους, και νηπια τεκνα·
Αι κεν Τυδεος υἱον αποσχῃ Ϝιλιου ἱρης,
Αγριον αιχμητην, κρατερον μηστωρα φοβοιο.
Αλλα συ μεν προς νηον Αθηναιης αγελαης
Ερχευ· εγω δε Παριν μετελευσομαι, ὀϝρα καλεσσω,
Αι κ' εθελῃ ϝειποντος ακουεμεν· ὡς κε ϝοι αυθι
Γαια χανοι· ϝμεγα γαρ μιν Ολυμπιος ετρεφε πημα
Τρωσι τε, και Πριαμῳ ϝμεγαλητορι, τοιο τε παισιν.
Ει κεινον γε ϝιδοιμι κατελθοντ' Αϝιδος εισω,
Φαιην κεν φρεν' ατερπου οϊζυος εκλελαθεσθαι.
Ὡς εφαθ'· ἡ δε μολουσα ποτι ϝμεγαρ', αμφιπολοισι
Κεκλετο· ται δ' αρ αολλισσαν κατα ϝαστυ γεραιας.
Αυτη δ' ες θαλαμον κατεβησατο κηωεντα,
Ενθ' εσαν οἱ πεπλοι, παμποικιλα ϝεργα γυναικων
Σιδονιων, τας αυτος Αλεξανδρος θεοϝειδης
Ηγαγε Σιδονιηθεν, επιπλως ευρεα ποντον,
Την ὁδον, ἡν Ἑλενην περ ανηγαγεν ευπατερειαν.
Των ἑν' αειραμενη Ἑκαβη φερε δωρον Αθηνῃ,

---

271. Πεπλον δ', ὁς τις τοι. Pallium verò, quodcunque tibi:
287. ται δ' αρ. illæ verò sanè: vulgò, και δ' αρ, sed pronomen desideratur.
289. Ενθ' εσαν οἱ πεπλοι. Ibi erant illa pallia: οἱ hoc loco articulus esse videtur; sin non, in promptu est, Ενθαδε ϝοι πεπλοι, vel, Ενθα ϝεθεν πεπλα, emendare. παμποικιλα ϝεργα. variegata opera: Vulgò, παμποικιλοι, quod tantundem est, sed in digamma peccat; hujusmodi mutationes emendationum nomen vix merentur.
298. Θεανω, Κισσηϊς. Theano, Cissei filia: Secundum Euripidem et

Ὁς καλλιστος εεν ποικιλμασιν, ηδε ϝμεγιστος·
Αστηρ δ' ὡς απελαμπεν· εκειτο δε νειατος αλλων.
Βη δ' ιεναι, πολλαι δε μετεϝσευοντο γεραιαι.
Αἱ δ' ὁτε νηον ἱκανον Αθηνης εν πολει ακρῃ,
Τῃσι θυρας ωϊξε Θεανω καλλιπαρηος,
Κισσηϊς, αλοχος Αντηνορος ἱπποδαμοιο·
Την γαρ Τρωες εθηκαν Αθηναιης ἱερειαν.
Αἱ δ' ολολυγῃ πασαι Αθηνῃ χειρας ανεσχον·
Ἡ δ' αρα πεπλον εϝλουσα Θεανω καλλιπαρηος
Θηκεν Αθηναιης επι γουνασιν ηϋκομοιο·
Ευχομενη δ' ηρᾶτο Διος κουρῃ ϝμεγαλοιο·
Ποτνι' Αθηναιη, ϝερυσιπτολι, δῖα Θεαων,
Εγχος δη ϝαξον Διομηδεος, ηδε και αυτον
Πρηνεα δος πεσεειν Σκαιων προπαροιθε πυλαων·
Ὀϝρα τοι αυτικα νυν δυοκαιδεκα βους ενι νηῳ,
Ηνις, ηκεστας, ἱερευσομεν, αι κ' ελεησῃς
Ϝαστυ τε, και Τρωων αλοχους, και νηπια τεκνα.
Ὡς εφατ' ευχομενη· ανενευε δε Παλλας Αθηνη.
Ὡς αἱ μεν ϝρ' ευχοντο Διος κουρῃ ϝμεγαλοιο.
Ἑκτωρ δε προς δωματ' Αλεξανδροιο βεβηκει
Καλα, τα ϝρ' αυτος ετευξε συν ανδρασιν, οἱ τοτ' αριστοι
Ησαν ενι Τροϊῃ εριβωλακι, τεκτονες ανδρες,
Οἱ ϝοι εποιησαν θαλαμον, και δωμα, και αυλην,
Εγγυθι τε Πριαμοιο και Ἑκτορος, εν πολει ακρῃ.
Ενθ' Ἑκτωρ εισηλθε Διϊ φιλος· εν δ' αρα χειρι
Εγχος εχ' ἑνδεκαπηχυ· παροιθε δε λαμπετο δουρος
Αιχμη χαλκειη, περι δε χρυσεος θεε πορκης.

Virgilium Hecubæ soror esset; Cisseis regina Parin creat. Æn. x. 702; sed vide Π. 718, ubi Hecuba Dymantis filia vocatur.

301. Αἱ δ' ολολυγῃ πασαι.

Interea ad templum non æquæ Palladis ibant
Crinibus Iliades passis, peplumque ferebant
Suppliciter tristes, et tunsæ pectora palmis. Æn. i. 479. xi. 477.

306. Εγχος δη ϝαξον. Hastam revera frange: Vulgò, Αξον δη εγχος. Knightius transposuit, ne δη ante vocalem produceretur. Idem versum 311 damnat.

Τον δ' εὑρ' εν θαλαμῳ περικαλλεα τευχε' ἑποντα,
Ασπιδα, και θωρηκα, και αγκυλα τοξ' ἁφοωντα·
Αργειη δ' Ἑλενη μετ' αρα δμωῃσι γυναιξιν
Ἡστο, και αμφιπολοισι περικλυτα ϝεργα κελευε.
Τον δ' Ἑκτωρ νεικεσσε ϝιδων αισχροις ϝεπεεσσι·
Δαιμονι', ου μεν καλα χολον τονδ' ενθεο θυμῳ·
Λαοι μεν φθινυθουσι περι πτολιν, αιπυ τε τειχος,
Μαρναμενοι· σεο δ' εἱνεκ' αϋτη τε, πτολεμος τε,
Ϝαστυ τοδ' αμφιδεδηε· συ κεν μαχεσαιο και αλλῳ,
Ει τινα που μεθιεντα ϝιδοις στυγερου πολεμοιο·
Αλλ' ανα, μη ταχα ϝαστυ πυρος δαϊοιο θερηται.
Τον δ' αυτε προσεϝειπεν Αλεξανδρος θεοϝειδης·
Ἑκτορ, επει με κατ' αισαν ενεικεσας, ουδ' ὑπερ αισαν,
Τουνεκα τοι ϝερεω· συ δε συνθεο, και μευ ακουσον·
Ου τοι εγω Τρωων τοσσον χολῳ ουδε νεμεσσει
Ἡμην εν θαλαμῳ, εθελον δ' αχεϊ προτραπεσθαι.
Νυν δε με παρϝειπουσ' αλοχος μαλακοις ϝεπεεσσιν
Ὡρμησ' ες πολεμον· δοκεει δε μοι ὡδε και αυτῳ
Λωϊον εσσεσθαι· νικη δ' επαμειβεται ανδρας.
Αλλ' αγε νυν επιμεινον, Αϝρηϊα τευχεα δυω·
Η ιθ', εγω δε μετειμι· κιχησεσθαι δε σ' οϊω.
Ὡς φατο· τον δ' ουτι προσεφη κορυθαιολος Ἑκτωρ.
Τον δ' Ἑλενη μυθοισι προσηυδα μειλιχιοισι·
Δαερ εμειο, κυνος κακομηχανοφι, κρυοεσσης,
Ὡς μ' οφελ' ηματι τῳ, ὁτε με πρωτον τεκε μητηρ,

---

326. χολον τονδ' ενθεο θυμῳ. iram hanc intulisti animo: Optimè Hector causam ignaviæ minùs turpem suggerit, quo faciliùs fratrem in prælium reducat.

329. συ κεν. tu tum: Vulgò, συ δ' αν· sed κε per se nectit.

339. νικη δ' επαμειβεται ανδρας.

> Quondam etiam victis redit in præcordia virtus
> Victoresque cadunt. Æn. ii. 367.

344. κυνος κακομηχανοφι, κρυοεσσης. canis malorum originis, horrendæ: Helena convitia in se ingerit, ut odium levet. Vulgò, κακομηχανου, κρυοεσσης, sed vox est κρυοεις. Knightius, κακομηχανοϝο.

346. Οιχεσθαι προφερουσα. Ire rapiens: pro rapere.

Οιχεσθαι προφερουσα κακη ανεμοιο θυελλα
Εις ορος, η εις κυμα πολυφλοισβοιο θαλασσης·
Ενθα με κυμ᾽ απεϝρησε, παρος ταδε ϝεργα γενεσθαι.
Αυταρ επει ταδε γ᾽ ὡδε Θεοι κακα τεκμηραντο,
Ανδρος επειτ᾽ ωφελλον αμεινονος ειναι ακοιτις,
Ὁς ϝοιδει νεμεσιν τε και αισχεα πολλ᾽ ανθρωπων.
Τουτῳ δ᾽ ουτ᾽ αρ νυν φρενες εμπεδοι, ουτ᾽ αρ οπισσω
Εσσονται· τῳ κεν μιν επαυρησεσθαι οΐω.
Αλλ᾽ αγε νυν εισελθε, και ἑζεο τῳδ᾽ επι διφρῳ,
Δαερ, επει σε μαλιστα πονος φρενας αμφιβεβηκεν,
Εἱνεκ᾽ εμειο κυνος, και Αλεξανδρου ἑνεκ᾽ αρχης·
Οἱσιν επι Ζευς θηκε κακον ϝμορον, ὡς και οπισσω
Ανθρωποισι πελωμεθ᾽ αοιδιμοι εσσομενοισι.
Την δ᾽ ημειβετ᾽ επειτα ϝμεγας κορυθαιολος Ἑκτωρ·
Μη με καθιζ᾽, Ἑλενη, φιλεουσα περ, ουδε με πεισεις.
Ηδη γαρ μοι θυμος επεϝσυται, ὁϝρ᾽ επαμυνω
Τρωεσσ᾽, οἱ ϝμεγ᾽ εμειο ποθην απεοντος εχουσιν·
Αλλα συγ᾽ ορνυθι τουτον, επειγεσθω δε και αυτος,
Ὡς κεν μ᾽ εντοσθεν πολιος καταμαρψῃ εοντα.
Και γαρ εγων ες ϝοικον ελευσομαι, ὁϝρα ϝιδωμαι
Ϝοικηας, αλοχον τε φιλην, και νηπιον υἱον.
Ου γαρ ϝοιδ᾽, ει ετι σφιν ὑποτροπος ἱξομαι αυτις,
Η ηδη μ᾽ ὑπο χερσι Θεοι δαμοωσιν Αχαιων.
Ὡς αρα φωνησας απεβη κορυθαιολος Ἑκτωρ.
Αιψα δ᾽ επειθ᾽ ἱκανε δομους ευ ναιεταοντας,

---

348. απεϝρησε. abripuisset: ab αποϝρημι, Α. 356; vulgò, αποερσε, sed hæc forma postulatur, Φ. 283, 329.

351. Ὁς ϝοιδει. Qui nôrat: Vulgò, Ὁς ῥ᾽ ηδη· vide Α. 70.

356. Αλεξανδρου ἑνεκ᾽ αρχης. Paridis ob inceptum: ut Γ. 100. Alii, ατης· sed αϝατης esset, Α. 412. Knightius tres versus damnat, ut et 388, 389.

365. Και γαρ εγων ες ϝοικον ελευσομαι, ὁϝρα ϝιδωμαι. Etenim ego domum ibo, ut videam: Vulgò, οικον δε ελευσομαι, οφρ᾽ αν ιδωμαι· sed quatuor MSS. οφρα ιδωμαι habent, ut alibi passim. Malè Bentleius, ϝοικονδ᾽ εσελευσομαι, licèt cum MSS. nonnullis.

367. Ου γαρ ϝοιδ᾽. Non enim scio: Vulgò, Ου γαρ τ᾽ οιδ᾽.

Ουδ' εὑρ' Ανδρομαχην λευκωλενον εν ϝμεγαροισιν·
Αλλ' ἡγε ξυν παιδι και αμφιπολῳ εϋπεπλῳ
Πυργῳ εφεστηκει γοοωσα τε, μυρομενη τε.
Ἑκτωρ δ', ὡς ουκ ενδον αμυμονα τετμεν ακοιτιν,
Εστη επ' ουδον ιων, μετα δε δμωῃσιν εϝειπεν·
Ειδ' αγε μοι, δμωαι, νημερτεα μυθησασθε·
Πη εβη Ανδρομαχη λευκωλενος εκ ϝμεγαροιο;
Ηε πη ες γαλοων, η εινατερων εϋπεπλων,
Η ες Αθηναιης εξοιχεται, ενθα περ αλλαι
Τρωαδες ευπλοκαμοι δεινην Θεον ἱλασκονται;
Τον δ' αυτ' οτρηρη ταμιη προς μυθον εϝειπεν·
Ἑκτορ, επει μαλ' ανωγας αληθεα μυθησασθαι,
Ουτε πη ες γαλοων, ουτ' εινατερων εϋπεπλων,
Ουτ' ες Αθηναιης εξοιχεται, ενθα περ αλλαι
Τρωαδες ευπλοκαμοι δεινην Θεον ἱλασκονται·
Αλλ' επι πυργον εβη Ϝιλου ϝμεγαν, οὑνεκ' ακουσε
Τειρεσθαι Τρωας, ϝμεγα δε κρατος ειναι Αχαιων·
Ἡ μεν δη προς τειχος επειγομενη αφικανει,
Μαινομενῃ ϝεϝικυια· φερει δ' ἁμα παιδα τιθηνη.
Η ϝρα γυνη ταμιη· ὁ δ' απεϝσυτο δωματος Ἑκτωρ
Την αυτην ὁδον αυτις, εϋκτιμενας κατ' αγυιας·
Ευτε πυλας ἱκανε, διερχομενος ϝμεγα ϝαστυ,
Σκαιας, τῃ γ' αρ εμελλε διεξιεναι πεδιονδε,
Ενθ' αλοχος πολυδωρος εναντιη ηλθε θεουσα,
Ανδρομαχη, θυγατηρ ϝμεγαλητορος Ηετιωνος,
Ηετιων, ὁς εναιεν ὑπο Πλακῳ ὑληεσσῃ,

380. Τρωαδες ευπλοκαμοι. Trojanæ bene comatæ: Vulgò, Τρωαι εϋπλοκαμοι· vide Γ. 384. Knightius τροϝιδες edidit.

386. Αλλ' επι πυργον εβη Ϝιλου ϝμεγαν. Sed ad turrim ivit Ili magnam: Vulgò, μεγαν Ιλιου, quod in digamma peccat; Δ. 71. Multa loco ab Ilo, prisco rege, nominabantur, ut Ϝιλου σημα, Κ. 415, et urbs ipsa. Turris Trojæ ambigua esset, et vix dici potest. Heynius, Ϝιλιου αλλ' επι πυργον εβη μεγαν, proposuit.

395. Ανδρομαχη. Tenerum hoc inter Hectorem et Andromachen colloquium mirâ quâdam dulcedine totum poema conspergit. Hectorem abhinc amamus, et ingenti studio usque ad sepulturam prosequimur.

Θηβῃ Ὑποπλακιῃ, Κιλικεσσ᾽ ανδρεσσι ϝανασσων·
Του περ δη θυγατηρ εχεθ᾽ Ἑκτορι χαλκοκορυστῃ·
Ἡ ϝοι επειτ᾽ ηντησ᾽, ἁμα δ᾽ αμφιπολος κιεν αυτῃ,
Παιδ᾽ επι κολπον εχουσ᾽ αταλαφρονα, νηπιον αυτως,
Ἑκτοριδην αγαπητον, αλιγκιον αστερι καλῳ·
Τον ϝρ᾽ Ἑκτωρ καλεεσκε Σκαμανδριον, αυταρ οἱ αλλοι
Ϝαστυϝανακτ᾽· οιος γαρ εϝρυετο Ϝιλιον Ἑκτωρ.
Ητοι ὁ μεν ϝμειδησε ϝιδων ες παιδα σιωπῃ·
Ανδρομαχη δε ϝοι αγχι παριστατο δακρυχεουσα,
Εν τ᾽ αρα ϝοι φυ χειρι, ϝεπος τ᾽ εφατ᾽, εκ τ᾽ ονομαζε·
Δαιμονιε, φθισει σε το σον μενος, ουδ᾽ ελεαιρεις
Παιδα τε νηπιαχον, και εμ᾽ αϝμορον, ἡ ταχα χηρη
Σευ εσομαι· ταχα γαρ σε κατακτανεουσιν Αχαιοι,
Παντες εφορμηθεντες· εμοι δε κε κεδριον ειη
Σευ αφαμαρτουσῃ χθονα δυμεναι· ου γαρ ετ᾽ αλλη
Εσται θαλπωρη, επει αρ συγε ποτμον επισπῃς,
Αλλ᾽ αχε᾽· ουδε μοι εστι πατηρ και ποτνια μητηρ.
Ητοι γαρ πατερ᾽ αμον απεκτανε διος Αχιλλευς,
Εκ δε πολιν περσεν Κιλικων ευ ναιεταωσαν,
Θηβην ὑψιπυλον· κατα δ᾽ εκτανεν Ηετιωνα,
Ουδε μιν εξεναριξε· σεβασσατο γαρ τογε θυμῳ·
Αλλ᾽ αρα μιν κατεκηε συν εντεσι δαιδαλεοισιν,
Ηδ᾽ επι σημ᾽ εχεεν· περι δε πτελεας εφυτευσαν
Νυμφαι Ορεστιαδες, κουραι Διος αιγιοχοιο.
Οἱ δε μοι ἑπτα κασιγνητοι εσαν εν ϝμεγαροισιν,
Οἱ μεν παντες ὁμῳ κιον ηματιν Αϝιδος εισω·

---

412. επει αρ. postquam sanè: ita z. 426, et passim; vulgò, επει αν.

413. Αλλ᾽ αχεα. Sed dolores: Knightius versus septem et viginti damnat; qui quidem, si non Homeri sunt, at saltem cujusdam Homero majoris; ex linguâ tamen, quam nemo imitari potuit, suos esse constat.

414. πατερ᾽ αμον. patrem nostrum: id est, meum, et fratrum; forsitan tamen, πατερα μοι, legendum.

422. ὁμῳ κιον ηματιν Αϝιδος εισω. eodem ibant die Plutonis domum: Ita, ὁμη σορος, eadem urna, Ψ. 91, Δ. 437, Ο. 209, Ω. 57. Vulgò, ιῳ· sed ιος vox nihili est; forma est εἱς, ια, ἑν. Bentleius, ιῃ κιον ἡμερῃ.

Παντας γαρ κατεπεφνε ποδαρκης διος Αχιλλευς,
Βουσιν επ' ειλιποδεσσι και αργεννῃς οϊεσσι.
Μητερα δ', ἡ βασιλευεν ὑπο Πλακῳ ὑλησσῃ,
Την επει αρ δευρ' ηγαγ' ἁμ' αλλοισι κτεατεσσιν,
Αψ ὁγε την απελυσε, ϝλαβων απερεισι' αποινα·
Πατρος δ' εν ϝμεγαροισι βαλ' Αρτεμις ιοχεαιρα.
Ἑκτορ, αϝαρ συ μοι εσσι πατηρ και ποτνια μητηρ,
Ηδε κασιγνητος, συ δε μοι θαλερος παρακοιτης.
Αλλ' αγε νυν ελεαιρε, και αυτοθι μιμν' επι πυργῳ,
Μη παιδ' ορφανικον θειῃς, χηρην τε γυναικα·
Λαον δε στησον παρ' ερινεον, ενθα μαλιστα
Αμβατος εστι πολις, και επιδρομον επλετο τειχος·
Τρις γαρ τῃ γ' ελθοντες επειρησανθ' οἱ αριστοι,
Αμφ' Αιαντε δυω, και αγακλυτον Ιδομενηα,
Ηδ' αμφ' Ατρεϊδας, και Τυδεος αλκιμον υἱον·
Η που τις σφιν ενισπε θεοπροπιων εϋ ϝειδως,
Η νυ και αυτων θυμος εποτρυνει και ανωγει.
Την δ' αυτε προσεϝειπε ϝμεγας κορυθαιολος Ἑκτωρ·
Η και εμοι ταδε παντα μελει, γυναι· αλλα μαλ' αινως
Αιδεομαι Τρωας και Τρωαδας ἑλκεσιπεπλους,
Αι κε, κακος ὡς, νοσφιν αλυσκαζω πολεμοιο·
Ουδε με θυμος ανωγεν, επει ϝμαθον εμμεναι εσθλος
Αιει, και πρωτοισι μετα Τρωεσσι μαχεσθαι,
Αρνυμενος πατρος τε ϝμεγα κλεος, ηδ' εμον αυτου.
Ευ μεν γαρ τοδε ϝοιδα κατα φρενα και κατα θυμον,
Εσσεται ημαρ, ὁκεν ποτ' ολωλῃ Ϝιλιος ἱρη,
Και Πριαμος, και λαος εϋϝμελιω Πριαμοιο·
Αλλ' ου μοι Τρωων τοσσον μελει αλγος οπισσω,

---

424. Βουσιν επ' ειλιποδεσσι. Ad boves vinctis pedibus: id est, quorum pedes ligantur, ne nimiùm vagari possint. Hesychius, Ειλας, αγελας, ἢ, Ειλεα, αθλια, χαλινοι, δεσμοι, φιμοι, δερεα, et, Ειλιποδης, εν τῃ ελιγῃ τους ποδας εχων, habet. Huc quoque pertinent, Ιλλασιν, Ν. 572, ελλεδανοισι, Σ. 553, ευληρα, Ψ. 481, ιλαδον, Β. 93, et forsitan, ειλαρ, Η. 338. Alii, tortis pedibus, explicant.

441. Η και εμοι ταδε παντα μελει. Certè et mihi hæc omnia curæ sunt: Ex hoc etiam constat versus præcedentes Homericos esse.

Ουτ᾽ αυτης Ἑκαβης, ουτε Πριαμοιο ϝανακτος,
Ουτε κασιγνητων, οἱ κεν πολεες τε και εσθλοι
Εν κονιηθι πεσοιεν ὑπ᾽ ανδρασι δυσμενεεσσιν,
Ὁσσον σευ, ὁτε κεν τις Αχαιων χαλκοχιτωνων
Δακρυοεσσαν αγηται, ελευθερον ημαρ αποϝρας·
Και κεν εν Αργει εουσα, προς αλλης ἱστον ὑφαινοις·
Και κεν ὑδωρ φορεοις Μεσσηΐδος η Ὑπερειης,
Πολλ᾽ αϝεκαζομενη· κρατερη δ᾽ επικεισετ᾽ αναγκη·
Και ποτε τις ϝειπησι, ϝιδων κατα δακρυ χεουσαν,
Ἑκτορος ἥδε γυνη, ὁς αριστευεσκε μαχεσθαι
Τρωων ἱπποδαμων, ὁτε Fιλιον αμφεμαχοντο.
Ὡς ποτε τις ϝερεει· σοι δ᾽ αυ νεον εσσεται αλγος
Χητεϊ τοιουδ᾽ ανδρος, αμυνειν δουλιον ημαρ.
Αλλα με τεθνειωτα χυτη κατα γαια καλυπτοι,
Πριν γ᾽ ετι σης τε βοης, σου θ᾽ ἑλκηθμοιο πυθεσθαι.
Ὡς ϝειπων, ϝου παιδος ορεξατο φαιδιμος Ἑκτωρ.
Αψ δ᾽ ὁ παϊς προς κολπον εϋζωνοιο τιθηνης
Εκλινθη ιαχων, πατρος φιλου οψιν ατυχθεις,
Ταρβησας χαλκον τ᾽, ηδε ϝλοφον ἱππιοχαιτην,
Δεινον απ᾽ ακροτατης κορυθος νευοντα νοησας·
Εκ δ᾽ εγελασσε πατηρ τε φιλος, καιποτνια μητηρ.
Αυτικ᾽ απο κρατος κορυθ᾽ εϝλετο φαιδιμος Ἑκτωρ,
Και την μεν κατεθηκεν επι χθονι παμφανοωσαν.
Αυταρ ὁ ϝον φιλον υἱον επει κυσε, πηλε τε χερσιν,
Fειπεν επευξαμενος Διϊ τ᾽, αλλοισιν τε Θεοισι·
Ζευ, αλλοι τε Θεοι, δοτε δη και τονδε γενεσθαι
Παιδ᾽ εμον, ὡς και εγω περ, αριπρεπεα Τρωεσσιν,
Ὡδε βιην τ᾽ αγαθον, και ϝαστεϊ ϝιφι ϝανασσειν·

---

448. ὁκεν ποτ᾽ ολωλη. quando olim perierit: Vulgò, ὁταν· vide Δ. 164.

457. Μεσσηΐδος η Ὑπερειης. Fontes hi nobiles Thessaliæ erant; dicitur quidem Andromache Pyrrho, Achillis filio, obtigisse. Valer. Flac. iv. 374, Strabo, Virg. Æn. iii. 294.

478. και ϝαστεϊ ϝιφι ϝανασσειν. et urbi fortiter regnare: ad nomen Fαστυϝαναξ adludit; vulgò, Ιλιῳ, quod non nisi vocis ϝαστεϊ glossa est, et in metrum peccat. Knightius idcirco versum damnat.

Και ποτε τις ϝειπησι, Πατρος δ' ὁγε πολλον αμεινων,
Εκ πολεμου ανιοντα· φεροι δ' εναρα βροτοεντα,
Κτεινας δηϊον ανδρα, χαρειη δε φρενα μητηρ.
῾Ως ϝειπων, αλοχοιο φιλης εν χερσιν εθηκε
Παιδ' ϝεον· ἡ δ' αρα μιν κηωδεϊ δεξατο κολπῳ,
Δακρυοεν γελασασα· ποσις δ' ελεησε νοησας,
Χειρι τε μιν κατεϝρεξε, ϝεπος τ' εφατ', εκ τ' ονομαζε·
Δαιμονιη, μη μοι λιην ακαχιζεο θυμῳ·
Ου γαρ τις μ' ὑπερ αισαν ανηρ Aϝιδι προϊαψει.
Fμοιραν δ' ουτινα φημι πεφυγμενον εμμεναι ανδρων,
Ου κακον, ουδε μεν εσθλον, επει τα πρωτα γενηται.
Αλλ' ες ϝοικον ιουσα τα σ' αυτης ϝεργα κομιζε,
῾Ιστον τ', ηλακατην τε, και αμφιπολοισι κελευε
Fεργον εποιχεσθαι· πολεμος δ' ανδρεσσι μελησει
Πασιν, εμοι δε μαλισθ', ὁι Fιλιῳ εγγεγαασιν.
᾿Ως αρα φωνησας κορυθ' εϝλετο φαιδιμος ῞Εκτωρ
῾Ιππουριν· αλοχος δε φιλη ϝοικονδε βεβηκει
Εντροπαλιζομενη, θαλερον κατα δακρυ χεουσα·
Αιψα δ' επειθ' ἱκανε δομους ευ ναιεταοντας

---

479. Και ποτε τις ϝειπησι. Et quondam aliquis dicet, Patre verò hic multùm melior, E bello redeuntem: Ita, πολλοι δε μιν εσθλον εϝειπον, Od. τ. 334; εϝειπον passim accusativum regit. Dawesius ϝειποι legendum censet, et primam in πατρος non corripi posse.

486. μη μοι λιην. ne mihi omnino: Vulgò, μη μοι τι λιην· sed λιην primam passim producit, et nusquam corripit, nisi ubi τι antecedat, et, ut hic, abundet, præter I. 229, ubi facilis emendatio.

490. τα σ' αυτης. tua ipsius: id est, τα σα αυτης· vulgò male, τα σαυτης.

493. οἱ Fιλιῳ εγγεγαασιν. qui in Trojâ nascuntur: vulgò, τα Ιλι Knightius versum damnat.

496. Εντροπαλιζομενη. Sæpe se convertens: nempe ut Hectorem aspiceret.

500. γοαν ῞Εκτορα. lugebant Hectorem: pro εγοησαν, a γοημι, unde γοημεναι, Ξ. 502; sic εκταν a κτημι, et εβαν a βημι. Vulgò, γοον, contra grammaticam, vel, γοων, contra metrum. Knightius quidem tres versus damnat, Clarkius contrà; "Hâc quidem sententiâ nihil unquam fuit, ad commovendos affectus, neque excogitatum exquisitiùs neque elegantiùs dictum."

501. Ουκετι γαρ μιν εφασκον. Nondum enim eum dicebant: Vulgò, Ου γαρ μιν ετ' εφαντο, quod bis in metrum peccat. Vide εφασκον, N. 100, Τ. 297.

Ἑκτορος ανδροφονοιο· κιχησατο δ' ενδοθι πολλας
Αμφιπολους, τῃσιν δε γοον πασῃσιν ενωρσεν.
Αἱ μεν ετι ζωον γοαν Ἑκτορα ϝῳ ενι ϝοικῳ·
Ουκετι γαρ μιν εφασκον ὑποτροπον εκ πολεμοιο
Ἱξεσθαι, προφυγοντα μενος και χειρας Αχαιων.
 Ουδε Παρις δηθυνεν εν ὑψηλοισι δομοισιν·
Αλλ' ὁγ', επει κατεδυ κλυτα τευχεα ποικιλα χαλκῳ,
Ϝσευατ' επειτ' ανα ϝαστυ, ποσι κραιπνοισι πεποιθως.
Ὡς δ' ὁτε τις στατος ἱππος, ακοστησας επι φατνῃ,
Δεσμον αποϝρηξας, πεδιοιο θεησι κροαινων,
Ειωθως λοεεσθαι εὐϝροοφιν ποταμοιο,
Κυδιοων· ὑψου δε καρη εχει, αμφι δε χαιται
Ωμοις αΐσσονται· ὁ δ' αγλαΐηθι πεποιθως,
Ϝριμφα ϝε γουνα φερει μετα ϝηθεα και νομον ἱππων·
Ὡς υἱος Πριαμοιο Παρις κατα Περγαμου ακρης
Τευχεσι παμφαινων, ὡς τ' Ηλεκτωρ, εβεβηκει

---

506. Ὡς δ' ὁτε τις στατος ἱππος. Ut verò quando aliquis stabulatus equus, hordei plenus ad præsepe, Vinclum perfringens, per planitiem currat pulsans: Similitudo hæc pulcherrima iterum occurrit, O. 263; suspicioni tamen obvia est; voces στατος, ακοστησας, et κροαινων, non alibi occurrunt.

Qualis ubi abruptis fugit præsepia vinclis
Tandem liber equus, campoque potitus aperto,
Aut ille in pastus, armentaque tendit equarum,
Aut assuetus aquæ perfundi flumine noto
Emicat, arrectisque fremit cervicibus altè
Luxurians; luduntque jubæ per colla, per armos. Æn. xi. 492.

507. πεδιοιο θεησι. Ita, πεδιοιο θεουσαι, Δ. 244. MSS. θειει, et θειῃ· sed θεω non alibi producitur; vide K. 437. Potuit εθεεν, vel πρησσει, scripsisse.

508. Ειωθως λοεεσθαι εὐϝροοφιν ποταμοιο. Assuetus lavari bene fluente flumine: Vulgò, λουεσθαι εὐῤῥειος ποταμοιο· λοεω tamen ita contrahi nequit, E. 6, et εὐῤῥειος vox nihili est, quæ in nullo alio casu occurrit, nec a themate ullo deduci potest; εὐϝροος legitur, H. 329, Φ. 130, et analogiam sequitur.

510. ὁ δ' αγλαΐηθι. is verò nobilitate confisus: Vulgò, αγλαΐηφι· B. 418.

511. Ϝριμφα ϝε γουνα φερει. Rapidè se genua fert: id est, genua ejus. Ita, ϝε οφθαλμους, Λ. 249, Αγαμεμνονι θυμῳ, A. 24. Zenodotus, et Bentleius ἑα γουνα voluerunt, sed nihil opus. Alii, genua eum ferunt, vertunt; sed malè cum antecedentibus concordat. μετα ϝηθεα. versus receptus, et pascuum equorum: Vulgò, μετα τ' ηθεα· sed ϝηθεα postulatur, Od. ξ. 411, et Hesychius Γηθια, ηθη, habet.

513. ὡς τ' Ηλεκτωρ· veluti Elector: nomen Solis, forsitan ob colorem

Καγχαλοων, ταχεες δε ποδες φερον· αιψα δ' επειτα
Ἑκτορα διον ετετμεν αδελφεον, ευτ' αρ εμελλε
Στρεψεσθ' εκ χωρης, ὁθι ϝῃ οαριζε γυναικι.
Τον προτερος προσεϝειπεν Αλεξανδρος θεοϝειδης·
Ηθει', η μαλα δη σε και εϝσυμενον κατεϝρυκω,
Δηθυνων, ουδ' ηλθον εναισιμον, ὡς εκελευες.
Τον δ' απαμειβομενος προσεφη κορυθαιολος Ἑκτωρ·
Δαιμονι', ου κεν τις τοι ανηρ, ὁς εναισιμος ειη,
Ϝεργον ατιμησειε μαχης, επει αλκιμος εσσι.
Αλλα ϝεκων μεθιεῖς τε, και ουκ εθελεις· το δ' εμον κῆρ
Αχνυται εν θυμῳ, ὁθ' ὑπερ σεθεν αισχε' ακουω
Προς Τρωων, οἱ εχουσι πολυν πονον εἱνεκα σειο.
Αλλ' ιομεν· τα δ' οπισθεν αρεσσομεθ', αι κε ποτε Ζευς
Δωῃ, επουρανιοισι Θεοις αιειγενετῃσι
Κρητηρα στησασθαι ελευθερον εν ϝμεγαροισιν,
Εκ Τροΐης ελασαντες εϋκνημιδας Αχαιους.

---

electro similem. Nomina cognata sunt, Ηλεκτρα, et Ηλεκτρυων. Sic, Ηλεκτωρ Ὑπεριων, Τ. 398.

523. μεθιεῖς. cessas : præsens indicativi a μεθιημι, vel μεθιεω.

529. ελασαντες. pellentes: ad αρεσσομεθα respicit; alii, ελασαντας.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Η.

ARGUMENTA.

Ἑκτορος και Αιαντος μονομαχια,
Ητα, ἑ μεγας Αιας οιος μαχεθ' Ἑκτορι διῳ.

1. Paris, Hector, et Glaucus, Menesthium, Eioneum, et Iphin cædunt.—17. Minervæ et Apollinis consilio, 44, et Heleni monitu, Hector Græcorum principes provocat.—92. Dubitantibus illis, Mene sese offert.—123. Nestor principes increpat.—161. Novem sese offer —181. Ajax major sortitur.—206. In prœlium itur.—273. Nox prœl dirimit, et donis datis disceditur.—324. Nestor mortuos sepelire, et ca munimentis cingere suadet.—345. Antenor Helenam reddere horta 354, sed Paris recusat.—381. Proximo die, induciis factis, mor cremant, et Græci murum ædificant.—443. Ægrè fert Neptunus.— Opere perfecto, Jove male ominante, somnum capiunt.

‛ΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Η.

‛ΩΣ ϝειπων, πολιος εξεϝσυτο φαιδιμος ‛Εκτωρ·
Τῳ δ᾽ αμ᾽ Αλεξανδρος κι᾽ αδελφεος· εν δ᾽ αρα θυμῳ
Αμφοτεροι μεμασαν πολεμιζειν ηδε μαχεσθαι.
‛Ως δε Θεος ναυτῃσιν εϝελδομενοισιν εδωκεν
Ουρον, επει κε καμωσιν εΰξεστης ελατῃσι
Ποντον ελαυνοντες, καματῳ δ᾽ ὑπο γυια λελυνται·
‛Ως αρα τω Τρωεσσιν εϝελδομενοισι φανητην.
Ενθ᾽ εϝλετην, ὁ μεν υἱον Αϝρηϊθοοιο ϝανακτος,
Αρνῃ ναιεταοντα Μενεσθιον, ὁν κορυνητης
Γειναт᾽ Αϝρηϊθοος και Φιλομεδουσα βοωπις·
‛Εκτωρ δ᾽ Ηϊονηα βαλ᾽ εγχεϊν οξυοεντι
Αυχεν᾽ ὑπο στεφανης εΰχαλκου· λυσε δε γυια.
Γλαυκος δ᾽, ‛Ιππολοχοιο παϊς, Λυκιων αγος ανδρων,
Ϝιφινοον βαλε δουρι, κατα κρατερην ὑσμινην,
Δεξιαδην, ἱπποιϊν επαλμενον ωκειαων,
Ωμον· ὁ δ᾽ εξ ἱππων χαμαδις πεσε· λυντο δε γυια.
Τους δ᾽ ὡς ουν ενοησε Θεα γλαυκωπις Αθηνη
Αργειους ολεκοντας ενι κρατερῃ ὑσμινῃ,
Βη ϝρα κατ᾽ Ουλυμποιο καρηνων αϊξασα

---

1. ‛Ως ϝειπων, πολιος εξεϝσυτο. Ita dicens, urbe erupit: Vulgò, πυλεων· sed genitivus in εων non alibi duas syllabas efficit, præter Μ. 240.

9. Μενεσθιον. Seniorem fuisse oportet, cùm pater ejus Areithous, Nestore jam puero, mortuus sit; Η. 142.

10. Φιλομεδουσα. Philomedusa: Primam eâdem ratione ac Διογενης producit; Λ. 337. Heynius ex MSS. nonnullis, Φυλομεδουσα, edidit.

15. ἱπποιϊν επαλμενον. in currum salientem: ita, απο τοιϊν εσυλα, Λ. 110. Vulgò male, ἱππων επιαλμενον, legitur, cùm alibi semper επαλμενος sit, Η. 260, et επι non elidi nequeat; Α. 572.

Ϝιλιον εις ἱερην· τῃ δ᾽ αντιος ωρνυτ᾽ Απολλων,
Περγαμου εκκατιων, Τρωεσσι δε βουλετο νικην.
Αλληλοισι δε τωγε συναντεσθην παρα φηγῳ.
Την προτερος προσεϝειπε ϝαναξ, Διος υἱος, Απολλων·
Τιπτε συ δ᾽ αυ μεμαυια, Διος θυγατερ ϝμεγαλοιο,
Ηλθες απ᾽ Ουλυμποιο, ϝμεγας δε σε θυμος ανηκεν;
Η ἱνα δη Δαναοισι μαχης ἑτεραλκεα νικην
Δωῃς; ου γὰρ Τρωας απολλυμενους ελεαιρεις.
Αλλ᾽ ει μοι τι πιθοιο, το κεν πολυ κερδιον ειη·
Νυν μεν παυσωμεν πολεμον και δηϊοτητα,
Σημερον· ὑστερον αυτε μαχησοντ᾽, εισοκε τεκμωρ
Ϝιλιου εὑρωσιν· επει ὡς φιλον επλετο θυμῳ
Ὑμιν αθανατῃσι, διαπραθεειν τοδε ϝαστυ.
Τον δ᾽ αυτε προσεϝειπε Θεα γλαυκωπις Αθηνη·
Ὡδ᾽ εστω, Ἑκαϝεργε· τα γαρ φρονεουσα και αυτη
Ηλθον απ᾽ Ουλυμποιο, μετα Τρωας και Αχαιους·
Αλλ᾽ αγε, πως μεμονας πολεμον καταπαυσεμεν ανδρων;
Την δ᾽ αυτε προσεϝειπε ϝαναξ, Διος υἱος, Απολλων·
Ἑκτορος ορσωμεν κρατερον μενος ἱπποδαμοιο,
Ει τινα που Δαναων προκαλεσσεται οιοθεν οιος
Αντιβιον μαχεσασθαι εν αινῃ δηϊοτητι·
Οἱ δε κ᾽ αγασσαμενοι χαλκοκνημιδες Αχαιοι
Οιον επορσειαν πολεμιζειν Ἑκτορι διῳ.
Ὡς εφατ᾽· ουδ᾽ απιθησε Θεα γλαυκωπις Αθηνη.
Των δ᾽ Ἑλενος, Πριαμοιο φιλος παις, συνθετο θυμῳ
Βουλην, ἡ ϝρα Θεοισιν εϝανδανε μητιοωσι·
Στη δε παρ᾽ Ἑκτορ᾽ ιων, και μιν προς μυθον εϝειπεν·

---

21. Περγαμου εκκατιων. E Pergamo descendens: Vulgò, εκκατιδων, contra et metrum et sensum; vide Δ. 508.

26. Η ἱνα δη. An ut certè: Knightius quinque versus damnat, 26, 27, 30, 31, 32.

27. Δωῃς; ου γαρ Τρωας. Des? non enim Trojanos pereuntes miseraris: Vulgò, Δῳς· επει ουτοι Τρωας· sed δωῃς ita contrahi nequit; Α. 129.

39. Ει τινα που. Si quendam modò: ita Ι. 371. Vulgò, Ην τινα που· sed ην vox non est Homerica; potes etiam, Ει κε τινα, legere, sed particula non postulatur.

47. υἱ. fili: Vulgò, υἱε· vide Α. 489.

῾Εκτορ, υἱ Πριαμοιο, Διϊ μητιν αταλαντε,
Η ϝρα νυ μοι τι πιθοιο; κασιγνητος δε τοι ειμι.
Αλλους μεν καθισον Τρωας και παντας Αχαιους·
Αυτος δε προκαλεσσαι, Αχαιων ὁστις αριστος,
Αντιβιον μαχεσασθαι εν αινῃ δηϊοτητι·
Ου γαρ πω τοι ϝμοιρα θανειν και ποτμον επισπειν·
῾Ως γαρ εγω ϝοπ᾽ ακουσα Θεων αιειγενεταων.
῾Ως εφαθ᾽· ῾Εκτωρ δ᾽ αυτ᾽ εχαρη ϝμεγα, μυθον ακουσας·
Και ϝρ᾽ ες μεσσον ιων, Τρωων ανεεργε φαλαγγας,
Μεσσου δουρος εϝλων· τοι δ᾽ ἱδρυνθησαν ἁπαντες.
Καδδ᾽ Αγαμεμνων εἱσεν εϋκνημιδας Αχαιους·
Καδδ᾽ αρ Αθηναιη τε και αργυροτοξος Απολλων
῾Εζεσθην, ορνισι ϝεϝοικοτες αιγυπιοισι,
Φηγῳ εφ᾽ ὑψηλῃ πατρος Διος αιγιοχοιο,
Ανδρασι τερπομενοι· των δε στιχες εἱατο πυκναι,
Ασπισι και κορυθεσσι και εγχεσι πεφρικυιαι.
Οἱη δε Ζεφυρωφιν εχευατο ποντον επι φριξ
Ορνυμενοιο νεον, μελανει δε τε ποντος ὑπ᾽ αυτης·
Τοιαι αρα στιχες εἱατ᾽ Αχαιων τε Τρωων τε
Εν πεδιῳ· ῾Εκτωρ δε μετ᾽ αμφοτεροισιν εϝειπε·
Κεκλυτε μευ, Τρωες και εϋκνημιδες Αχαιοι,
῾Ως ϝειπω τα με θυμος ενι στηθεσσι κελευει.
῾Ορκια μεν Κρονιδης ὑψιζυγος ουκ ετελεσσεν,
Αλλα κακα φρονεων τεκμαιρεται αμφοτεροισιν,
Εισοκεν η ὑμεις Τροϊην ευπυργον εϝλητε,
Η αυτοι παρα νηυσι δαμειετε ποντοποροισιν.
῾Υμιν μεν παρεασιν αριστηες Παναχαιων·

---

63. Οἱη δε Ζεφυρωφιν εχευατο. Qualis verò Zephyri funditur super pontum horror: Vulgò, Ζεφυροιο· vide Δ. 276, Β. 621.

68. ῾Ως ϝειπω. Ut dicam: Vulgò, Οφρ᾽ ειπω, quod in digamma peccat; facillimum remedium duxi ὡς substituere. Bentleius, Οφρ᾽ αυδῶ, proposuit; Knightius, ὀφρα ϝεπω. Simili emendatione egent, Η. 349, 369, Θ. 6, Τ. 102.

72. δαμειετε. domemini: Malè Clarkius pro δαμειητε poni censet, cùm subjunctivus antiquus sit; Α. 26.

73. ῾Υμιν μεν παρεασιν. Vobis quidem adsunt: Vulgò, γαρ εασιν, quod loco non convenit. Malè Aristarchus, ῾Υμιν δ᾽εν γαρ εασιν, licèt Knightius ediderit.

Των νυν ὁντινα θυμος εμοι μαχεσασθαι ανωγει,
Δευρ' ιτω εκ παντων, προμος εμμεναι Ἑκτορι διῳ.
Ὡδε δε μυθεομαι, Ζευς δ' ἡμιν μαρτυρος εστω·
Ει μεν κεν κεινος με ϝελῃ ταναηκεϊ χαλκῳ,
Τευχεα συλησας, φερετω κοιλας επι νηας,
Σωμα δε ϝοικαδ' εμον δομεναι παλιν, ὁϝρα πυρος με
Τρωες και Τρωων αλοχοι λελαχωσι θανοντα.
Ει δε κ' εγω τον εϝλω, δωῃ δε μοι ευχος Απολλων,
Τευχεα συλησας, οισω ποτι Ϝιλιον ἱρην,
Και κρεμοω ποτι νηον Απολλωνος ἑκατοιο·
Τον δε νεκυν επι νηας εϋϝσελμους αποδωσω,
Ὁϝρα ϝε ταρχυσωσι καρηκομοωντες Αχαιοι,
Σημα τε ϝοι χευσωσιν επι πλατει Ἑλλησποντῳ.
Και ποτε τις ϝειπησι και οψιγονων ανθρωπων,
Νηϊ πολυκληϊδι πλεων επι ϝοινοπα ποντον·
Ανδρος μεν τοδε σημα παλαι κατατεθνηωτος,
Ὁν ποτ' αριστευοντα κατεκτανε φαιδιμος Ἑκτωρ·
Ὡς ποτε τις ϝερεει· το δ' εμον κλεος ουποτ' ολειται.
Ὡς εφαθ'· οἱ δ' αρα παντες ακην εγενοντο σιωπῃ·
Αιδεσθεν μεν ανηνασθαι, δεισαν δ' ὑποδεχθαι.
Οψε δε δη Μενελαος ανιστατο, και μετεϝειπε,
Νεικει ονειδιζων, ϝμεγα δε στοναχιζετο θυμῳ·
Ω μοι, απειλητηρες, Αχαιΐδες, ουκετ' Αχαιοι·
Η μεν δη λωβη ταδε γ' εσσεται αινοθεν αινως,

---

76. Ζευς δ' ἡμιν μαρτυρος εστω. Jupiter verò nobis testis sit: Vulgò, Ζευς δ' αμμ' επιμαρτυρος εστω· sed non alibi in Iliade, aut αμμι eliditur, aut επιμαρτυρος legitur. Vide Γ. 300, Α. 338.

77. Ει μεν κεν κεινος με ϝελῃ. Si quidem tum ille me occidat: vulgò, Ει μεν κεν εμε κεινος ἑλῃ, metro imperfecto.

80. λελαχωσι. sortiri faciant: sæpe in sensu activo legitur.

81. Ει δε κ' εγω τον εϝλω. Si verò tum ego hunc occidam: Forsitan, ϝε ϝελω.

86. χευσωσιν. aggerant: terra enim super tumulum fundebatur. Vide Γ. 270.

95. Νεικει. Knightius versus 95, 105, et 112 damnat.

100. ακλεες αυτως. ingloriosè incassum: neutrum pro adverbio, ut passim.

Ει μη τις Δαναων νυν Ἑκτορος αντιος ειϲιν.
Αλλ' ὑμεις μεν παντες ὑδωρ και γαια γενοισθε,
Ἡμενοι αυθι ϝεκαστοι ακηριοι, ακλεες αυτως·
Τῳ δ' επ' εγων αυτος θωρηξομαι· αυταρ ὑπερθεν
Νικης πειρατ' εχονται εν αθανατοισι Θεοισιν.
Ὡς αρα φωνησας κατεδυσατο τευχεα καλα.
Ενθα κε τοι, Μενελαε, φανη βιοτοιο τελευτη
Ἑκτορος εν παλαμῃσιν, επει πολυ φερτερος ηεν·
Ει μη αναϊξαντες εϝλον βασιληες Αχαιων·
Αυτος τ' Ατρεϊδης, ευρυκρειων Αγαμεμνων,
Δεξιτερην ϝελε χειρα, ϝεπος τ' εφατ', εκ τ' ονομαζεν·
Αφραινεις, Μενελαε Διοτρεφες· ουδε τι σε χρη
Ταυτης αφροσυνης· ανα δ' ισχεο, κηδομενος περ,
Μηδ' εθελ' εξ εριδος σευ αμεινονι φωτι μαχεσθαι,
Ἑκτορι Πριαμιδῃ, τον τε στυγεουσι και αλλοι.
Και δ' Αχιλευς τουτῳ γε μαχῃ ενι κυδιανειρῃ
Ϝεϝριγ' αντιβολησαι, ὁ περ σεο πολλον αμεινων.
Αλλα συ μεν νυν ἱζευ, ιων μετα ϝεθνος ἑταϝρων·
Τουτῳ δε προμον αλλον αναστησουσιν Αχαιοι.
Ει περ αδειης τ' εστι, και ει μοθου εστ' ακορητος,
Φημι μιν ασπασιως γουυ καμψειν, αι κε φυγησι
Δηϊου εκ πολεμοιο και αινης δηϊοτητος.
Ὡς ϝειπων παρεπεισεν αδελφεοφι φρενας ἡρως,
Αισιμα παρϝειπων· ὁ δ' επειθετο· του μεν επειτα

---

101. Τῳ δ' επ' εγων. Eum verò contra ego: Vulgò, Τῳδε δ' εγων· sed præpositio postulatur.

108. Δεξιτερην ϝελε χειρα. Dextram prehendit manum: ita Ξ. 137. Vulgò, Δεξιτερης ἑλε χειρος, quod tantundem est, sed ϝεπος digamma postulat.

114. Ϝεϝριγε. Pavet: Ita fingit ad fratrem suadendum. Vulgò, Ερῥιγε.

117. Ει περ αδειης τ' εστι. Si tamen impavidusque est: Veram formam αδϝειης fuisse opinor, cùm prima producatur, Θ. 423, Φ. 481. Vide Α. 33, 515. Knightius tres versus damnat.

118. γουυ καμψειν. genu flexurum: Fugientes enim tensum habent genu, sedentes flexum: lætè igitur, ait, post fugam sedebit: Porphyr. Q. H. 22. Alii, Diis precando genu flexurum, interpretantur.

Γηθοσυνοι θεραποντες απ' ωμων τευχε' εfλοντο.
Νεστωρ δ' Αργειοισιν ανισтατο και μετεfειπεν·
Ω ποποι, η fμεγα πενθος Αχαιΐδα γαιαν ἱκανει·
Η κε fμεγ' οιμωξειε γερων ἱππηλατα Πηλευς,
Εσθλος Μυρμιδονων βουληφορος ηδ' αγορητης,
Ὁς ποτε μ' εfρομενος fμεγ' εγηθεε fῳ ενι fοικῳ,
Παντων Αργειων fερεων γενεην τε τοκον τε.
Τους νυν ει πτωσσοντας ὑφ' Ἑκτορι παντας ακουσαι,
Πολλα κεν αθανατοισι φιλας ανα χειρας αειραι,
Θυμον απο μελεων δυναι δομον Αfιδος εισω.
Αι γαρ, Ζευ τε πατερ, και Αθηναιη, και Απολλον,
Ἡβῷμ', ὡς ὁτ' επ' ωκυfροῳ Κελαδοντι μαχοντο
Αγρομενοι Πυλιοι τε και Αρκαδες εγχεσιμωροι,
Φειας παρ τειχεσσιν, Ιαρδανου αμφι fρεεθρα·
Τοισι δ' Ερευθαλιων προμος ἱστατο, fισοθεος φως,
Τευχε' εχων ωμοισιν Αfρηϊθοοιο fανακτος,
Διου Αfρηϊθοου, τον επικλησιν Κορυνητην
Ανδρες κικλησκον, καλλιζωνοι τε γυναικες,
Οὑνεκ' αρ ου τοξοισι μαχεσκετο, δουρι τε μακρῳ,
Αλλα σιδηρειῃ κορυνῃ fρηγνυσκε φαλαγγας.
Τον Λυκοοργος επεφνε δολῳ, ουτι κρατεϊ γε,
Στεινωπῳ εν ὁδῳ, ὁθ' αρ ου κορυνη fοι ολεθρον
Χραισμε σιδηρειη· πριν γαρ Λυκοοργος ὑποφθας
Δουρι μεσον περονησεν· ὁ δ' ὑπτιος ουδει ερεισθη·
Τευχεα τ' εξεναριξε, τα fοι πορε χαλκεος Αfρης·
Και τα μεν αυτος επειτ' εφορει μετα μωλον Αfρηος.
Αυταρ επει Λυκοοργος ενι fμεγαροισιν εγηρα,
Δωκε δ' Ερευθαλιωνι, φιλῳ θεραποντι, φορηναι·

---

128. fερεων. cùm dixerim: Ita Knightius; nominativus sæpe absolut ponitur; vide B. 335, 353, Z. 529, K. 437, 547, Π. 854, et ita explica A. 171. Potest etiam ad Peleum referri; ut sit, recensens; id est, ips recensens, et me interrogans; horum enim pleraque Peleo innotuissent, e minùs nota Nestorem interrogando supplere voluisset.

142. Τον. Knightius octo versus damnat, quia Areithoi filius sene esset; H. 8.

150. Του fρ' ὁγε. Ejus sanè ille: Vulgò, Του ὁγε.

Του ϝρ' ὁγε τευχε' εχων προκαλιζετο παντας αριστους·
Οἱ δε μαλ' ετρομεον και εδειδισαν, ουδε τις ετλη·
Αλλ' εμε θυμος ανηκε πολυτλημων πολεμιζειν
Θαρσεϊ ϝῳ· γενεῃ δε νεωτατος εσκον ἁπαντων·
Και μαχομην ϝοι εγω, δωκεν δε μοι ευχος Αθηνη.
Τον δη μηκιστον και καρτιστον κτανον ανδρα·
Πολλος γαρ τις εκειτο παρηορος ενθα και ενθα.
Ειθ' ὡς ἡβαοιμι, βιη δε μοι εμπεδος ειη,
Τῳ κε ταχ' αντησειε μαχης κορυθαιολος Ἑκτωρ,
Ὑμεων δ' οἱ περ εασιν αριστηες Παναχαιων,
Ουδ' οἱ προφρονεως μεμαθ' Ἑκτορος αντιον ελθειν.
Ὡς νεικεσσ' ὁ γερων· οἱ δ' εννεα παντες ανεσταν·
Ωρτο πολυ πρωτος ϝρα ϝαναξ ανδρων Αγαμεμνων·
Τῳ δ' επι Τυδεϊδης ωρτο κρατερος Διομηδης·
Τοισι δ' επ' Αιαντες, θουριν επιϝειμενοι αλκην·
Τοισι δ' επ' Ιδομενευς, και οπαων Ιδομενηος
Μηριονης, αταλαντος Ενυαλιῳ βροτολοιγῳ·
Τοισι δ' επ' Ευρυπυλος, Ευαιμονος αγλαος υἱος·
Αν δε Θοας Ανδραιμονιδης, και διος Οδυσσευς.
Παντες αρ οἱγ' εθελον πολεμιζειν Ἑκτορι διῳ.
Τοις δ' αυτοις μετεϝειπε Γερηνιος ἱπποτα Νεστωρ·
Κληρῳ νυν πεπαλαχθε διαμπερες, ὁς κε λαχησιν·
Οὑτος γαρ δη ονησει εϋκνημιδας Αχαιους·
Και δ' αυτος ϝον θυμον ονησεται, αι κε φυγησι
Δηϊου εκ πολεμοιο και αινης δηϊοτητος.
Ὡς εφαθ'· οἱ δε κληρον εσημηναντο ϝεκαστος,
Εν δ' εβαλον κυνεῃ Αγαμεμνονος Ατρεϊδαο.
Λαοι δ' ηρησαντο, Θεοισι δε χειρας ανεσχον·

---

156. παρηορος. extensus: ita, παρηερθη, Π. 341. Plerumque equum tertium denotat.

157. ἡβαοιμι. juvenis essem: Ita, πειναων, Γ. 25. Vulgò, ἡβωοιμι· verbum tamen ἡβαω, non ἡβωω, est, ut, ἡβῳμι, Η. 133, ἡβων, Μ. 382, ἡβησῃ, Od. α. 41. Saltem ἡβωωμι esset. Vide Β. 686.

162. πρωτος ϝρα ϝαναξ. primus sanè rex: ita Ε. 15, Ξ. 511. Vulgò, πρωτος μεν, quod tantundem est, sed in digamma peccat.

166. Μηριονης. Vide Β. 651.

Ὡδε δε τις ϝειπεσκε, ϝιδων εις ουρανον ευρυν·
Ζευ πατερ, η Αιαντα λαχειν, η Τυδεος υἱον,
Η αυτον βασιληα πολυχρυσοιο Μυκηνης.
Ὡς αρ εφαν· παλλεν δε Γερηνιος ἱπποτα Νεστωρ·
Εκ δ' εθορε κληρος κυνεης, ὁν αρ ηθελον αυτοι,
Αιαντος· κηρυξ δε φερων αν' ὁμιλον ἁπαντη,
Δειξ' ενδεξια πασιν αριστηεσσιν Αχαιων.
Οἱ δ' ου γινωσκοντες απηνηναντο ϝεκαστος.
Αλλ' ὁτε δη τον ἱκανε, φερων αν' ὁμιλον ἁπαντη,
Ὁς μιν επιγραψας κυνεῃ βαλε, φαιδιμος Αιας,
Ητοι ὑπεσχεθε χειρ'· ὁ δ' αρ εμβαλεν, αγχι παραστας·
Γνω δε κληρου σημα ϝιδων, γηθησε δε θυμῳ·
Τον μεν παρ ποδ' εϝον χαμαδις βαλε, φωνησεν τε·
Ω φιλοι, ητοι κληρος εμος, χαιρω δε και αυτος
Θυμῳ· επει δοκεω νικησεμεν Ἑκτορα διον.
Αλλ' αγεθ', ὁϝρα κ' εγω πολεμηϊα τευχεα δυω,
Τοϝρ' ὑμεις ευχεσθε Διϊ Κρονιωνι ϝανακτι,
Σιγῃ εφ' ὑμεοφιν, ἱνα μη Τρωες γε πυθωνται·
Ηε και αμφαδιην, επει ουτινα δειδιμεν εμπης·
Ου γαρ τις με βιῃ γε ϝεκων αϝεκοντα διηται,
Ουδε τ' αϝιδρειῃ· επει ουδ' εμε νηϝιδα γ' οὑτως
Ϝελπομαι εν Σαλαμινι γενεσθαι τε τραφεμεν τε.
Ὡς εφαθ'· οἱ δ' ευχοντο Διϊ Κρονιωνι ϝανακτι·
Ὡδε δε τις ϝειπεσκε, ϝιδων εις ουρανον ευρυν·
Ζευ πατερ, Ιδηθεν μεδεων, κυδιστε, ϝμεγιστε,
Δος νικην Αιαντι και αγλαον ευχος αρεσθαι·
Ει δε και Ἑκτορα περ φιλεεις, και κηδεαι αυτου,

---

195. Σιγῃ· Nonnulli quinque versus damnant, ut Ajace minùs dignos.
198. νηϝιδα. ignarum: a νη, et ϝοιδα, scio.
199. γενεσθαι τε τραφεμεν τε. ortumque esse et crevisse: Aoristus secundus a τρεφω· τραφεμεν iterum legitur, Ν. 433 n, Σ. 436. Vide Ε. 555. Potuit, ηδε τραφηναι, scripsisse.
212. βλοσυροισι προσωπασι. torvis vultibus: forma non alibi occurrit. Forsitan, βλοσυρῃσιν ὑπ' οφρυσι, ut Ο. 608.
217. Αλλ' ου πως ετι ϝεικεν ὑποτρεσαι. Sed nequaquam jam locus erat recipiendi: Impersonale a ϝεικω, ut Σ. 520, Χ. 321, Ρ. 354. Vulgò,

Fισην αμφοτεροισι βιην και κυδος οπασσον.
῾Ως αρ εφαν· Αιας δε κορυσσετο νωροπι χαλκῳ.
Αυταρ επει δη παντα περι χροϊ ϝεσσατο τευχη,
Fσευατ᾽ επειθ᾽, οἱος τε πελωριος ερχεται Aϝρης,
Ος τ᾽ εισιν πολεμονδε μετ᾽ ανερας, οὑς τε Κρονιων
Θυμοβορου εριδος μενεϊ ξυνεηκε μαχεσθαι.
Τοιος αρ Αιας ωρτο πελωριος, ἑρκος Αχαιων,
Fμειδιοων βλοσυροισι προσωπασι· νερθε δε ποσσιν
Ηϊε μακρα βιβας, κραδαων δολιχοσκιον εγχος.
Τον δε και Αργειοι ϝμεγ᾽ εγηθεον εισορωωντες·
Τρωας δε τρομος αινος ὑπηλυθε γυια ϝεκαστον,
῾Εκτορι τ᾽ αυτῳ θυμος ενι στηθεσσι πατασσεν·
Αλλ᾽ ου πως ετι ϝεικεν ὑποτρεσαι, ουδ᾽ αναδυναι
Αψ λαων ες ὁμιλον, επει προκαλεσσατο χαρμῃ.
Αιας δ᾽ εγγυθεν ηλθε, φερων σακος, ηϋτε πυργον,
Χαλκεον, ἑπταβοειον, ὁ ϝοι Τυχιος καμε τευχων,
Σκυτοτομων οχ᾽ αριστος, εν ῾Υλῃ ϝοικια ναιων·
῾Ος ϝοι εποιησεν σακος αιολον, ἑπταβοειον,
Ταυρων ζατρεφεων, επι δ᾽ ογδοον ηλασε χαλκον.
Το προσθε στερνοιο φερων Τελαμωνιος Αιας,
Στη ϝρα μαλ᾽ ῾Εκτορος εγγυς, απειλησας δε προσηυδα·
῾Εκτορ, νυν μεν δη σαφα ϝεισεαι οιοθεν οιος,
Οἱοι και Δαναοισιν αριστηες μετεασι,
Και μετ᾽ Αχιλληα ϝρηξηνορα, θυμολεοντα·
Αλλ᾽ ὁ μεν εν νηεσσι κορωνισι ποντοποροισι
Κειτ᾽ απομηνισας Αγαμεμνονι, ποιμενι λαων·
῾Ημεις δ᾽ ειμεν τοιοι, οἱ αρ κε σοι αντιασαιμεν,

ειχεν, contra metrum; Bentleius, ετι γ᾽ ειχεν· vide X. 219, Π. 110, Φ. 242. Knightius duos versus damnat.

220. Τυχιος. Tychius: Amicum suum hic celebrâsse dicitur poeta.

221. εν ῾Υλῃ. in Hylâ: Vulgò, ῾Υλῃ ενι· sed ῾Υλη primam producit, Β. 500; vide Ε. 708.

231. τοιοι, οἱ αρ κε σοι αντιασαιμεν. tales, qui sanè tibi adversaremur: Vulgò, οἱ αν σεθεν· sed ὁς αρ passim legitur, et αντιαω dativum postulat. Knightius versus 229, 230, 231, et 232 damnat.

Και πολεες· αλλ᾽ αρχε μαχης ηδε πτολεμοιο.
Τον δ᾽ αυτε προσεϝειπε ϝμεγας κορυθαιολος Ἑκτωρ·
Αιαν Διογενες, Τελαμωνιε, κοιρανε λαων,
Μη τι μευ, ηΰτε παιδος αφαυρου, πειρητιζε,
Ηε γυναικος, ἡ ου ϝοιδεν πολεμηϊα ϝεργα.
Αυταρ εγων ευ ϝοιδα μαχας τ᾽, ανδροκτασιας τε·
Ϝοιδ᾽ επι δεξια, ϝοιδ᾽ επ᾽ αριστερα νωμησαι βουν
Αζαλεην, το μοι εστι ταλαϝρινον πολεμιζειν·
Ϝοιδα δ᾽ ενι σταδιῃ δαϊῳ μελπεσθαι Αϝρηϊ·
Ϝοιδα δ᾽ επαϊξας μοθον ἱππων ωκειαων.
Αλλ᾽ ου γαρ σ᾽ εθελω βαλεειν, τοιουτον εοντα,
Λαθρη οπιπτευσας, αλλ᾽ αμφαδον, αι κε τυχοιμι.
Η ϝρα, και αμπεπαλων προϊει δολιχοσκιον εγχος,
Και βαλεν Αιαντος δεινον σακος ἑπταβοειον,
Ακροτατον κατα χαλκον, ὁς ογδοος ηεν επ᾽ αυτῳ.
Ἑξ δε δια πτυχας ηλθε δαϊζων χαλκος ατειρης·
Εν τῃ δ᾽ ἑβδοματῃ ϝρινῳ σχετο. Δευτερος αυτε
Αιας Διογενης προϊει δολιχοσκιον εγχος,
Και βαλε Πριαμιδαο κατ᾽ ασπιδα παντοσε ϝισην.
Το ϝρα δι᾽ ασπιδος ηλθε φαεινης οβριμον εγχος,
Και δια θωρηκος πολυδαιδαλου ηρηρειστο·
Αντικρυ δε παρα ϝλαπαρην διαϝμησε χιτωνα
Εγχος· ὁ δ᾽ εκλινθη, και αλευατο κηρα μελαιναν.
Τω δ᾽ εκσπασσαμενω δολιχ᾽ εγχεα, χερσιν ἁμ᾽ αμφω
Συν ϝρ᾽ επεσον, ϝλιεσσι ϝεϝοικοτες ωμοφαγοισιν,
Η συσι καπροισιν, των τε σθενος ουκ αλαπαδνον.
Πριαμιδης μεν επειτα μεσον σακος ουτασε δουρι·
Ουδ᾽ εϝρηξεν χαλκον, ανεγναμφθη δε ϝοι αιχμη·

---

238. νωμησαι βουν Αζαλεην. movere scutum Aridum: Sic, τειχεσι βοεσσι, Μ. 105, βοας αυας, Μ. 137. Vulgò, βων, quod Doricum pro βουν esse dicitur. Knightius sex versus damnat.

241. Ϝοιδα δ᾽ επαϊξας. Scio verò irruens: Heynius επαϊξαι edidit.

243. αλλ᾽ αμφαδον. sed apertè: Hinc Alexander Magnus victoriam se furari nolle profitebatur.

251. Το ϝρα δι᾽ ασπιδος ηλθε. Id sanè per scutum venit: vulgò, Δια μεν, contra metrum; vide Γ. 357.

Αιας δ᾽ ασπιδα νυξεν επαλμενος· ἡ δε δια προ
Ηλυθεν εγχειη· στυφελιξε δε μιν μεμαωτα·
Τμηδην δ᾽ αυχεν᾽ επηλθε· μελαν δ᾽ ανεκηκιεν αἱμα.
Αλλ᾽ ουδ᾽ ὡς απεϝληγε μαχης κορυθαιολος Ἑκτωρ·
Αλλ᾽ αναχασσαμενος λιθον εϝλετο χειρι παχειῃ,
Κειμενον εν πεδιῳ, μελανα, τρηχυν τε, ϝμεγαν τε·
Τῳ βαλεν Αιαντος δεινον σακος ἑπταβοειον,
Μεσσον επομφαλιον· περιϝηχησεν δ᾽ αρα χαλκος.
Δευτερος αυτ᾽ Αιας πολυ ϝμειζονα λααν αειρας,
Ἡκ᾽ επιδινησας, επερεισε δε ϝιν᾽ απελεθρον·
Εισω δ᾽ ασπιδ᾽ εϝαξε, βαλων μυλοϝειδεϊ πετρῳ·
Βλαψε δε ϝοι φιλα γουναθ᾽· ὁ δ᾽ ὑπτιος εξετανυσθη,
Ασπιδοθι χριμφθεις· τον δ᾽ αιψ᾽ ωρθωσεν Απολλων.
Και νυ κε δη ξιφεεσσ᾽ αυτοσχεδον ουταζοντο,
Ει μη κηρυκες, Διος αγγελοι ηδε και ανδρων,
Ηλθον, ὁ μεν Τρωων, ὁ δ᾽ Αχαιων χαλκοχιτωνων,
Ταλθυβιος τε και Ιδαιος, πεπνυμενω αμφω·
Μεσσῳ δ᾽ αμφοτερων σκηπτρα σχεθον· ηρχε δε μυθων
Κηρυξ Ιδαιος, πεπνυμενα μηδεα ϝειδως·
  Μηκετι, παιδε φιλω, πολεμιζετε, μηδε μαχεσθον·
Αμφοτερω γαρ σφωϊ φιλεῖ ϝνεφεληγερετα Ζευς·
Αμφω δ᾽ αιχμητα· τογε δη και ϝιδμεν ἁπαντες.
Νυξ δ᾽ ηδη τελεθει· αγαθον και νυκτι πιθεσθαι.
  Τον δ᾽ απαμειβομενος προσεφη Τελαμωνιος Αιας·
Ιδαι᾽, Ἑκτορα ταυτα κελευετε μυθησασθαι·
Αυτος γαρ χαρμῃ προκαλεσσατο παντας αριστους·
Αρχετω, αυταρ εγω μαλα πεισομαι, αι κε περ οὑτος.
  Τον δ᾽ αυτε προσεϝειπε ϝμεγας κορυθαιολος Ἑκτωρ·

---

253. Αντικρυ. Knightius duos versus omittit.

256. ϝλιεσσι. leonibus: vulgò, λειουσι· vide Ε. 782.

272. Ασπιδοθι χριμφθεις. In scuto hærens: vide Λ. 578. Aristarchus, Ασπιδ᾽ ενι χριμφθεις voluit, alii, Ασπιδι εγχριμφθεις.

277. ηρχε δε μυθων. cœpit vero loqui: Β. 433. Vulgò, ειπε δε μυθον, quod in digamma peccat. Alii, Μεσσω, sed vide Γ. 416.

Αιαν, επει τοι δωκε Θεος ϝμεγεθος τε βιην τε,
Και πινυτην· περι δ' εγχει Αχαιων φερτατος εσσι,
Νυν μεν παυσωμεσθα μαχης και δηϊοτητος,
Σημερον· ὑστερον αυτε μαχησομεθ', εισοκε Δαιμων
Αμμε διακρινῃ, δωῃ δ' ἑτεροισι γε νικην·
Νυξ δ' ηδη τελεθει· αγαθον και νυκτι πιθεσθαι·
Ὡς συ τ' εϋφρηνῃς παντας παρα νηυσιν Αχαιους,
Σους τε μαλιστα ϝετας, και ἑταϝρους, οἱ τοι εασιν·
Αυταρ εγω, κατα ϝαστυ ϝμεγα Πριαμοιο ϝανακτος
Τρωας εϋφρανεω και Τρωαδας ἑλκεσιπεπλους,
Αἱ τε μοι ευχομεναι θειον δυσονται αγωνα.
Δωρα δ' αγ' αλληλοισι περικλυτα δωομεν αμφω,
Ὀϝρα τις ὡς ϝειπησιν Αχαιων τε Τρωων τε·
Η μεν εμαρνασθην εριδος περι θυμοβοροιο,
Ηδ' αυτ' εν φιλοτητι διετμαγεν αρθμησαντε.
  Ὡς αρα φωνησας δωκε ξιφος αργυροηλον,
Συν κολεῳ τε φερων και εϋτμητῳ τελαμωνι·
Αιας δε ζωστηρα διδου φοινικι φαεινον.
Τω δε διακρινθεντες, ὁ μεν μετα λαον Αχαιων
Ηϊ', ὁ δ' ες Τρωων ὁμαδον κιε· τοι δ' εχαρησαν,
Ὡς ϝε ϝιδον ζωον τε και αρτεμεα προσιοντα,
Αιαντος προφυγοντα μενος και χειρας ααπτους·
Και ϝ' ηγον προτι ϝαστυ, αϝελποντες σαον ειναι.
Αιαντ' αυθ' ἑτερωθεν εϋκνημιδες Αχαιοι
Εις Αγαμεμνονα διον αγον κεχαρηοτα νικῃ.
Οἱ δ' ὁτε δη κλισιηθιν εν Ατρεϊδαο γενοντο,
Τοισι δε βουν ἱερευσε ϝαναξ ανδρων Αγαμεμνων
Αρσενα, πενταϝετηρον, ὑπερμενεϊ Κρονιωνι·
Τον δερον, αμφι θ' ἑπον, και μιν διεχευαν ἁπαντα,

---

293. Νυξ. Knightius versum damnat, ut et 295, 324, 335, 353.
298. θειον δυσονται αγωνα. divinum inibunt cœtum: Αγων plerumque certandi gratiâ cœtus, hic orandi; vide Σ. 376.
300. Ὀϝρα τις ὡς ϝειπησι. Ut aliquis sic dicat. Vulgò, ὡδ' ειπῃσι.
306. διακρινθεντες. discreti: vulgò, διακρινθεντε· vide Β. 218, Ε. 12.
308. Ὡς ϝε ϝιδον. Ut eum viderunt: vulgò, Ὡς ειδον.
313. κλισιηθιν. tentorio: vulgò, κλισιησιν· vide Β. 418.

Μιστυλλον τε ϝ' επισταμενως, πειραν τ' οβελοισιν,
Ωπτησαν τε περιφραδεως, ϝερυσαντο τε παντα.
Αυταρ επει παυσαντο πονου, τετυκοντο τε δαιτα,
Δαινυντ', ουδε τι θυμος εδευετο δαιτος εϊσης·
Νωτοισιν δ' Αιαντα διηνεκεεσσι γεραιρεν
῾Ηρως Ατρεϊδης, ευρυκρειων Αγαμεμνων.
Αυταρ επει ποσιος και εδητυος εξ ερον ἑντο,
Τοις ὁ γερων παμπρωτος ὑφαινειν ηρχετο μητιν
Νεστωρ, οὑ και προσθεν αριστη φαινετο βουλη·
῾Ο σφιν εϋφρονεων αγορησατο και μετεϝειπεν·
Ατρεϊδη τε, και αλλοι αριστηες Παναχαιων·
Πολλοι γαρ τεθνᾶσι καρηκομοωντες Αχαιοι,
Των νυν αἱμα κελαινον εϋϝροον αμφι Σκαμανδρον
Εσκεδασ' οξυς Αϝρης, ψυχαι δ' Αϝιδοσδε κατηλθον.
Τῳ σε χρη πολεμον μεν ἁμ' Ηοϊ παυσαι Αχαιων,
Αυτοι δ' αγρομενοι κυκλησομεν ενθαδε νεκρους
Βουσι και ἡμιονοισιν· αϝαρ κατακηομεν αυτους
Τυτθον απο προ νεων, ὡς κ' οστεα παισι ϝεκαστος
Ϝοικαδ' αγῃ, ὁτε κ' αυτε νεωμεθα πατριδα γαιαν·
Τυμβον δ' αμφι πυρην ἑνα χευομεν εξαγαγοντες,
Ακριτον εν πεδιῳ· ποτι δ' αυτον δειμομεν ωκα
Πυργους ὑψηλους, ειλαρ νηων τε και αυτων·
Εν δ' αυτοισι πυλας ποιησομεν ευ αραρυιας,
῾Οϝρα δι' αυταων ἱππηλασιη ὁδος ειη·
Εκτοσθεν δε βαθειαν οϝρυξομεν εγγυθι ταφρον,
῾Η χ' ἱππον και λαον εϝρυκακοι αμφις εουσα,
Μη ποτ' επιβρισῃ πολεμος Τρωων αγερωχων.
῾Ως εφαθ'· οἱ δ' αρα παντες επῃνησαν βασιληες.
Τρωων αυτ' αγορη Ϝιλου γενετ' εν πολει ακρῃ,

317. Μιστυλλον τε ϝ' επισταμενως. Dissecueruntque eum scitè: Vulgò, τ' αρ.
333. κατακηομεν. comburamus: subjunctivus aoristi primi a κατακαιω.
342. ἱππον. equum: pro equitatu. Ita MSS. et Edd. Turnebus ἱππους intulit.
345. Ϝιλου γενετ' εν πολει ακρῃ. Ili fiebat in urbe summâ: Vulgò, γενετ' Ιλιου εν πολει ακρῃ· rectè tamen Ilium Ili urbs vocatur. Bentleius, πελε Ϝιλιου. Knightius, αγορη γ' ην Ϝιλϝιοϝ' εν πολι' ακρῃ. Forsitan, εν πτολιεθρῳ, legendum. Vide z. 386.

Δεινη, τετρηχυια, παρα Πριαμοιο θυρῃσι.
Τοισιν δ' Αντηνωρ πεπνυμενος ηρχ' αγορευειν·
Κεκλυτε μευ, Τρωες και Δαρδανοι ηδ' επικουροι,
῾Ως ϝειπω, τα με θυμος ενι στηθεσσι κελευει.
Δευτ' αγετ', Αργειην ῾Ελενην και κτημαθ' ἁμ' αυτῃ
Δωομεν Ατρειδῃσιν αγειν· νυν δ' ὁρκια πιστα
Ψευσαμενοι μαχομεσθα· τῳ ου νυ τι κερδιον ἡμιν
Fελπομαι εκτελεεσθαι, ἱνα μη ϝρεξομεν ὡδε.
Ητοι ὁγ' ὡς ϝειπων κατ' αρ ἑζετο· τοισι δ' ανεστη
Δῖος Αλεξανδρος, ῾Ελενης ποσις ηϋκομοιο·
῾Ος μιν αμειβομενος ϝεπεα πτεροεντα προσηυδα·
Αντηνορ, συ μεν ουκ ετ' εμοι φιλα ταυτ' αγορευεις·
Fοισθα και αλλον μυθον αμεινονα τουδε νοησαι·
Ει δ' ετεον δη τουτον απο σπουδης αγορευεις,
Εξ αρα δη τοι επειτα Θεοι φρενας ωλεσαν αυτοι.
Αυταρ εγω Τρωεσσι μεθ' ἱπποδαμοις αγορευσω·
Αντικρυ δ' αποφημι, γυναικα μεν ουκ αποδωσω·
Κτηματα δ', ὁσσ' αγομην εξ Αργεος ἡμετερον δω,
Παντ' εθελω δομεναι, και ϝοικοθεν αλλ' επιθειναι.
Ητοι ὁγ' ὡς ϝειπων κατ' αρ ἑζετο· τοισι δ' ανεστη
Δαρδανιδης Πριαμος, Θεοθιν μηστωρ αταλαντος·
῾Ο σφιν εϋφρονεων αγορησατο και μετεϝειπε·
Κεκλυτε μευ, Τρωες και Δαρδανοι ηδ' επικουροι,
῾Ως ϝειπω, τα με θυμος ενι στηθεσσι κελευει·
Νυν μεν δορπον εϝλεσθε κατα στρατον, ὡς το παρος περ,
Και φυλακης μνησασθε, και εγρηγορθε ϝεκαστος·
Ηοθεν δ' Ιδαιος ιτω κοιλας επι νηας,
Fειπεμεν Ατρειδῃς, Αγαμεμνονι και Μενελαῳ,

---

347. Αντηνωρ. Antenor censet belli præcidere causam.
Quid Paris? ut salvus regnet, vivatque beatus
Cogi posse negat. Horat. Epist. 1. 2. 9.

353. ἱνα μη ϝρεξομεν ὡδε. ubi non faciamus sic: MS. unus εικεν habet; forsitan ὁκεν legendum. Knightius cum Bentleio et Wolfio versum damnat.

364. και ϝοικοθεν αλλ' επιθειναι. et e domo alia addere: Ita Eustathius. Vulgò, και ετ' οικοθεν, ετι ob metrum perperam intruso; et ita Η. 391.

366. Θεοθιν μηστωρ αταλαντος. Deo consiliator æqualis: Vulgò, Θεοφιν sed dativus postulatur; vide Β. 418, 651.

Μυθον Αλεξανδροιο, του ἑινεκα νεικος ορωρε·
Και τοδε ϝειπεμεναι πυκινον ϝεπος, αι κ' εθελωσι
Παυσασθαι πολεμοιο δυσηχεος, εισοκε νεκρους
Κηομεν· ὑστερον αυτε μαχησομεθ', εισοκε Δαιμων
Αμμε διακρινῃ, δωῃ δ' ἑτεροισι γε νικην.
Ὡς εφαθ'· οἱ δ' αρα του μαλα μεν κλυον, ηδ' επιθοντο.
Δορπον επειτα ϝελοντο κατα στρατον εν τελεεσσιν·
Ηοοθεν δ' Ιδαιος εβη κοιλας επι νηας.
Τους δ' εὑρ' ειν αγορῃ Δαναους, θεραποντας Αϝρηος,
Νηϊ παρα πρυμνῃ Αγαμεμνονος· αυταρ ὁ τοισι,
Στας εν μεσσοισιν, μετεφωνεεν ηπυτα κηρυξ·
Ατρεϊδαι τε, και αλλοι αριστηες Παναχαιων,
Ηνωγει Πριαμος τε, και αλλοι Τρωες αγαυοι,
Ϝειπειν, αι κε περ υμμι φιλον και ϝηδυ γενοιτο,
Μυθον Αλεξανδροιο, του ἑινεκα νεικος ορωρε·
Κτηματα μεν ϝρ', ὁσ' Αλεξανδρος κοιλῃς ενι νηυσιν
Ηγαγετο Τροϊηνδ', ὡς πριν γ' ωφελλ' απολεσθαι,
Παντ' εθελει δομεναι, και ϝοικοθεν αλλ' επιθειναι·
Κουριδιην δ' αλοχον Μενελαου κυδαλιμοιο
Ου φησιν δωσειν· η μιν Τρωες γε κελονται.
Και τοδε μ' ηνωγον ϝειπειν ϝεπος, αι κ' εθελητε
Παυσασθαι πολεμοιο δυσηχεος, εισοκε νεκρους
Κηομεν· ὑστερον αυτε μαχησομεθ', εισοκε Δαιμων
Αμμε διακρινῃ, δωῃ δ' ἑτεροισι γε νικην.
Ὡς εφαθ'· οἱ δ' αρα παντες ακην εγενοντο σιωπῃ.
Οψε δε δη μετεϝειπε βοην αγαθος Διομηδης·
Μητ' αρ τις νυν κτηματ' Αλεξανδροιο δεχεσθω,
Μηθ' Ἑλενην· γνωτον δε, και ὁς μαλα νηπιος εστιν,

---

371. εγρηγορθε. vigilate: Aliæ formæ sunt, εγρηγορθασι, et εγρηγορθαι.
372. Ηοοθεν. A primo mane. Vulgò, Ηωθεν· sed nusquam ita locatur, ut non solutè legi possit.
375. Και τοδε ϝειπεμεναι. Et hoc dicere: Vulgò, Και δε τοδ' ειπεμεναι.
380. Δορπον. Versus in MSS. nonnullis deest, et Knightius damnat.
389. Κτηματα μεν ϝρα. Opes quidem sanè: Vulgò, Κτηματα μεν, contra metrum.
394. Και τοδε μ' ηνωγον. Et hoc me jusserunt: Vulgò, Και δε τοδ' ηνωγεον, quod ex versu 375 tractum videtur. Novum verbum ανωγεω sine necessitate inferre nolo.

῾Ως ηδη Τρωεσσιν ολεθρου πειρατ᾽ εφηπται.
  ῾Ως εφαθ᾽· οἱ δ᾽ αρα παντες επιαχον υἱες Αχαιων,
Μυθον αγασσαμενοι Διομηδεος ἱπποδαμοιο.
Και τοτ᾽ αρ Ιδαιον προσεφη κρειων Αγαμεμνων·
  Ιδαι᾽, ητοι μυθον Αχαιων αυτος ακουεις,
῾Ως τοι ὑποκρινονται· εμοι δ᾽ επιϝανδανει οὑτως.
Αμφι δε νεκροισιν κατακηεμεν ουτι μεγαιρω·
Ου γαρ τις φειδω νεκυων κατατεθνειωτων
Γινετ᾽, επει κε θανωσι, πυρος μειλισσεμεν ωκα·
῾Ορκια δε Ζευς ϝιστω, εριγδουπος ποσις ῾Ηρης.
  ῾Ως ϝειπων, το σκηπτρον ανεσχεθε πασι Θεοισιν·
Αψοϝροον δ᾽ Ιδαιος εβη ποτι Ϝιλιον ἱρην.
Οἱ δ᾽ ἑατ᾽ ειν αγορῃ Τρωες και Δαρδανιωνες,
Παντες ὁμηγερεες, ποτιδεγμενοι, ὁπποτε κ᾽ ελθοι
Ιδαιος· ὁ δ᾽ αρ ηλθε και αγγελιην απεϝειπε,
Στας εν μεσσοισιν· τοι δ᾽ ὡπλιζοντο μαλ᾽ ωκα,
Αμφοτερον, νεκυας τ᾽ αγεμεν, ἑτεροι δε μεθ᾽ ὑλην·
Αργειοι δ᾽ ἑτερωθεν εϋϝσελμων απο νηων
Ωτρυνον νεκυας τ᾽ αγεμεν, ἑτεροι δε μεθ᾽ ὑλην.
  Ηελιος μεν επειτα νεον προσεβαλλεν αρουρας,
Εξ ακαλαϝρειταο βαθυϝροου Ωκεανοιο,
Ουρανον εισανιων· οἱ δ᾽ ηντεον αλληλοισιν.
Ενθα διαγνωναι χαλεπως ην ανδρα ϝεκαστον·
Αλλ᾽ ὑδατι ϝνιζοντες απο βροτον αἱματοεντα,
Δακρυα θερμα χεοντες, ἁμαξαων επαειραν·
Ουδ᾽ ειϝα κλαιειν Πριαμος ϝμεγας· οἱ δε σιωπῃ
Νεκρους πυρκαϊης επενηνεον, αχνυμενοι κῆρ·

---

422. ακαλαϝρειταο. cujus cursum nemo frænare possit: a χαλαω, fræno, et ϝρεω, fluo; χ sæpe in κ vertitur, ut in καλαϝροπα, a χαλαω, Ψ. 845, απο χαινω, et κεκαδοντο a χαζω. Vulgò interpretes ex ακαλος, tener, deducunt, sed vox non occurrit, et ακαλοϝρειταο esset.

425. ϝνιζοντες. lavantes: Ϝνιζω digamma postulat, Κ. 572.

438. Εν δε πυλας αυτοισιν εποιεον. In verò portas ipsis fecerunt: Vulgò, Εν δ᾽ αυτοισι πυλας ενεποιεον· sed Homerus præpositiones non duplicat.

443. Οἱ δε Θεοι. Locus hic totus usque ad versum 464 a veteribus damnabatur; ut et similia, Μ. 5, quæ huic loco respondent. Inserta esse creduntur, ne fides narrationi detraheretur, cùm nullum hujusmodi opus in planitie Trojanâ maneret.

Εν δε πυρι πρησαντες εβαν ποτι Ϝιλιον ἱρην.
Ὡς δ' αυτως ἑτερωθεν εϋκνημιδες Αχαιοι
Νεκρους πυρκαϊης επενηνεον, αχνυμενοι κῆρ·
Εν δε πυρι πρησαντες εβαν κοιλας επι νηας.
Ημος δ' ουτ' αρ πω Ηως, ετι δ' αμφιλυκη νυξ,
Τημος αρ αμφι πυρην κριτος εγρετο λαος Αχαιων·
Τυμβον δ' αμφ' αυτην ἑνα ποιεον εξαγαγοντες
Ακριτον εκ πεδιου· ποτι δ' αυτον τειχος εδειμαν,
Πυργους θ' ὑψηλους, ειλαρ νηων τε και αυτων·
Εν δε πυλας αυτοισιν εποιεον ευ αραρυιας,
Ὁϝρα δι' αυταων ἱππηλασιη ὁδος ειη·
Εκτοσθεν δε βαθειαν επ' αυτῳ ταφρον οϝρυξαν,
Ευρειαν, ϝμεγαλην· εν δε σκολοπας κατεπηξαν.
Ὡς οἱ μεν πονεοντο καρηκομοωντες Αχαιοι.
  Οἱ δε Θεοι, παρ Ζηνι καθημενοι αστεροπητῃ,
Θηευντο ϝμεγα ϝεργον Αχαιων χαλκοχιτωνων·
Τοισι δε μυθων ηρχε Ποσειδαων ενοσιχθων·
  Ζευ πατερ, η ϝρα τις εστι βροτων επ' απειρονα γαιαν,
Ὁς περ ετ' αθανατοισι νοον και μητιν ενιψει;
Ουχ ὁρααις, ὁτε δ' αυτε καρηκομοωντες Αχαιοι
Τειχος ετειχισσαντο νεων ὑπερ, αμφι δε ταφρον
Ηλασαν, ουδε Θεοισι δοσαν κλειτας ἑκατομβας;
Του δ' ητοι κλεος εσται, ὁσον τ' επι κιδναται Ηως·
Του δ' επιλησονται, ὁ τ' εγω και Φοιβος Απολλων
Λαομεδοντι ϝανακτι πονευμεθ' αεθλευσαντε.
  Τον δε ϝμεγ' οχθησας προσεφη ϝνεφεληγερετα Ζευς·
Ω ποποι, Εννοσιγαι' ευρυσθενες, οἱον εϝειπες·

444. Θηευντο ϝμεγα ϝεργον. Mirabantur magnum opus: Verbum passim occurrit.

447. Ὁς περ. Qui tamen adhuc immortalibus mentem et consilium attribuet: Vulgò, Ὁστις, quod loco non convenit. Ενιψω, dicam, significat, Od. β. 137, λ. 147; ενιπτω non nisi objurgo.

448. ὁτε δ' αυτε. quòd verò rursus: Alii, ὁτι δ' αυτε.

449. Τειχος ετειχισσαντο. Murum ædificaverunt: MSS. ετειχισαντο· mallem ετεχνησαντο, vel ετεκτηναντο.

453. Λαομεδοντι ϝανακτι πονευμεθ' αεθλευσαντε. Laomedonti regi laboravimus certantes: Vulgò, Ἡρῳ Λαομεδοντι πολισσαμεν αθλησαντε, quod proculdubio

Αλλος κεν τις τουτο Θεων δεισειε νοημα,
Ὁς σεο πολλον αφαυροτερος χειρας τε μενος τε·
Σον δ' ητοι κλεος εσται, ὁσον τ' επι κιδναται Ηως.
Αγρει μαν, ὁτε κ' αυτε καρηκομοωντες Αχαιοι
Οιχωνται συν νηυσι φιλην ες πατριδα γαιαν,
Τειχος αναϝρηξας, το μεν εις ἁλα παν καταχευαι·
Αυτις δ' ηϊονα ϝμεγαλην ψαμαθοισι καλυψαι,
Ὡς κεν τοι ϝμεγα τειχος ἀμαλδυνηται Αχαιων.
Ὡς οἱ μεν τοιαυτα προς αλληλους αγορευον.
Δυσατο δ' Ηελιος, τετελεστο δε ϝεργον Αχαιων·
Βουφονεον δε κατα κλισιας, και δορπον εϝλοντο.
Νηες δ' εκ Λημνοιο παρεσταν, ϝοινον αγουσαι,
Πολλαι, τας προεηκεν Ιησονιδης Ευνηος,
Τον ϝρ' ετεχ' Ὑψιπυλη ὑπ' Ιησονι ποιμενι λαων.
Χωρις δ' Ατρειδῃς, Αγαμεμνονι και Μενελαῳ,
Δωκεν Ιησονιδης αγεμεν μεθυ, χιλια μετρα·
Ενθ' αρα ϝοινιζοντο καρηκομοωντες Αχαιοι,
Αλλοι μεν χαλκῳ, αλλοι δ' αιθωνι σιδηρῳ,
Αλλοι δε ϝρινοις, αλλοι δ' αυτοισι βοεσσιν,
Αλλοι δ' ανδραποδεσσι· τιθεντο δε δαιτα θαλειαν.
Παννυχιοι μεν επειτα καρηκομοωντες Αχαιοι
Δαινυντο, Τρωες δε κατα πτολιν ηδ' επικουροι·
Παννυχιος δε σφιν κακα μηδετο μητιετα Ζευς,
Σμερδαλεα κτυπεων· τους δε χλωρον δεος ᾑρει·
Ϝοινον δ' εκ δεπαων χαμαδις χεον, ουδε τις ετλη
Πριν πιεειν, πριν λειψαι ὑπερμενεϊ Κρονιωνι·
Κοιμησαντ' αρ επειτα, και ὑπνου δωρον εϝλοντο.

Homerus non scripsit; nec enim Ηρωϊ, nec αεθλος, ita contrahi possunt, nec πολιζω de muro dici potest.

463. ἀμαλδυνηται. solo æquetur: ab ἁμαλος, planus.

467. παρεσταν ϝοινον αγοντες. adstabant vinum ferentes: Vulgò, παρεστασαν.

472. Ενθ' αρα ϝοινιζοντο. Ibi sanè vinum emerunt: Vulgò, Ενθαδ' αρ οινιζοντο.

475. ανδραποδεσσι. captivis: Vox non alibi occurrit, unde Zenodotus versum damnat.

478. Παννυχιος. Per totam noctem: Jupiter ambobus pœnitentiæ locum præbet; sed præ cupidine et irâ intelligere nolunt.

ʽΟΜΗΡΟΥ FΙΛΙΑΣ.

Θ.

ARGUMENTA.

Θεων αγορη, και Αργειων φοβος.
Θητα, παλιν Δαναους τρεψεν κορυθαιολος Ἑκτωρ.

1. JUPITER Deos in concilium vocat; et pugnâ abstinere jubet.—41. Ipse montem Idam petit.—55. Trojani in prœlium eunt.—75. Jupiter Trojanis opitulatur.—80. Nestorem periclitantem Diomedes eripit.—130. Jupiter Diomedem fugat.—157. Hector gloriatur.—198. Neptunus Junonem retinet.—213. Agamemnon Græcos hortatur.—247. Jupiter signum dat.—251. Græci prœlium renovant.—266. Teucer duces novem sagittis interficit.—316. Hector Teucrum vulnerat.—335. Vincunt Trojani.—350. Juno et Minerva Græcis opitulari parant.—397. Jupiter eas continet.—485. Nocte superveniente, Hector Trojanos concionatur.—542. Ignibus accensis, in planitie excubias agunt.

ʻΟΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Θ.

ΗΩΣ μεν κροκοπεπλος εκιδνατο πασαν επ᾽ αιαν·
Ζευς δε Θεων αγορην ποιησατο τερπικεραυνος,
Ακροτατῃ κορυφῃ πολυδειραδος Ουλυμποιο·
Αυτος δε fρ᾽ αγορευε, Θεοι δ᾽ ἁμα παντες ακουον·
Κεκλυτε μευ, παντες τε Θεοι, πασαι τε Θεαιναι,
῾Ως fειπω, τα με θυμος ενι στηθεσσι κελευει·
Μητε τις ουν θηλεια Θεος τογε, μητε τις αρσην
Πειρατω διακερσαι εμον fεπος· αλλ᾽ ἁμα παντες
Αινειθ᾽, ὀfρα ταχιστα τελευτησω ταδε fεργα.
῾Ον δε κ᾽ εγων απανευθε Θεων εθελοντα νοησω
Ελθοντ᾽ η Τρωεσσιν αρηγεμεν η Δαναοισι,
Πληγεις ου κατα κοσμον ελευσεται Ουλυμπονδε·
Η fε fελων fριψω ες Ταρταρον ηεροεντα,
Τηλε μαλ᾽, ἡχι βαθιστον ὑπο χθονος εστι βερεθρον,
Ενθα σιδηρειαι τε πυλαι και χαλκεος ουδος,
Τοσσον ενερθ᾽ Αfιδεω, ὁσον ουρανος εστ᾽ απο γαιης·

---

1. Ηως μεν κροκοπεπλος.
   Et jam prima novo spargebat lumine terras
   Tithoni *croceum* linquens Aurora cubile. Æn. iv. 585.

4. Αυτος δε fρ᾽ αγορευε. Ille verò sanè concionatus est: Vulgò, σφ᾽· vide Γ. 300.

6. ῾Ως fειπω. Ut dicam: Vulgò, Οφρ᾽ ειπω· vide Η. 68.

13. Η fε fελων. Certè eum capiens: Vulgò, Η μιν ἑλων.

15. Ενθα σιδηρειαι τε πυλαι.
   Porta adversa ingens, solidoque adamante columnæ,
   Vis ut nulla virûm, non ipsi exscindere ferro
   Cœlicolæ valeant; stat ferrea turris ad auras. Æn. vi. 552.

16. Τοσσον ενερθ᾽ Αfιδεω. tum Tartarus ipse
   Bis patet in præceps tantum, tenditque sub umbras
   Quantus ad æthereum cœli suspectus Olympum. Æn. vi. 577.
   Τοσσον ενερθ᾽ ὑπο γης, ὁσον ουρανος εστ᾽ απο γαιης. Hesiod. Theogon. 720.

Γνωσετ᾽ επειθ᾽, ὁσον ειμι Θεων καρτιστος ἁπαντων.
Ειδ᾽ αγε, πειρησασθε Θεοι, ἱνα ϝειδετε παντες,
Σειρην χρυσειην εξ ουρανοθεν κρεμασαντες,
Παντες δ᾽ εξαπτεσθε Θεοι, πασαι τε Θεαιναι·
Αλλ᾽ ου κεν ϝερυσαιτ᾽ εξ ουρανοθεν πεδιονδε
Ζην᾽ ὑπατον μηστωρ᾽, ουδ᾽ ει μαλα πολλα καμοιτε·
Αλλ᾽ ὁτε δη κεν εγω προφρων εθελοιμι ϝερυσσαι,
Αυτῃ κεν γαιῃ ϝερυσαιμ᾽, αυτῃ τε θαλασσῃ·
Σειρην μεν κεν επειτα περι ϝριον Ουλυμποιο
Δησαιμην· τα δε κ᾽ αυτε μετηορα παντα γενοιτο·
Τοσσον εγω περι τ᾽ ειμι Θεων, περι τ᾽ ειμ᾽ ανθρωπων.
Ὡς εφαθ᾽· οἱ δ᾽ αρα παντες ακην εγενοντο σιωπῃ,
Μυθον αγασσαμενοι· μαλα γαρ κρατερως αγορευεν.
Οψε δε δη μετεϝειπε Θεα γλαυκωπις Αθηνη·
Ω πατερ ἡμετερε, Κρονιδη, ὑπατε κρειοντων,
Ευ νυ και ἡμεις ϝιδμεν, ὁ τοι σθενος ουκ επιϝικτον·
Αλλ᾽ εμπης Δαναων ολοφυρομεθ᾽ αιχμηταων,
Οἱ κεν δη κακον οιτον αναπλησαντες ολωνται.
Αλλ᾽ ητοι πολεμου μεν αφεξομεθ᾽, ει συ κελευεις·
Βουλην δ᾽ Αργειοις ὑποθησομεθ᾽, ἡ τις ονησει,
Ὡς μη παντες ολωνται, οδυσσαμενοιο γε σειο.
Την δ᾽ επιϝμειδησας προσεφη ϝνεφεληγερετα Ζευς·
Θαρσει, Τριτογενεια, φιλον τεκος· ου νυ τι θυμῳ
Προφρονι μυθεομαι· εθελω δε τοι ηπιος ειναι.
Ὡς ϝειπων, ὑπ᾽ οχεσφι τιτυσκετο χαλκοποδ᾽ ἱππω,

---

19. εξ ουρανοθεν κρεμασαντες. e cœlo suspendentes: ablativus antiquus; vide Α. 208. Præpositio non adverbium merum esse ostendit. Plato in Theæteto, catenâ aureâ Solem planetas ad se trahentem innui censet.

28. Ὡς εφαθ᾽. Knightius tredecim versus damnat, nec malè abessent.

31. Ω πατερ ἡμετερε Κρονιδη.

O pater, O hominum Divûmque æterna potestas. Æn. x. 18.

37. οδυσσαμενοιο γε σειο. irato quidem te: Vulgò, τεοιο, quod possessivum est, et sensum non habet; ita Θ. 468.

41. χαλκοποδ᾽ ἱππω. æripedem cervam. Æn. vi. 802.

42. χρυσεῃσι ϝεθειρῃσιν κομοωντε. aureis crinibus comati: Ϝεθειρα in duobus

Ωκυπετα, χρυσεῃσι ϝεθειρῃσιν κομοωντε·
Χρυσον δ' αυτος εδυνε περι χροΐ· ϝελτο δ' ιϝμασθλην
Χρυσειην, ευτυκτον, εϝου δ' επεβησατο διφρου.
Fμαστιξεν δ' ελααν· τω δ' ουκ αϝεκοντε πετεσθην,
Μεσσηγυς γαιης τε και ουρανου αστεροεντος.
Ιδην δ' ἱκανεν πολυπιδακα, μητερα θηρων,
Γαργαρον, ενθα δε ϝοι τεμενος βωμος τε θυηεις·
Ενθ' ἱππους εστησε πατηρ ανδρων τε Θεων τε,
Λυσας εξ οχεων, κατα δ' ηερα πολλον εχευεν.
Αυτος δ' εν κορυφῃσι καθεζετο κυδεϊ γαιων,
Εισορoων Τρωων τε πολιν και νηας Αχαιων.
Οἱ δ' αρα δειπνον εϝλοντο καρηκομοωντες Αχαιοι
Fριμφα κατα κλισιας, απο δ' αυτου θωρησσοντο.
Τρωες δ' αυθ' ἑτερωθεν ανα πτολιν ὡπλιζοντο
Παυροτεροι· μεμασαν δε και ὡς ὑσμινι μαχεσθαι,
Χρειοι αναγκαιῃ, προ τε παιδων και προ γυναικων.
Πασαι δ' ωϊγνυντο πυλαι, εκ δ' εϝσυτο λαος,
Πεζοι θ', ἱππηες τε· πολυς δ' ορυμαγδος ορωρει.
Οἱ δ' ὁτε δη ϝρ' ες χωρον ἑνα ξυνιοντες ἱκοντο,
Συν ϝρ' εβαλον ϝρινους, συν δ' εγχεα, και μενε' ανδρων
Χαλκεοθωρηκων· αϝαρ ασπιδες ομφαλοεσσαι
Επληντ' αλληλῃσι· πολυς δ' ορυμαγδος ορωρει.
Ενθα δ' ἁμ' οιμωγη τε και ευχωλη πελεν ανδρων,
Ολλυντων τε και ολλυμενων· ϝρεε δ' αἱματι γαια.
Ὁϝρα μεν Ηως ην, ηεξετο θ' ἱερον ημαρ,

---

locis digamma postulat, Π. 795, Χ. 315, in duobus admittit, in uno rejicit, Τ. 382.

43. ϝελτο δ' ιϝμασθλην. prehendit verò scuticam: pro ϝελετο· vulgò, γεντο, quod ϝεντο indicat, et quod Eustathius Doricum pro ἑλετο esse ait; Homerus tamen formas Doricas non admittit. Iϝμασθλη ab ιϝμας digamma postulat.

50. πολλον. multum: Vulgò, πουλυν, quod ποϝλυν fuisse indicaret; cùm tamen aliam formam habeat, digamma sine necessitate inferre nolo. Vide Γ. 89.

56. ὑσμινι' in prælio: pro εν ὑσμινηθι. Β. 863.

66. ηεξετο θ' ἱερον ημαρ. crescebatque sacra dies: Vulgò, και αεξετο· Hesychius tamen ηεξετο habet, quod non nisi huic loco pertinere potest.

Τοϝρα μαλ' αμφοτερων βελε' ἡπτετο, πιπτε δε λαος·
Ημος δ' Ηελιος μεσον ουρανον αμφιβεβηκει,
Και τοτε δη χρυσεια πατηρ ετιταινε ταλαντα·
Εν δ' ετιθει δυο κηρε τανηλεγεος θανατοιο,
Τρωων θ' ἱπποδαμων και Αχαιων χαλκοχιτωνων·
Ἑλκε δε μεσσα ϝλαβων, ϝρεπε δ' αισιμον ημαρ Αχαιων.
Αἱ μεν Αχαιων κηρες επι χθονι πουλυβοτειρῃ
Ἑζεσθην, Τρωων δε προς ουρανον ευρυν αερθεν.
Αυτος δ' εξ Ιδης ϝμεγαλ' εκτυπε, δαιομενον δε
Ἡκε σελας μετα λαον Αχαιων· οἱ δε ϝιδοντες
Θαμβησαν, και παντας ὑπο χλωρον δεος εϝλεν.
Ενθ' ουτ' Ιδομενευς τλη μιμνειν, ουτ' Αγαμεμνων,
Ουτε δυ' Αιαντες μενετην, θεραποντες Αϝρηος·
Νεστωρ δ' οιος εμιμνε Γερηνιος, ουρος Αχαιων,
Ουτι ϝεκων, αλλ' ἱππος ετειρετο· τον βαλεν ιῳ
Δῖος Αλεξανδρος, Ἑλενης ποσις ηϋκομοιο,
Ακρην κακκορυφην, ὁθι τε πρωται τριχες ἱππων
Κρανιῳ εμπεφυασι, μαλιστα δε καιριον εστιν·
Αλγησας δ' ανεπαλτο, βελος δ' εις εγκεφαλον δυ,

---

68. Ημος δ' Ηελιος μεσον ουρανον.
medios cùm Sol accenderit æstus. Georgic. iv. 401.
cœlo medium Sol igneus orbem Hauserat. Georgic. iv. 426.
Sol medium cœli conscenderat igneus orbem. Æn. viii. 97.

69. χρυσεια πατηρ ετιταινε ταλαντα.
Jupiter ipse duas æquato examine lances
Sustinet, et fata imponit diversa duorum;
Quem damnet labor, et quo vergat pondere letum. Æn. xii. 725.

70. Τανηλεγεος. diutinam curam afferentis: a τανυω, et αλεγω.

73. Αἱ μεν. Knightius duos versus damnat, et 131, ut commenta expletiva.

75. Αυτος δ' εξ Ιδης ϝμεγαλ' εκτυπε.
Η ϝμεγαλ' εβροντησας απ' ουρανου αστεροεντος,
Ουδε ποθι ϝνεφος εστι· τερας νυ τεῳ τοδε φαινεις. Od. υ. 113.
cœlo ceciderunt plura sereno Fulgura. Georgic. i. 487.
Namque Diespiter
Igni corusco nubila dividens
Plerumque per purum tonantes
Egit equos volucremque currum. Horat. Carm. i. 34.

Συν δ' ἱππους εταραξε, κυλινδομενος περι χαλκῳ.
Ὀϝρ' ὁ γερων ἱπποιο παρηοριας απεταμνε
Φασγανῳ αΐσσων, τοϝρ' Ἑκτορος ωκεες ἱπποι
Ηλθον αν' ιωχμον, θρασυν ἡνιοχον φορεοντες
Ἑκτορα· και νυ κεν ενθ' ὁ γερων απο θυμον ολεσσεν,
Ει μη αρ οξυ νοησε βοην αγαθος Διομηδης·
Σμερδαλεον δ' εβοησεν, εποτρυνων Οδυσηα·
  Διογενες Λαερτιαδη, πολυμηχαν' Οδυσσευ,
Πη φευγεις, μετα νωτα βαλων, κακος ὡς, εν ὁμιλῳ;
Μη τις τοι φευγοντι μεταφρενῳ εν δορυ πηξῃ·
Αλλα μεν', ὀϝρα γεροντος απωσομεν αγριον ανδρα.
  Ὡς εφατ'· ουδ' εσακουσε πολυτλας διος Οδυσσευς,
Αλλα παρηΐξεν κοιλας επι νηας Αχαιων.
Τυδεΐδης δ', αυτος περ εων, προμαχοισιν εμιχθη·
Στη δε προσθ' ἱππων Νηληϊαδαο γεροντος,
Και μιν φωνησας ϝεπεα πτεροεντα προσηυδα·
  Ω γερον, η μαλα δη σε νεοι τειρουσι μαχηται·
Ση δε βιη λελυται, χαλεπον δε σε γηρας οπαζει·
Ηπεδανος δε νυ τοι θεραπων, βραδεες δε τοι ἱπποι.

---

77. και παντας ὑπο χλωρον δεος εϝλεν.

Tum verò tremefacta novus per pectora cunctis
Insinuat pavor. Æn. ii. 228.

Dii me terrent, et Jupiter hostis. Æn. xii. 895.

81. τον βαλεν ιῳ. inter
Bellatoris equi cava tempora conjicit hastam.
Attollit se erectum quadrupes, et calcibus auras
Verberat, effusumque equitem super ipse secutus
Implicat, ejectoque incumbit cernuus armo. Æn. x. 890.

Hastam intorsit equo, ferrumque sub aure reliquit:
Quo sonipes ictu furit arduus, altaque jactat,
Vulneris impatiens, arrecto pectore crura. Æn. xi. 637.

85. ανεπαλτο. sursum insiliit: ab ανα, επι, et ἀλλομαι, salio.

87. παρηοριας απεταμνε. retinacula abscindebat: Nestor tertium equum habuit, qui jugalibus ad latus jungebatur; Π. 152, 471, 474.

89. αν' ιωχμον. ad inclamationem: vide Δ. 456.

97. ουδ' εσακουσε. neque dicto audiens erat, non voluit audire:

99. αυτος περ εων. ipse quamvis: αυτος non alibi pro οιος ponitur.

104. Ηπεδανος. Parvi pretii: ut ουτιδανος, nullius pretii.

Αλλ' αγ', εμων οχεων επιβησεαι, ὀϝρα ϝιδηαι
Οἱοι Τρωϊοι ἱπποι, επισταμενοι πεδιοιο
Κραιπνα μαλ' ενθα και ενθα διωκεμεν ηδε φεβεσθαι,
Οὑς ποτ' απ' Αινειαν ϝελομην μηστωρε φοβοιο.
Τουτω μεν θεραποντε κομειτων· τωδε δε νωϊ
Τρωσιν εφ' ἱπποδαμοις ιθυνομεν, ὀϝρα και Ἑκτωρ
Fεισεται, ει και εμον δορυ μαινεται εν παλαμῃσιν.
Ὡς εφατ'· ουδ' απιθησε Γερηνιος ἱπποτα Νεστωρ.
Νεστορεας μεν επειθ' ἱππους θεραποντε κομειτην,
Ιφθιμος Σθενελος τε και Ευρυμεδων αγαπηνωρ.
Τω δ' εις αμφοτερω Διομηδεος ἁρματα βητην·
Νεστωρ δ' εν χειρεσσι ϝλαβ' ἡνια σιγαλοεντα·
Fμαστιξεν δ' ἱππους, ταχα δ' Ἑκτορος αγχι γενοντο.
Του δ' ιθυς μεμαωτος ακοντισε Τυδεος υἱος·
Και του μεν ϝρ' αφαμαρτεν· ὁ δ' ἡνιοχον θεραποντα,
Υἱον ὑπερθυμου Θηβαιοφιν Ηνιοπηα,
Ἱππων ἡνι' εχοντα, βαλε στηθος παρα μαζον·
Ηριπε δ' εξ οχεων, ὑπεϝρωησαν δε ϝοι ἱπποι
Ωκυποδες· του δ' αυθι λυθη ψυχη τε μενος τε.
Ἑκτορα δ' αινον αχος πυκασε φρενας ἡνιοχοιο·
Τον μεν επειτ' ειϝασε, και αχνυμενος περ ἑταϝρου,
Κεισθαι· ὁ δ' ἡνιοχον μεθεπε θρασυν, ουδ' αρ ετι δην
Ἱππω δευεσθην σημαντορος· αιψα γαρ εὑρεν
Fιφιτιδην Αρχεπτολεμον θρασυν, ὁν ϝρα τοθ' ἱππων
Ωκυποδων επεβησε, διδου δε ϝοι ἡνια χερσιν.
Ενθα κε λοιγος εεν, και αμηχανα ϝεργα γενοντο·
Και νυ κε σηκασθεν κατα Fιλιον, ηϋτε ϝαρνες,
Ει μη αρ οξυ νοησε πατηρ ανδρων τε Θεων τε·
Βροντησας δ' αρα δεινον, αφηκ' αργητα κεραυνον,

---

105. επιβησεαι. conscendes: Ita rectè Bentleius; vulgò, επιβησεο.
108. μηστωρε φοβοιο. auctores fugæ: ut Ε. 272; alii μηστωρα, ut Ζ. 97.
114. Ιφθιμος. Fortis: Ita Venetus; alii, Ιφθιμοι.
122. ὑπεϝρωησαν, recesserunt cum impetu: ab ερϝωεω, Α. 303.
133. Βροντησας δ' αρα δεινον,

Hic pater omnipotens ter cœlo clarus ab alto

Καδδε προσθ' ἱππων Διομηδεος ἡκε χαμαζε·
Δεινη δε φλοξ ωρτο θεειου καιομενοιο·
Τω δ' ἱππω δεισαντε καταπτητην ὑπ' οχεσφιν·
Νεστορα δ' εκ χειρων φυγεν ἡνια σιγαλοεντα·
Δεισε δ' ὁγ' εν θυμῳ, Διομηδεα δε προσεϝειπε·
Τυδειδη, αγε δ' αυτε φοβονδ' εχε μωνυχας ἱππους.
Η ου γιγνωσκεις, ὁ τοι εκ Διος ουχ ἑπετ' αλκη;
Νυν μεν γαρ τουτῳ Κρονιδης Ζευς κυδος οπαζει,
Σημερον· ὑστερον αυτε και ἡμιν, αι κ' εθελησι,
Δωσει· ανηρ δε κεν ουτι Διος νοον εϝρυσσαιτο,
Ουδε μαλ' ιφθιμος· επει η πολυ φερτατος εστι.
Τον δ' ημειβετ' επειτα βοην αγαθος Διομηδης·
Ναι δη ταυτα γε παντα, γερον, κατα ϝμοιραν εϝειπες·
Αλλα τοδ' αινον αχος κραδιην και θυμον ἱκανει·
Ἑκτωρ γαρ ποτε φησει, ενι Τρωεσσ' αγορευων,
Τυδειδης ὑπ' εμειο φοβευμενος ἱκετο νηας·
Ὡς ποτ' απειλησει· τοτε μοι χανοι ευρεια χθων.
Τον δ' ημειβετ' επειτα Γερηνιος ἱππότα Νεστωρ·
Ω μοι, Τυδεος υἱε δαϊφρονος, οἱον εϝειπες·
Ει περ γαρ σ' Ἑκτωρ γε κακον και αναλκιδα φησει,
Αλλ' ου πεισονται Τρωες και Δαρδανιωνες,
Και Τρωων αλοχοι ϝμεγαθυμων ασπισταων,
Ταων εν κονιηθι βαλες θαλερους παρακοιτας.
Ὡς αρα φωνησας φυγαδ' ετραπε μωνυχας ἱππους,
Αυτις αν' ιωχμον· επι δε Τρωες τε και Ἑκτωρ
Ϝηχῃ θεσπεσιῃ βελεα στονοεντα χεοντο.
Τῳ δ' επι μακρον αϋσε ϝμεγας κορυθαιολος Ἑκτωρ·
Τυδειδη, περι μεν σε τιον Δαναοι ταχυπωλοι
Ἑδρῃ τε κρεασιν τ' ηδε πλειοις δεπαεσσι·

Intonuit, radiisque ardentem lucis et auro
Ipse manu quatiens ostendit ab æthere nubem. Æn. vii. 141.

134. προσθ' ἱππους Διομηδεος. Diomedes non nisi a Jove ipso vincitur.

142. Σημερον. Knightius tres damnat, ut et 164, 165, 166, 171.

Νυν δε σ' ατιμησουσι· γυναικος αρ αντετετυξο·
Ϝερρε, κακη γληνη· επει ου, ϝειξαντος εμειο,
Πυργων ἡμετερων επιβησεαι, ουδε γυναικας
Αξεις εν νηεσσι· παρος τοι δαιμονα δωσω.
῾Ως φατο· Τυδειδης δε διανδιχα μερμηριξεν,
῾Ιππους τε στρεψαι, και εναντιβιον μαχεσασθαι.
Τρις μεν μερμηριξε κατα φρενα και κατα θυμον·
Τρις δ' αρ απ' Ιδαιων ορεων κτυπε μητιετα Ζευς,
Σημα τιθεις Τρωεσσι, μαχης ἑτεραλκεα νικην.
῾Εκτωρ δε Τρωεσσιν εκεκλετο, μακρον αϋσας·
Τρωες και Λυκιοι και Δαρδανοι αγχιμαχηται,
Ανερες εστε, φιλοι, μνησασθε δε θουριδος αλκης.
Γιγνωσκω δ', ὁτε μοι προφρων κατενευσε Κρονιων
Νικην και ϝμεγα κυδος, αϝαρ Δαναοισι γε πημα.
Νηπιοι, οἱ' αρα δη ταδε τειχεα μηχανοωντο,
Αβληχρ', ουδενοσουρα· τα δ' ου μενος αμον εϝρυξει·
῾Ιπποι δε ϝρεα ταφρον ὑπερθορεονται οϝρυκτην·
Αλλ' ὁτε κεν δη νηυσιν επι γλαφυρῃσι γενωμαι,
Μνημοσυνη τις επειτα πυρος δαϊοιο γενεσθω,
῾Ως πυρι νηας ενιπρησω, κτεινω δε και αυτους
Αργειους παρα νηυσιν, ατυζομενους περι καπνῳ.
῾Ως ϝειπων, ἱπποισιν εκεκλετο, φωνησεν τε·

---

164. Ϝερρε, κακη γληνη. Peri, male ocule: γληνη hunc sensum obtinet, Ξ. 494. Od. ι. 390, neque alium habet; interpretes tamen, puella, vertunt. Ϝερρω in quatuor locis digamma postulat, in quinque admittit.

177. οἱ' αρα δη. qualia sanè revera: Ita Bentleius; vulgò, οἱ αρα δη.

178. Αβληχρ', ουδενοσουρα. Debilia, nullius præsidii: ab ουδεις, et ουρος, custos. Vulgò, ουδενοσωρα, quod interpretes, contemnenda, nullâ curâ digna, vertunt; ab ωρα, cura; hæc tamen vox non est Homerica, unde Knightius versum damnat. Vide δυσουρησονται, Κ. 183.

179. ῾Ιπποι δε ϝρεα ταφρον. Equi verò faciliter fossam: Hinc constat vocem ϝρεα digamma adsciscere. Forsitan, Ταφρον δε ϝρει' ἱπποι.

184. ἱπποισιν εκεκλετο. equos hortatus est: Popius Hectorem præ lætitiâ ob fugam Diomedis equos alloqui censet. Ita Achilles, Τ. 399, et Mezentius, Æn. x. 858. Knightius versus novem et viginti damnat.

185. Ξανθε τε και συ Ποδαργε, και αιθων Λαμπετε διε. Flaveque et tu Podarge, et rutile Lampete divine: Nomina equorum, Podargus et Lampetus erant, coloribus flavo et rutilo; Podargus est albipes, et Lampetus a colore igneo nominatur. Achillis equorum mater Podarge vocabatur, Τ. 400, et Lampi filius Lampetides, Ο. 526. Asii equi rutili erant,

Ξανθε τε και συ Ποδαργε, και αιθων Λαμπετε δiε,
Νυν μοι την κομιδην αποτινετον, ἡν μαλα πολλην
Ανδρομαχη, θυγατηρ ϝμεγαλητορος Ηετιωνος,
Ὑμιν παρ προτεροισι, μελιφρονα πυρον εθηκεν,
Ϝοινον τ' εγκερασασα πιειν, ὁτε θυμος ανωγοι,
Η εμοι, ὁς περ ϝοι θαλερος ποσις ευχομαι ειναι.
Αλλ' εφομαρτειτον και σπευδετον, ὀϝρα ϝλαβωμεν
Ασπιδα Νεστορεην, της νυν κλεος ουρανον ἱκει,
Πασαν χρυσειην εμεναι, κανονας τε και αυτην·
Αυταρ απ' ωμοιϊν Διομηδεος ἱπποδαμοιο
Δαιδαλεον θωρηκα, τον Ἡφαιστος καμε τευχων.
Ει τουτω κε ϝλαβοιμεν, εϝελπομεθα κεν Αχαιους
Αυτονυχει νηων επιβησεμεν ωκειαων.
   Ὡς εφατ' ευχομενος· νεμεσησε δε ποτνιας Ἡρη·
Ϝσεισατο δ' εν θρονοθιν, εϝελιξε δε μακρον Ολυμπον·
Και ϝρα Ποσειδαωνα, ϝμεγαν Θεον, αντιον ηυδα·
   Ω ποποι, Εννοσιγαι', ευρυσθενες, ουδε νυ σοι περ
Ολλυμενων Δαναων ολοφυρεται εν φρεσι θυμος;
Οἱ δε τοι εις Ἑλικην τε και Αιγας δωρ' αναγουσι
Πολλα τε και χαριεντα· συ δε σφισι βουλεο νικην.
Ει περ γαρ κ' εθελοιμεν, ὁσοι Δαναοισιν αρωγοι,
Τρωας απωσασθαι, και εϝρυκεμεν ευρυϝοπα Ζευν,

B. 839, M. 97. Alii, Ξανθε τε, και συ Ποδαργε, και Αιθων, Λαμπε τε δiε, legunt, et quatuor fuisse equos censent; quadriga tamen nusquam in Homero memoratur, et verba dualia sequuntur; nugatur Clarkius, cùm id fieri censeat, quia equi bis bini essent.

192. Ασπιδα Νεστορεην. Scutum hoc Nestoris aureum non alibi memoratur, nec Diomedis thorax; hic quidem arma cum Glauco nuper mutaverat, Z. 235.

196. εϝελπομεθα κεν. speraremus tum: ita, Τῳ κε κορεσσαμεθα, X. 427. Vulgò, εελποιμην αν· augmentum tamen optativo præponi nequit, et pluralis melius cum ϝλαβοιμεν concordat.

199. Ϝσεισατο δ' εν θρονοθιν. Concussit verò se in solio: Vulgò, ειvι θρονῳ· ειvι tamen non alibi in Iliade legitur, nec in Odysseâ, nisi in ειvι θυρῃσι, ι. 417; formam igitur antiquam dativi substitui; vide B. 418.

206. εϝρυκεμεν ευρυϝοπα Ζευν. continere latè tonantem Jovem: ita βουν a βους. Vulgò, Ζην' legitur, ut ultima syllaba a versu sequenti elidatur; nusquam tamen poeta hoc sibi permisit. Facilè, εϝρυκεμεναι Κρονιωνα, scripsisse potuit. Sic Ξ. 265, Ω. 331; et confer Ζεiδωρος, B. 548.

Αυτου κ' ενθ' ακαχοιτο καθημενος οιος εν Ιδῃ.
  Την δε ϝμεγ' οχθησας προσεφη κρειων Ενοσιχθων·
Ἡρη αππτοϝεπες, ποιον τον μυθον εϝειπες;
Ου κεν εγωγ' εθελοιμι Διϊ Κρονιωνι μαχεσθαι
Ἡμεας τους αλλους, επει η πολυ φερτατος εστιν.
  Ὡς οἱ μεν τοιαυτα προς αλληλους αγορευον.
Των δ', ὁσον εκ νηων απο πυργου ταφρος εεργε,
Πληθεν ὁμως ἱππων τε και ανδρων ασπισταων
Ϝειλομενων· ϝειλει δε θοῳ αταλαντος Αϝρηϊ
Ἑκτωρ Πριαμιδης, ὁτε ϝοι Ζευς κυδος εδωκε.
Και νυ κ' ενεπρησεν πυρι κηλεῳ νηας εϊσας,
Ει μη επι φρεσι θηκ' Αγαμεμνονι ποτνιας Ἡρη,
Αυτῳ ποιπνυσαντι, θοως οτρυναι Αχαιους.
Βη δ' ιεναι παρα τε κλισιας και νηας Αχαιων,
Πορφυρεον ϝμεγα φαρος εχων εν χειρι παχειῃ·
Στη δ' επ' Οδυσσηος ϝμεγακητεϊ νηϊ μελαινῃ,
Ἡ ϝρ' εν μεσσοθιν εσκε, γεγωνεμεν αμφοτερωσε,
Ημεν επ' Αιαντος κλισιας Τελαμωνιαδαο,
Ηδ' επ' Αχιλληος, τοι ϝρ' εσχατα νηας εϊσας
Εϝρυσαν, ηνορεῃ πισυνοι και καρτεϊ χειρων·
Ηϋσεν δε διαπρυσιον, Δαναοισι γεγωνως·
  Αιδως, Αργειοι, κακ' ελεγχεα, ϝειδος αγητοι·
Πη εβαν ευχωλαι, ὁτε δη φαμεν ειναι αριστοι,
Ἁς, ὁποτ' εν Λημνῳ, κενεαυχεϝες ηγοραασθε,
Εσθοντες κρεα πολλα βοων ορθοκραιραων,
Πινοντες κρητηρας επιστεφεας ϝοινοιο,
Τρωων ανθ' ἑκατον τε διηκοσιων τε ϝεκαστος
Στησεσθ' εν πολεμῳ; νυν δ' ουδ' ἑνος αξιοι ειμεν

207. Αυτου κ' ενθ' ακαχοιτο. Statim tum ibi tristaretur:
209. αππτοϝεπες. audax verbis: αππτοντε ϝεπεσι· vox non alibi occurrit.
213. ὁσον εκ νηων. quantum e navibus a turre fossa continebat: Turri nonnihil a navibus distabat, et spatium inter naves et fossam relinquebatur.
215. Ϝειλομενων. Conglomeratis: a ϝειλεω· vide Ε. 203.
223. εν μεσσοθιν. in medio: dativus Æolicus; Λ. 208. Vulgò, μεσσατῳ, quæ vox nihili est, nec alibi occurrit.

῾Εκτορος, ὁς ταχα νηας ενιπρησει πυρι κηλεῳ.
Ζευ πατερ, η ϝρα τιν᾽ ηδη ὑπερμενεων βασιληων
Τηδ᾽ αϝατῃ αϝασας, και μιν ϝμεγα κυδος απεϝρας;
Ου μεν δη ποτε φημι τεον περικαλλεα βωμον
Νηϊ πολυκληϊδι παρελθεμεν, ενθαδε ϝερρων·
Αλλ᾽ επι πασι βοων δημον και μηρι᾽ εκηα,
Ϝιεμενος Τροΐην ευτειχεον εξαλαπαξαι.
Αλλα, Ζευ, τοδε περ μοι επικρηηνον εϝελδωρ,
Αυτους δη περ εϝασον ὑπεκφυγεειν και αλυξαι,
Μηδ᾽ οὑτω Τρωεσσιν εϝα δαμνασθαι Αχαιους.
  ῾Ως φατο· τον δ᾽ ὁ πατηρ ολοφυρατο δακρυχεοντα·
Νευσε δε ϝοι λαον σαον εμμεναι, ουδ᾽ απολεσθαι.
Αυτικα δ᾽ αιετον ἡκε, τελειοτατον πετεηνων,
Νεβρον εχοντ᾽ ονυχεσσι, τεκος ελαφοιο ταχειης·
Παρ δε Διος βωμῳ περικαλλεϊ καββαλε νεβρον,
Ενθα πανομφαιῳ Ζηνι ϝρεζεσκον Αχαιοι.
  Οἱ δ᾽ ὡς ουν εϝιδον, ὁτ᾽ αρ εκ Διος ηλυθεν ορνις,
Μαλλον επι Τρωεσσι θορον, μνησαντο δε χαρμης.
Ενθ᾽ ουτις προτερος Δαναων, πολλων περ εοντων,
Ευξατο, Τυδεϊδαο παρος, σχεμεν ωκεας ἱππους,
Ταφρου τ᾽ εξελασαι, και εναντιβιον μαχεσασθαι·
Αλλα πολυ πρωτος Τρωων ϝελεν ανδρα κορυστην,
Φραδμονιδην Αγελαον· ὁ μεν φυγαδ᾽ ετραπεν ἱππους·
Τῳ δε μεταστρεφθεντι, μεταφρενῳ εν δορυ πηξεν,
Ωμων μεσσηγυς, δια δε στηθεσφιν ελασσεν·
Ηριπε δ᾽ εξ οχεων, αραβησε δε τευχε᾽ επ᾽ αυτῳ.
Τον δε μετ᾽ Ατρεϊδαι, Αγαμεμνων και Μενελαος·
Τοισι δ᾽ επ᾽ Αιαντες, θουριν επιϝειμενοι αλκην·

---

224. κλισιας. tentoria: Ita MSS. ad Λ. 7; hic vulgò κλισιης legitur, contra grammaticam. Knightius tres versus damnat.

230. ῾Ας, ὁποτ᾽ εν Λημνῳ. Quas, quando in Lemno *eratis*, vaniloqui dicebatis: Potuit etiam, ῾Ας ποτ᾽ ενι Λημνῳ, scripsisse.

231. Εσθοντες. Knightius versus 231, 235, 250, 264, et 277 damnat.

234. Στησεσθαι. Ponderari: id est, æstimandos esse; αντισταθμοι, και ισοβαρεις, Porphyr. Q. H. 15.

237. απεϝρας. abstulisti: ab αποϝρημι· vulgò, απηυρας· vide Λ. 356.

Τοισι δ' επ' Ιδομενευς, και οπαων Ιδομενηος
Μηριονης, αταλαντος Ενυαλιῳ βροτολοιγῳ·
Τοισι δ' επ' Ευρυπυλος, Ευαιμονος αγλαος ὑιος·
Τευκρος δ' εινατος ηλθε, παλιντονα τοξα τιταινων·
Στη δ' αρ ὑπ' Αιαντος σακεϊ Τελαμωνιαδαο.
Ενθ' Αιας μεν ὑπεξεφερεν σακος· αυταρ ὁγ' ἡρως
Παπτηνας, επει αρ τιν' οϊστευσας εν ὁμιλῳ
Βεβληκει, ὁ μεν αυθι πεσων απο θυμον ολεσσεν,
Αυταρ ὁς αυτις ιων, παϊς ὡς ὑπο μητερα, δυσκεν
Εις Αιανθ'· ὁ δε μιν σακεϊ κρυπτασκε φαεινῳ.
Ενθα τινα πρωτον Τρωων ϝελε Τευκρος αμυμων;
Ορσιλοχον μεν πρωτα, και Ορμενον, ηδ' Οφελεστην,
Δαιτορα τε, Χρομιον τε, και αντιθεον Λυκοφοντην,
Και Πολυαιμονιδην Ἁμοπαονα, και Μελανιππον,
Παντας επασσυτερους πελασε χθονι πουλυβοτειρῃ.
Τον δε ϝιδων γηθησε ϝαναξ ανδρων Αγαμεμνων,
Τοξου απο κρατερου Τρωων ολεκοντα φαλαγγας·
Στη δε παρ' αυτον ιων, και μιν προς μυθον εϝειπε·
Τευκρε, φιλη κεφαλη, Τελαμωνιε, κοιρανε λαων,
Βαλλ' οὑτως, αι κεν τι φαος Δαναοισι γενηαι,
Πατρι τε σῳ Τελαμωνιν, ὁ σ' ετρεφε τυτθον εοντα,
Και σε, νοθον περ εοντα, κομισσατο ϝῳ ενι ϝοικῳ·
Τον και εϋκλεϊης επιβησον τηλοθ' εοντα.
Σοι δ' εγω εκϝερεω, ὡς και τετελεσμενον εσται·
Αι κεν μοι δωῃ Ζευς αιγιοχος και Αθηνη
Fιλιου εξαλαπαξαι εϋκτιμενον πτολιεθρον,
Πρωτῳ τοι μετ' εμε πρεσβηϊον εν χερι θησω,
Η τριποδ', ηε δυω ἱππους αυτοισιν οχεσσιν,

---

272. σακεϊ κρυπτασκε φαεινῳ. scuto cooperuit splendido: Plutarchus utilissimum esse ait, fratres non iisdem artibus honores aut imperia petere; cujus exempla Castorem et Pollucem, Teucrum et Ajacem, adducit. De fratrum amore.

285. Τον και εϋκλεϊης επιβησον τηλοθ' εοντα. Hunc et evehe in gloriam procul absentem: Vulgò, Τον και τηλοθ' εοντα εϋκλειης επιβησον· Verba transposui ad hiatum tollendum.

Ηε γυναιχ', ἡ κεν τοι ὁμον λεχος εισαναβαινοι.
Τον δ' απαμειβομενος προσεφωνεε Τευκρος αμυμων·
Ατρεϊδη κυδιστε, τι με σπευδοντα και αυτον
Οτρυνεις; ου μεν τοι, ὁση δυναμις γε παρεστι,
Παυομαι· αλλ' εξ οὑ προτι Ϝιλιον ωσαμεθ' αυτους,
Εκ του δη τοξοισι δεδεγμενος ανδρας εναιρω·
Οκτω δη προεηκα τανυγλωχινας οϊστους,
Παντες δ' εν χροϊ πηχθεν Αϝρηϊθοων αιζηων·
Τουτον δ' ου δυναμαι βαλεειν κυνα λυσσητηρα.
Η ϝρα, και αλλον οϊστον απο νευρηφιν ιαλλεν
Ἑκτορος αντικρυ, βαλεειν δε ϝε ϝιετο θυμος·
Και του μεν ϝρ' αφαμαρθ'· ὁ δ' αμυμονα Γοργυθιωνα,
Υἱον εϋν Πριαμοιο, κατα στηθος βαλεν ιῳ·
Τον ϝρ' εξ Αισυμηθεν οπυιομενη τεκε μητηρ,
Καλη Καστιανειρα, δεμας ϝεϝικυια Θεῃσι.
Μηκων δ' ὡς ἑτερωσε καρη βαλεν, ἡ τ' ενι κηπῳ
Καρπῳ βριθομενη, ϝνοτιῃσι τε ϝειαρινῃσιν·
Ὡς ἑτερωσ' ημυσε καρη πηληκι βαρυνθεν.
Τευκρος δ' αλλον οϊστον απο νευρηφιν ιαλλεν
Ἑκτορος αντικρυ, βαλεειν δε ϝε ϝιετο θυμος·
Αλλ' ὁγε και τοθ' ἁμαρτε· παρεσφηλεν γαρ Απολλων·
Αλλ' Αρχεπτολεμον, θρασυν Ἑκτορος ἡνιοχηα,
Ϝιεμενον πολεμονδε, βαλε στηθος παρα μαζον·
Ηριπε δ' εξ οχεων, ὑπεϝρωησαν δε ϝοι ἱπποι
Ωκυποδες· του δ' αυθι λυθη ψυχη τε μενος τε.
Ἑκτορα δ' αινον αχος πυκασε φρενας ἡνιοχοιο·
Τον μεν επειτ' ειϝασε, και αχνυμενος περ ἑταϝρου·
Κεβριονην δ' εκελευσεν αδελφεον, εγγυς εοντα,

---

304. οπυιομενη. matrimonio ducta: ανηρ οπυιει, γυνη οπυιεται.
306. Μηκων δ' ὡς ἑτερωσε καρη βαλεν.

Volvitur Euryalus leto, pulchrosque per artus
It cruor, inque humeros cervix collapsa recumbit,
Purpureus veluti cùm flos succinctus aratro
Languescit moriens; lassove papavera collo
Demisere caput, pluviâ cùm fortè gravantur. Æn. ix. 433.

Ἱππων ἠνἰ' ϝελειν· ὁ δ' αρ ουκ απιθησεν ακουσας.
Αυτος δ' εκ διφροιο χαμαι θορε παμφανοωντος,
Σμερδαλε' ιαχεων· ὁ δε χερμαδιον ϝλαβε χειρι·
Βη δ' ιθυς Τευκρου, βαλεειν δε ϝε θυμος ανωγει.
Ητοι ὁ μεν φαρετρης εξεϝλετο πικρον οϊστον,
Θηκε δ' επι νευρῃ· τον δ' αυ κορυθαιολος Ἑκτωρ
Αυ ϝερυοντα, παρ' ωμον, ὁθι κληϊς απεεργει
Αυχενα τε στηθος τε, μαλιστα δε καιριον εστι,
Τῃ ϝρ' επι ϝοι μεμαωτα βαλεν λιθῳ οκριοεντι·
Ϝρηξε δε ϝοι νευρην, ναρκησε δε χειρ επι καρπῳ·
Στη δε γνυξ εριπων, τοξον δε ϝοι εκπεσε χειρος.
Αιας δ' ουκ αμελησε κασιγνητοιο πεσοντος,
Αλλα θεων περιβη, και ϝοι σακος αμφεκαλυψε.
Τον μεν επειθ' ὑποδυντε δυω εριηρες ἑταϝροι,
Μηκιστευς, Εχιοιο παϊς, και διος Αλαστωρ,
Νηας επι γλαφυρας φερετην βαρεα στεναχοντα.
Αψ δ' αυτις Τρωεσσιν Ολυμπιος εν μενος ωρσεν,
Οἱ δ' ιθυς ταφροιο βαθειης ωσαν Αχαιους·
Ἑκτωρ δ' εν πρωτοισι κιε, σθενεϊ βλεμεαινων.
  Ὡς δ' ὁτε τις τε κυων συος αγριου, ηε λεοντος,
Ἁπτηται κατοπισθε, ποσιν ταχεεσσι πεποιθως,
Ισχια τε γλουτους τε, ϝελισσομενον τε δοκευει·
Ὡς Ἑκτωρ ωπαζε καρηκομοωντας Αχαιους,
Αιεν αποκτεινων τον οπιστατον· οἱ δ' εφεβοντο.
Αυταρ επει δια τε σκολοπας και ταφρον εβησαν

---

321. Σμερδαλε' ιαχεων. Tremendè clamans: vide E. 302.
323. φαρετρης. In hoc uno loco penultimam corripit.
325. απεεργει. dirimit: Vulgò, αποεργει· vide B. 617, A. 230.
348. αμφιπεριστρωφα. circùm undique vertebat: a στρωφαω· Knightius αμφιπεριστροφαεν· sed ita νωμαω, et τρωπαω.
350. Τους δε ϝιδουσ' ελεησε. Knightius totum locum usque ad versum 48 damnat. Plurimæ quidem voces insunt, quæ in locis non suspectis no occurrunt; ut κεκαδησομεθα, οὑμος, απερωευς, πυλαρταο, εωθεν, ενικλᾷν, απαλδησ θωκους· aliæ voces sensu diverso usurpantur; ut ῥιπη, αμβωμοισι, τεοιο· mul quoque versus ex aliis locis male trahuntur. Quædam horum vitioru tollere possis; tot tamen in uno loco congesta suspicionem movent. Si alià manu est, perantiquam fuisse digamma servatum demonstrat. N

Φευγοντες, πολλοι δε δαμεν Τρωων ὑπο χερσιν,
Οἱ μεν δη παρα νηυσι ϝερητυοντο μενοντες,
Αλληλοισι τε κεκλομενοι, και πασι Θεοισι
Χειρας ανισχοντες, ϝμεγαλ᾽ ευχετοωντο ϝεκαστος.
Ἑκτωρ δ᾽ αμφιπεριστρωφα καλλιτριχας ἱππους,
Γοργους ομματ᾽ εχων, ηδε βροτολοιγου Αϝρηος.
Τους δε ϝιδουσ᾽ ελεησε Θεα λευκωλενος Ἡρη,
Αιψα δ᾽ Αθηναιην ϝεπεα πτεροεντα προσηυδα·
  Ω ποποι, αιγιοχοιο Διος τεκος, ουκετι νωϊ
Ολλυμενων Δαναων κεκαδησομεθ᾽, ὑστατιον περ·
Οἱ κεν δη κακον οιτον αναπλησαντες ολωνται
Ανδρος ἑνος ϝριπῃ· ὁ δε μαινεται ουκετ᾽ ανεκτως
Ἑκτωρ Πριαμιδης, και δη κακα πολλα ϝεϝοργε.
  Την δ᾽ αυτε προσεϝειπε Θεα γλαυκωπις Αθηνη·
Και λιην ουτος γε μενος θυμον τ᾽ ολεσειε,
Χερσιν ὑπ᾽ Αργειων φθιμενος εν πατριδι γαιῃ·
Αλλα πατηρ αμος φρεσι μαινεται ουκ αγαθῃσι,
Σχετλιος, αιεν αλιτρος, εμων μενεων απεϝρωευς.
Ουδε τι των μεμνηται, ὁ ϝοι μαλα πολλακις υἱον
Τειρομενον σαοεσκον ὑπ᾽ Ευρυσθηος αεθλων.
Ητοι ὁ μεν κλαιεσκε προς ουρανον· αυταρ εμε Ζευς
Τῳ επαλεξησουσαν απ᾽ ουρανοθεν προϊαλλεν.
Ει γαρ εγω ταδε ϝοιδε᾽ ενι φρεσι πευκαλιμῃσιν,
Ευτε μιν εις Αϝιδαο πυλαρταο προεπεμψεν
Εξ Ερεβευς αξοντα κυνα στυγερου Αϝιδαο,

Callimachus, nec Apollonius Rhodius, nec Alexandrinus quivis scripsisse potuere. Hujusmodi loca de Deorum interventu plerumque occurrunt, et similia multa in Odysseâ leguntur. Zenodotus horum pleraque olim damnavit. Vide Α. 80, Η. 443.

353. κεκαδησομεθα. continebimur: a κεκαδεω, quod a χαζω. Alii a κηδεω deducunt.

360. Αλλα πατηρ αμος. Sed pater noster: Sic, Ω πατερ ἡμετερε, Θ. 31. Vulgò, οὑμος, quæ forma non Homerica est.

361. αλιτρος. injuriosus: ab αλιτεω. απεϝρωευς, repressor: ab ερωεω.

363. σαοεσκον. servabam: a σαοω. Vulgò, σωεσκον· Homerus tamen hujusmodi contractiones non admittit.

367. πυλαρταο προεπεμψεν. portis aptati misit: Forsitan, πυλαρτεω δω,

Ου κεν ὑπεξεφυγε Στυγος ὑδατος αιπα ϝρεεθρα.
Νυν δ' εμε μεν στυγεει, Θετιδος δ' εξηνυσε βουλας,
Ἡ ϝοι γουνατ' εκυσσε, και εϝλαβε χειρι γενειου,
Ϝλισσομενη τιμησαι Αχιλληα πτολιπορθον.
Εσται μαν, ὁτε κ' αυτε φιλην Γλαυκωπιδα ϝειπῃ.
Αλλα συ μεν νυν νωϊν επεντυε μωνυχας ἱππους,
Ὀϝρα κ' εγω, καταδυσα Διος δομον αιγιοχοιο,
Τευχεσιν ες πολεμον θωρηξομαι, ὀϝρα ϝιδωμαι,
Ει νωϊ Πριαμοιο παϊς κορυθαιολος Ἑκτωρ
Γηθησει προφανεισα ανα πτολεμοιο γεφυρας.
Η τις και Τρωων κορεει κυνας ηδ' οιωνους
Δημῳ και σαρκεσσι, πεσων επι νηυσιν Αχαιων.
Ὡς εφατ'· ουδ' απιθησε Θεα λευκωλενος Ἡρη.
Ἡ μεν εποιχομενη χρυσαμπυκας εντυεν ἱππους
Ἡρη, πρεσβα Θεα, θυγατηρ ϝμεγαλοιο Κρονοιο·
Αυταρ Αθηναιη, κουρη Διος αιγιοχοιο,
Πεπλον μεν κατεχευεν εανον πατρος επ' ουδει,
Ποικιλον, ὁν ϝῥ' αυτη ποιησατο και καμε χερσιν.
Ἡ δε, χιτων' ενδυσα Διος ϝνεφεληγερεταο,
Τευχεσιν ες πολεμον θωρησσετο δακρυοεντα.
Ες δ' οχεα φλογεα ποσι βησατο, λαζετο δ' εγχος
Βριθυ, ϝμεγα, στιβαρον, τῳ δαμνησι στιχας ανδρων
Ἡρωων, τοισιν τε κοτεσσεται οβριμοπατρη.
Ἡρη δε ϝμαστιγι θοως επεμαιετ' αρ ἱππους·
Αυτομαται δε πυλαι μυκον ουρανου, ἁς εχον Ὡραι,
Τῃς επιτετραπται ϝμεγας ουρανος, Ουλυμπος τε,

---

vel, πυλας κρατερας, legendum; genitivus enim in αο non nisi iterum in hac voce, Ν. 415, Od. λ. 276, et in Πολυποιταο, Ψ. 848, penultimam in thes producit. Vide Ι. 126. Vulgò etiam προυπεμψεν· sed Homerus formas solutas amat.

378. Γηθησει προφανεισα. Lætabitur apparentibus: Γηθεω plerumque [illegible] adsciscit, sed iterum per se accusativum regit, Ι. 77, et sic, jam id gaudeo, Ter. Andr. 2. 2. 25. Forsitan, προφανεντε ϝιδων πολεμοιο γεφυρῃς.

384. Αυταρ Αθηναιη. Tredecim versus ab Ε. 733 repetuntur.

405. απαλθησεσθον. sanabuntur: ab απο et αλθεω· ita, Αλθετο χ[illegible] Ε. 417.

Ημεν ανακλιναι πυκινον ϝνεφος, ηδ' επιθειναι.
Τῃ ϝρα δι' αυταων κεντρηνεκεας εχον ἱππους.
Ζευς δε πατηρ, Ιδηθεν επει ϝιδε, χωσατ' αρ αινως·
Ϝιριν δ' οτρυνε χρυσοπτερον αγγελεουσαν·
Βασκ' ιθι, Ϝιρι ταχεια, παλιν τρεπε, μηδ' εϝα αντην
Ερχεσθ'· ου γαρ καλα συνοισομεθα πτολεμονδε.
Ὡδε γαρ εκϝερεω, τοδε και τετελεσμενον εσται·
Γυιωσω μεν σφωϊν ὑφ' ἁρμασιν ωκεας ἱππους·
Αυτας δ' εκ διφρου βαλεω, κατα θ' ἁρματα ϝαξω·
Ουδε κεν ες δεκατους περιτελλομενους ενιαυτους
Ἑλκε' απαλθησεσθον, ἁ κεν μαρπτησι κεραυνος·
Ὀϝρα ϝιδῃ Γλαυκωπις, ὁκεν ϝῳ πατρι μαχηται.
Ἡρῃ δ' ουτι τοσον νεμεσιζομαι, ουδε χολουμαι·
Αιει γαρ μ' ειωθεν ενικλᾶν, ὁ ϝρα νοησω.
Ὡς εφατ'· ωρτο δε Ϝιρις αελλοπος αγγελεουσα·
Βη δε κατ' Ιδαιων ορεων ες μακρον Ολυμπον.
Πρωτῃσιν δε πυλῃσι πολυπτυχου Ουλυμποιο
Αντομενη κατεϝρυκε· Διος δε ϝρ' εϝνεπε μυθον·
Πη μεματον; τι σφωϊν ενι φρεσι μαινεται ητορ;
Ουκ εϝαα Κρονιδης επαμυνεμεν Αργειοισιν.
Ὡδε γαρ ηπειλησε Κρονου παϊς, ει τελεει περ,
Γυιωσειν μεν σφωϊν ὑφ' ἁρμασιν ωκεας ἱππους,
Αυτας δ' εκ διφρου βαλεειν, κατα θ' ἁρματα ϝαξειν·
Ουδε κεν ες δεκατους περιτελλομενους ενιαυτους
Ἑλκε' απαλθησεσθον, ἁ κεν μαρπτησι κεραυνος·
Ὀϝρα ϝιδῃς, Γλαυκωπις, ὁκεν σῳ πατρι μαχηαι.

---

406. Ὀϝρα ϝιδῃ. Ut videat: Ita Bentleius, et sic Ν. 449, Ο. 32. Vulgò, Οφρ' ειδῃ, Ut sciat, quod in digamma peccat. Vulgò etiam, ὁταν.

408. μ' ειωθεν ενικλᾳν. me solet oppugnare: Vulgò, μοι εωθεν· sed εωθεν non alibi occurrit, et ενικλᾳν, quod etiam semel dictum est, facilè, ut ενιπτειν, accusativum regere potest. Forsitan ενιπτειν, vel εριδαινειν, legendum. Vulgò etiam, ὁ,ττι.

412. Διος δε ϝρ' εϝνεπε μυθον. Jovis verò sanè dixit sermonem: Vulgò, σφ' εννεπε· vide Γ. 300.

420. Ὀϝρα ϝιδῃς. Ut videas: Vulgò, Οφρ' ειδῃς· vide Θ. 406.

Ἡρῃ δ' ουτι τοσον νεμεσιζεται, ουδε χολουται·
Αιει γαρ ϝ' ειωθεν ενικλᾷν, ὁ ϝρα νοησῃ.
Αλλα συγ', αινοτατη, κυον αδδεες, ει ετεον γε
Τολμησεις Διος αντα πελωριον εγχος αειραι.
Ἡ μεν αρ ὡς ϝειπουσ' απεβη ποδας ωκεα Ϝιρις·
Αυταρ Αθηναιην Ἡρη προς μυθον εϝειπεν·
Ω ποποι, αιγιοχοιο Διος τεκος, ουκετ' εγωγε
Νωϊγ' εϝῶ Διος αντα βροτων ἑνεκα πτολεμιζειν.
Των αλλος μεν αποφθισθω, αλλος δε βιωτω,
Ὁς κε τυχῃ· κεινος δε τα ϝα φρονεων ενι θυμῳ,
Τρωσι τε και Δαναοισι δικαζετω, ὡς επιϝεικες.
Ὡς αρα φωνησασα, παλιν τρεπε μωνυχας ἱππους.
Τῃσιν δ' Ὡραι μεν λυσαν καλλιτριχας ἱππους·
Και τους μεν κατεδησαν επ' αμβροσιῃσι καπῃσιν·
Ἁρματα δ' εκλιναν προς ενωπια παμφανοωντα·
Αυται δε χρυσεοισιν επι κλισμοισι καθιζον
Μιγδ' αλλοισι Θεοισι, φιλον τετιημεναι ητορ.
Ζευς δε πατηρ Ιδηθεν εΰτροχον ἁρμα και ἱππους
Ουλυμπονδ' εδιωκε, Θεων δ' εξικετο ϝοικους.
Τῳ δε και ἱππους μεν λυσε κλυτος Εννοσιγαιος,
Ἁρματα δ' αμβωμοισι τιθει, κατα λιτα πετασσας·
Αυτος δε χρυσειον επι θρονον ευρυϝοπα Ζευς
Ἑζετο, τῳ δ' ὑπο ποσσι ϝμεγας πελεμιζετ' Ολυμπος.
Αἱ δ' οιαι Διος αμφις Αθηναιη τε και Ἡρη
Ἡσθην, ουδε τι μιν προσεφωνεον, ουδ' εϝεροντο·
Αυταρ ὁς εγνω ϝῃσιν ενι φρεσι, φωνησεν τε·
Τιφθ' οὑτω τετιησθον, Αθηναιη τε και Ἡρη;
Ου μεν δην καμετον γε μαχῃ ενι κυδιανειρῃ
Ολλυσαι Τρωας, τοισιν κοτον αινον εθεσθε.

---

422. ϝ'ειωθεν. eum solet: Vulgò, οἱ εωθεν, et ὁ,ττι· vide Θ. 408.
428. Νωϊγ' εϝῶ. Nos permitto. Vulgò, Νωϊ εῶ· vide Β. 165.
439. ϝοικους. ædes: Vulgò, θωκους· sed hæc vox non alibi in Iliade occurrit.
450. ααπτοι. non tangendæ: insuperabiles; ab α, non, et ἁπτω, tango.
453. Πριν πολεμον ϝιδεειν. Antequam bellum videritis: Particulam τι extrusi.

Παντως, οἱον εμον γε μενος και χειρες ααπτοι,
Ου κεν με τρεψειαν, ὁσοι Θεοι εισ᾽ εν Ολυμπῳ.
Σφωϊν δε πριν περ τρομος εϝλαβε φαιδιμα γυια,
Πριν πολεμον ϝιδεειν, πολεμοιο τε μερμερα ϝεργα.
Ὡδε γαρ εκϝερεω, τοδε και τετελεσμενον εσται·
Ου κεν εφ᾽ ὑμετερων οχεων, πληγεντε κεραυνῳ,
Αψ ες Ολυμπον ἱκεσθον, ἱν᾽ αθανατων ἑδος εστιν.
  Ὡς εφαθ᾽· αἱ δ᾽ επεμυξαν Αθηναιη τε και Ἡρη·
Πλησιαι αἱγ᾽ ἡσθην, κακα δε Τρωεσσι μεδεσθην.
Ητοι Αθηναιη ακεουσ᾽ ην, ουδε τι ϝειπε,
Σκυζομενη Διϊ πατρι, χολος δε μιν αγριος ἡρει·
Ἡρη δ᾽ ουκ εχαδε στηθος χολον, αλλα προσηυδα·
  Αινοτατε Κρονιδη, ποιον τον μυθον εϝειπες;
Ευ νυ και ἡμεις ϝιδμεν, ὁ τοι σθενος ουκ επιϝικτον·
Αλλ᾽ εμπης Δαναων ολοφυρομεθ᾽ αιχμηταων,
Οἱ κεν δη κακον οιτον αναπλησαντες ολωνται·
Αλλ᾽ ητοι πολεμου μεν αφεξομεθ᾽, ει συ κελευεις·
Βουλην δ᾽ Αργειοις ὑποθησομεθ᾽, ἡ τις ονησει,
Ὡς μη παντες ολωνται, οδυσσαμενοιο γε σειο.
  Την δ᾽ απαμειβομενος προσεφη ϝνεφεληγερετα Ζευς·
Ηοοθεν και μαλλον ὑπερμενεα Κρονιωνα
Οψεαι, αι κ᾽ εθελησθα, βοωπις ποτνιας Ἡρη,
Ολλυντ᾽ Αργειων πολλον στρατον αιχμηταων.
Ου γαρ πριν πολεμου αποπαυσεται οβριμος Ἑκτωρ,
Πριν γ᾽ ωρθαι παρα ναυφι ποδωκεα Πηλεϊωνα,
Ηματι τῳ, ὁτε χ᾽ οἱ μεν επι πρυμνῃσι μαχωνται,
Στεινει εν αινοτατῳ, περι Πατροκλοιο πεσοντος·
Ὡς γαρ θεσφατον εστι· σεφιν δ᾽ εγω ουκ αλεγιζω
Χωομενης, ουδ᾽ ει κε τα νειατα πειραθ᾽ ἱκηαι

---

468. οδυσσαμενοιο γε σειο. irato quidem te: Vulgò, τεοιο· vide Θ. 37.

470. Ηοοθεν. Mane: Vulgò, Ηους δη· sed obliqui ab Ηως nusquam ita locantur, ut non solutè legi possint, nisi hic, et Η. 525, et forma soluta sæpe postulatur, ut Θ. 561. Ηοοθεν, quæ forma antiqua ablativi est, in quinque locis Iliadis et quindecim Odysseæ adverbialiter ponitur.

Ποντοφι και γαιηφιν, ἱν' Ιαπετος τε Κρονος τε
Ἡμενοι, ουτ' αυγῃς Ὑπεριονος Ηελιοιο
Τερποντ', ουτ' ανεμοισι· βαθυς δε τε ταρταρος αμφις·
Ουδ' ει κ' ενθ' αφικηαι αλωμενη, ου σευ εγωγε
Σκυζομενης αλεγω, επει ου σεο κυντερον αλλο.
Ὡς φατο· τον δ' ουτι προσεφη λευκωλενος Ἡρη.
Εν δ' επεσ' Ωκεανῳ λαμπρον φαος Ηελιοιο,
Ἑλκον νυκτα μελαιναν επι Ζεϊδωρον αρουραν.
Τρωσιν μεν ϝρ' αϝεκουσιν εδυ φαος· αυταρ Αχαιοις
Ασπασιη, τριϝλιστος, επηλυθε νυξ ερεβεννη.
Τρωων δ' αυτ' αγορην ποιησατο φαιδιμος Ἑκτωρ,
Νοσφι νεων αγαγων ποταμῳ επι δινηεντι,
Εν καθαρῳ· ὁθι δη νεκυων διεφαινετο χωρος.
Εξ ἱππων δ' αποβαντες επι χθονα, μυθον ακουον,
Τον ϝρ' Ἑκτωρ αγορευε, Διϊ φιλος· εν δ' αρα χειρι
Εγχος εχ' ἑνδεκαπηχυ· παροιθε δε λαμπετο δουρος
Αιχμη χαλκειη, περι δε χρυσεος θεε πορκης·
Τῳ ὁγ' ερεισαμενος, ϝεπεα πτεροεντα προσηυδα·
Κεκλυτε μευ, Τρωες, και Δαρδανοι, ηδ' επικουροι·
Νυν εφαμην, νηας τ' ολεσας και παντας Αχαιους,
Αψ απονοστησειν προτι Ϝιλιον ηνεμοεσσαν·
Αλλα πριν κνεφας ηλθε, το νυν εσαωσε μαλιστα
Αργειους και νηας επι ϝρηγμινι θαλασσης.
Αλλ' ητοι νυν μεν πειθωμεθα νυκτι μελαινῃ,
Δορπα τ' εφοπλισομεσθ'· αυταρ καλλιτριχας ἱππους
Λυσαθ' ὑπ' εξ οχεων, παρα δε σφισι βαλλετ' εδωδην·

---

479. Ποντοφι και γαιηφιν. Maris et terræ: Vulgò, Γαιης και ποντοιο· formas antiquas ob metrum substitui; Α. 208, Β. 145.

480. Ὑπεριονος. Hyperi filii: Hyperus, Deus summus, mythologiâ forsitan Asiaticâ Solis pater erat; vide Α. 14. Malè alii ab ὑπερειμι, prosodiâ reclamante, deducunt. Ita, Ηλεκτωρ Ὑπεριων, Τ. 398.

486. Ζεϊδωρον· Jovis donum: Β. 548.

488. τριϝλιστος. ter optata: a ϝλισσομαι· vulgò, τριλλιστος.

490. ποταμῳ επι δινηεντι. fluvium ad vorticosum: Xanthum nempe, Θ. 556. Knightius versum damnat, quia castra ad Thymbræum rivulum tenderentur.

512. νεων επιβαιεν εϊσων. naves conscenderent bonas: Vulgò, ἑκηλοι, quod

Εκ πολιος δ' αξασθε βοας και ϝιφια μηλα
Καρπαλιμως, ϝοινον δε μελιφρονα ϝοινιζεσθε,
Σιτον τ' εκ ϝμεγαρων, επι δε ξυλα πολλα λεγεσθε,
Ὡς κεν παννυχιοι, μεσφ' Ηοος ηριγενειης,
Καιωμεν πυρα πολλα, σελας δ' εις ουρανον ἱκῃ·
Μη πως και δια νυκτα καρηκομοωντες Αχαιοι
Φευγειν ὁρμησωνται επ' ευρεα νωτα θαλασσης.
Μη μαν ασπουδει γε νεων επιβαιεν εἵσων·
Αλλ' ὡς τις τουτων γε βελος και ϝοικοθι πεσσῃ,
Βλημενος η ιῳ, η εγχεϊν οξυοεντι,
Νηος επιθρωσκων· ἱνα τις στυγεησι και αλλος
Τρωσιν εφ' ἱπποδαμοισι φερειν πολυδακρυν Αϝρηα.
Κηρυκες δ' ανα ϝαστυ Διϊ φιλοι αγγελλοντων,
Παιδας πρωθηβας, πολιοκροταφους τε γεροντας,
Λεξασθαι περι ϝαστυ, θεοδμητων επι πυργων·
Θηλυτεραι δε γυναικες ενι ϝμεγαροισι ϝεκαστη
Πυρ ϝμεγα καιοντων· φυλακη δε τις εμπεδος εστω,
Μη λοχος εισελθησι πολιν, λαων απεοντων.
Ὡδ' εστω, Τρωες ϝμεγαλητορες, ὡς αγορευω·
Μυθος δ', ὁς μεν νυν ὑγιης, ϝεϝρημενος εστω,
Ηοοθεν τον Τρωσι μεθ' ἱπποδαμοις αγορευσω.
Ϝελπομαι ευχομενος Διϊ τ', αλλοισιν τε Θεοισιν,
Εξελααν ενθενδε κυνας κηρεσσιφορητους,
Οὑς κηρες φορεουσι μελαιναων επι νηων.
Αλλ' ητοι επι νυκτι φυλαξομεν ἡμεας αυτους·
Πρωϊ δ' ὑπ' Ηοοθεν συν τευχεσι θωρηχθεντες

---

in digamma peccat, et idem est cum ασπουδει, cujus forsitan glossa erat. Bentleius επιβῶσι· sed επιβεωσι esset, et optativus postulatur.

524. ὑγιης. sana: Vox non alibi in Homero occurrit. Knightius sex versus damnat. Forsitan, αγαθος, vel, εσθλος, legendum.

525. Ηοοθεν τον Τρωσι. Mane quem Trojanis: Vulgò, Τον δ' Ηους Τρωεσσι· vide Θ. 470.

526. Ϝελπομαι ευχομενος. Spero precans: Ita rectè Zenodotus; vulgò, Ευχομαι ελπομενος.

530. Πρωϊ δ' ὑπ' Ηοοθεν. Diluculo verò sub Aurorâ: Vulgò, ὑπηοιοι, quæ vox non sana est.

Νηυσιν επι γλαφυρῃσιν εγειρομεν οξυν Αϝρηα.
Ϝεισομαι, αι κε μ' ὁ Τυδεΐδης κρατερος Διομηδης
Παρ νηων προς τειχος απωσεται, η κεν εγω τον
Χαλκῳ δαιωσας, εναρα βροτοεντα φερωμαι.
Αυριον η κ' αρετην διαϝεισεται, αι κ' εμον εγχος
Μεινῃ επερχομενον· αλλ' εν πρωτοισιν οΐω
Κεισεται ουτηθεις, πολεες δ' αμφ' αυτον ἑταϝροι,
Ηελιου ανιοντος ες αυριον. Αι γαρ εγων ὡς
Ειην αθανατος και αγηραος ηματα παντα,
Τιοιμην δ' ὡς τιετ' Αθηναιη και Απολλων,
Ὡς νυν ἡμερη ἡδε κακον φερει Αργειοισιν.
Ὡς Ἑκτωρ αγορευ'· επι δε Τρωες κελαδησαν·
Οἱ δ' ἱππους μεν λυσαν ὑπο ζυγου ἱδρωοντας,
Δησαν δ' ιϝμαντεσσι παρ' ἁρμασι ϝοισι ϝεκαστος·
Εκ πολιος δ' αξαντο βοας και ϝιφια μηλα
Καρπαλιμως· ϝοινον δε μελιφρονα ϝοινιζοντο,
Σιτον τ' εκ ϝμεγαρων, επι δε ξυλα πολλα λεγοντο.
Κνισσην δ' εκ πεδιου ανεμοι φερον ουρανον εισω.
Οἱ δε, ϝμεγα φρονεοντες, επι πτολεμοιο γεφυρῃς
Εἱατο παννυχιοι· πυρα δε σφισι καιετο πολλα.
Ὡς δ' ὁτ' εν ουρανῳ αστρα φαεινην αμφι σεληνην
Φαινετ' αριπρεπεα, περι τ' επλετο νηνεμος αιθηρ,

---

535. Αυριον η κ' αρετην διαϝεισεται. Cras certè tum virtutem dignoscet: Vulgò, ἰν, quod ϝην esset. Knightius septem versus damnat.

544. ιϝμαντεσσι. loris: Hinc constat vocem digamma accipere; vide Γ. 371.

547. επι δε ξυλα πολλα λεγοντο. insuper verò ligna multa colligebant: Barnesius versus quatuor hoc ordine ex Platonis Alcibiade adduxit.

Ϝερδον δ' αθανατοισι τελησσας ἑκατομβας·
Κνισσην δ' εκ πεδιου ανεμοι φερον ουρανον εισω
Ϝηδειαν· της ουτι Θεοι μακαρες δατεοντο,
Ουδ' εθελον· μαλα γαρ σφιν απηχθετο Ϝιλιος ἱρη,
Και Πριαμος, και λαος εϋϝμελιω Πριαμοιο.

549. επι πτολεμοιο γεφυρῃς. ad belli pontes: In spatiis enim, quæ inter phalanges relinquebantur, nulla essent cadavera.

552. περι τ' επλετο νηνεμος αιθηρ. circùmque erat placidus æther: Vulgò, ὁτε τ' επλετο, quod in metrum peccat.

Εκ τ' εφανον πασαι σκοπιαι, και πρωονες ακροι,
Και ναπαι· ουρανοθεν δ' αρ ὑπεϝραγη ασπετος αιθηρ,
Παντα δε ϝειδεται αστρα· γεγηθε δε τε φρενα ποιμην·
Τοσσα, μεσηγυ νεων ηδε Ξανθοιο ϝροαων,
Τρωων καιοντων πυρα φαινετο Ϝιλιοφι προ.
Χιλι' αρ εν πεδιῳ πυρα καιετο· παρ δε ϝεκαστῳ
Εἱατο πεντηκοντα, σελας πυρος αιθομενοιο.
Ἱπποι δε κρι λευκον ερεπτομενοι και ολυρας,
Ἑσταοτες παρ' οχεσσιν, εΰθρονον Ηοα μιμνον.

---

553. Εκ τ' εφανον. Knightius tabulam hanc splendidam præter versum 555 usque ad finem libri damnat.

555. Παντα δε ϝειδεται αστρα. Omnia verò apparent sidera: τε otiosum detrusi.

557. Ϝιλιοφι προ. Trojam ante: Vulgò, Ϝιλιοθι· sed προ in hoc sensu plerumque genitivum regit; O. 66. Hinc constat urbem Trojam haud longè a Græcorum castris abfuisse; ignes enim et ante urbem et juxta castra erant. Confer I. 76, K. 11, 12, 161, E. 773.

559. σελας πυρος αιθομενοιο. lux ignis ardentis: id est, corpora et arma, igne repercusso, lucentes. Ita, μαρναντο δεμας πυρος αιθομενοιο, Λ. 595, et, θεσπιδαες πυρ Λαινον, M. 177. Fortes quidem figuræ, sed tabulas vivacissimas efficiunt. Languidiùs multò, alii præpositionem subintelligunt, alii σελᾳ legunt.

561. Ηοα μιμνον. Auroram expectabant: Ita legendum opinor; quamvis per lectionem vulgarem, ηω, Clarkius expectationem denotari censeat. Versus enim a duobus vocibus spondaicis concludi nequit, et Homerus formas solutas amat. Αϝοα forma antiquissima erat.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

I.

S

ARGUMENTA.

Αγγελιη ες Αχιληα.
Πηλεϊδην αρεσαι Αγαμεμνων ηθελ', Ιωτα.

1. Græcis fusis, Agamemnon principes in concilium vocat, et fi hortatur.—21. Diomedes eum increpat.—52. Nestor vigilias ord jubet, 96, legatosque, Ulyssem et Ajacem, ad Achillem placa mittere.—114. Agamemnon dona nominat, quæ Achilli dare velit.— Legati Achillem ad lyram cantantem inveniunt.—205. Achilles d instaurat.—225. Ulysses legationem edit.—307. Achilles placari n —432. Phœnix eum flectere conatur.—602. Achilles ei respondet.— Ajacis oratio.—640. Responsum Achillis.—665. Ulysses repulsam A lis principibus exponit.—692. Diomedes eos hortatur, et ad te disceditur.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Ι.

ʽΩΣ οἱ μεν Τρωες φυλακας εχον· αυταρ Αχαιους
Θεσπεσιη εχε Φυζα, Φοβου κρυοεντος ἑταϝρη·
Πενθεϊ δ' ατλητῳ βεβοληατο παντες αριστοι.
ʽΩς δ' ανεμοι δυο ποντον ορινετον ιχθυοεντα,
Βοϝρης και Ζεφυρος, τω τε Θραϊκηθεν αητον,
Ελθοντ' εξαπινης· αμυδις δε τε κυμα κελαινον
Κορθυεται, πολλον δε παρεξ ἁλα φυκος εχευαν·
ʽΩς εδαϊζετο θυμος ενι στηθεσσιν Αχαιων.
Ατρεϊδης δ' αχεϊ ϝμεγαλῳ βεβολημενος ητορ,
Φοιτα, κηρυκεσσι ϝλιγυφθογγοισι κελευων,

---

1. ʽΩς οἱ μεν. "Nec poeticâ modò, sed oratoriâ virtute eminentissimus Homerus. Nam, ut de laudibus, exhortationibus, consolationibus taceam; nonne vel nonus liber, quo missa ad Achillem legatio continetur, omnes litium et consiliorum explicat artes?" Quintilian. lib. x. c. 1. In hoc etiam et proximo libro Poeta pictorem se eximium in novo artis genere ostendit, et, quid noctu in exercitibus agatur, exponit. Lectorem in concilia, in tentoria, ad excubias, in castra hostilia manu ducit, et lucem gratam per obscura spargit.

4. ʽΩς δ' ανεμοι δυο ποντον. Pulcherrima hæc similitudo locis circa Trojam convenit; ibi enim Boreas et Zephyrus a montibus Thraciis spirant, et algam in littus effundunt. Hinc Woodius Homerum Asiaticum fuisse judicat.

> Adversi rupto ceu quondam turbine venti
> Confligunt, Zephyrusque Notusque et lætus Eois
> Eurus equis; stridunt sylvæ, sævitque tridenti
> Spumeus, atque imo Nereus ciet æquora fundo. Æn. ii. 416.

5. Βοϝρης και Ζεφυρος. Boreas et Zephyrus: Vulgò, Βορεης, contra metrum. Vide Ε. 524.

7. παρεξ ἁλα φυκος εχευαν. ad mare algam effundunt: casus a παρα regitur, ut Κ. 391. Aoristus cum præsenti jungitur.

8. ʽΩς εδαϊζετο θυμος. Sic dividebatur animus: id est, fugerentne an manerent.

Κληδην εις αγορην κικλησκειν ανδρα ϝεκαστον,
Μηδε βοᾷν· αυτος δε μετα πρωτοισι πονειτο.
Ἱζον δ᾽ ειν αγορῃ τετιηοτες· αν δ᾽ Αγαμεμνων
Ἱστατο δακρυχεων, ὡς τε κρηνη μελανυδρος,
Ἡ τε κατ᾽ αιγιλιπος πετρης δνοφερον χεει ὑδωρ·
Ὡς ὁ βαρυστεναχων ϝεπε᾽ Αργειοισι μετηυδα·
Ω φιλοι, Αργειων ἡγητορες, ηδε μεδοντες,
Ζευς με ϝμεγα Κρονιδης αϝατῃ ενεδησε βαρειῃ·
Σχετλιος, ὁς πριν μεν μοι ὑπεσχετο και κατενευσεν,
Fιλιον εκπερσαντ᾽ ευτειχεον απονεεσθαι·
Νυν δε κακην απατην βουλευσατο, και με κελευει,
Δυσκλεε᾽, Αργος ἱκεσθαι, επει πολυν ωλεσα λαον.
Οὑτω που Διϊ μελλει ὑπερμενεϊ φιλον ειναι,
Ὁς δη πολλαων πολιων κατελυσε καρηνα,
Ηδ᾽ ετι και λυσει· του γαρ κρατος εστι ϝμεγιστον.
Αλλ᾽ αγεθ᾽, ὡς αρ εγω ϝειπω, πειθωμεθα παντες,
Φευγωμεν συν νηυσι φιλην ες πατριδα γαιαν·
Ου γαρ ετι Τροϊην αἱρησομεν ευρυαγυιαν.
Ὡς εφαθ᾽· οἱ δ᾽ αρα παντες ακην εγενοντο σιωπῃ,
Δην δ᾽ αναοι ησαν τετιηοτες υἱες Αχαιων·
Οψε δε δη μετεϝειπε βοην αγαθος Διομηδης·
Ατρεϊδη, σοι πρωτα μαχησομαι αφραδεοντι,
Ἡι θεμις εστι, ϝαναξ, αγορῃ· συ δε μη τι χολωθῃς.
Αλκην μεν μοι πρωτον ονειδισας εν Δαναοισι,
Φας εμεν απτολεμον και αναλκιδα· ταυτα δε παντα
Fισασ᾽ Αργειων ημεν νεοι, ηδε γεροντες·

13. τετιηοτες. cruciati: iterum in voce activâ occurrit, ι. 30, 691, Λ. 554. Forsitan tamen τετιημενοι legendum.

14. Ἱστατο δακρυχεων.

Multa gemens, largoque humectat flumine vultum. Æn. i. 469.

17. Ω φιλοι. Iisdem verbis utitur Agamemnon ad tentandos militum animos, Β. 110; nunc revera vult fugere.

23. Οὑτω. Knightius tres versus omittit, ut loco alienos.

30. αναοι. muti: Vulgò, ανεῳ, et ι. 691; vide Β. 323.

Σοι δε διανδιχα δωκε Κρονου παϊς αγκυλομητεω·
Σκηπτρῳ μεν τοι δωκε τετιμησθαι περι παντων·
Αλκην δ' ου τοι δωκεν, ὁ τε κρατος εστι ϝμεγιστον.
Δαιμονι', οὑτω που μαλα ϝελπεαι υἱας Αχαιων
Απτολεμους τ' εμεναι και αναλκιδας, ὡς αγορευεις;
Ει δε τοι αυτῳ θυμος επεϝσυται, ὡς τε νεεσθαι,
Ερχεο· παρ τοι ὁδος, νηες δε τοι αγχι θαλασσης
Ἑστᾶσ', αἱ τοι ἑποντο Μυκηνηθεν μαλα πολλαι·
Αλλ' αλλοι μενεουσι καρηκομοωντες Αχαιοι,
Εισοκε περ Τροϊην διαπερσομεν· ει δε και αυτοι,
Φευγοντων συν νηυσι φιλην ες πατριδα γαιαν·
Νωϊ δ', εγω Σθενελος τε, μαχησομεθ', εισοκε τεκμωρ
Fιλιου εὑρωμεν· συν γαρ Θεῳ ειληλουθμεν.
Ὡς εφαθ'· οἱ δ' αρα παντες επιαχον υἱες Αχαιων,
Μυθον αγασσαμενοι Διομηδεος ἱπποδαμοιο.
Τοισι δ' ανισταμενος μετεφωνεεν ἱπποτα Νεστωρ·
Τυδεϊδη, περι μεν πολεμῳ ενι καρτερος εσσι,
Και βουλῃ μετα παντας ὁμηλικας επλευ αριστος·
Ουτις τοι τον μυθον ονοσσεται, ὁσσοι Αχαιοι,
Ουδε παλιν ϝερεει· αϝαρ ου τελος ἱκεο μυθων.
Η μην και νεος εσσι, μεφιν δε κε και παϊς ειης
Ὁπλοτερος γενεηφιν, αϝαρ πεπνυμενα βαζεις
Αργειων βασιληας, επει κατα ϝμοιραν εϝειπες.
Αλλ' αγ', εγων, ὁς σειο γεραιτερος ευχομαι ειναι,
Εκϝειπω, και παντα διϊξομαι· ουδε κε τις μοι
Μυθον ατιμησει, ουδε κρειων Αγαμεμνων.

---

31. βοην αγαθος Διομηδης. Vivida semper et fortis Diomedis oratio, qualis juvenem animosum decet.

36. Fισασι. Sciunt: Primam corripit, Ζ. 151; forsitan igitur Fοιδασι hic legendum.

39. ὁ τε κρατος εστι ϝμεγιστον. quodque vis est maxima: id est, fortitudine donari; relativum cum sententiâ concordat. Eustath.

46. ει δε και αυτοι, Φευγοντων. si verò et ipsi, Fugiant: id est, si fugere velint. Mallem quidem, Φευξονται, legere.

57. μεφιν δε κε και παϊς ειης. mei verò tum et filius esses: Genitivus antiquus, ut γενεηφιν in versu proximo. Vulgò, εμος· vide Ε. 896.

Αφρητωρ, αθεμιστος, αϝιστιος εστιν εκεινος,
῾Ος πολεμου εραται επιδημιοφι, κρυοεντος.
Αλλ᾽ ητοι νυν μεν πειθωμεθα νυκτι μελαινῃ,
Δορπα τ᾽ εφοπλισομεσθα· φυλακτηρες δε ϝεκαστοι
Λεξασθων παρα ταφρον οϝρυκτην τειχεος εκτος.
Κουροισιν μεν ταυτ᾽ επιτελλομαι· αυταρ επειτα,
Ατρεϊδη, συ μεν αρχε· συ γαρ βασιλευτατος εσσι.
Δαινυ δαιτα γερουσι· ϝεϝοικε τοι, ου τοι αϝεικες.
Πλειαι τοι ϝοινου κλισιαι, τον νηες Αχαιων
Ηματιαι Θραϊκηθεν επ᾽ ευρεα ποντον αγουσι·
Πασα τοι εσθ᾽ ὑποδεξιη, πολεσιν δε ϝανασσεις.
Πολλων δ᾽ αγρομενων, τῳ πεισεαι, ὁς κεν αριστην
Βουλην βουλευσῃ· μαλα δε χρεῖ παντας Αχαιους
Εσθλης και πυκινης, ὁτε δηϊοι εγγυθι νηων
Καιουσιν πυρα πολλα· τις αρ τα κε γηθησειε;
Νυξ δ᾽ ἡδ᾽ ηε διαϝραισει στρατον, ηε σαωσει.
῾Ως εφαθ᾽· οἱ δ᾽ αρα του μαλα μεν κλυον, ηδ᾽ επιθοντο.
Εκ δε φυλακτηρες συν τευχεσιν εϝσευοντο,
Αμφι τε Νεστοριδην Θρασυμηδεα, ποιμενα λαων,
Ηδ᾽ αμφ᾽ Ασκαλαφον και Ιαλμενον, υἱας Αϝρηος,

---

63. Αφρητωρ, αθεμιστος, αϝιστιος. E tribu, e jure, e domo ejiciendus: Vulgò, ανεστιος· vide Β. 125. "Nam nec privatos focos, nec publicas leges videtur, nec libertatis jura cara habere, quem discordiæ, quem cæde civium, quem bellum civile delectat." Cicero, Philipp. 13.

perjurus erit, sine gente, cruentus
Sanguine fraterno, fugitivus. Horat. Serm. ii. 5. 15.

64. επιδημιοφι, κρυοεντος. intestinum, horrendum: ad litem inter reg annuit. Vulgò, επιδημιου, οκρυοεντος. Knightius, επιδημιοϝο, κρυοεντος.

73. πολεσιν δε ϝανασσεις. multis verò imperas: ita Bentleius; vulgò πολεεσσι δ᾽ ανασσεις. Forsitan vera lectio est ὑποδεξις, επει πολεεσσι ϝανασσεις. Hesychius enim, ῾Υποδεξιν, ὑποδοχην, habet, et Aristarchus, πολεσιν γαρ ανασσ proposuit; sensum enim επει postulare sensit. ῾Υποδεξιη hospites recipiend commoditas est.

75. μαλα δε χρεῖ παντας Αχαιους. valde verò opus est omnibus Græcis Hanc formam, quam Hesychius præbet, lubens recepi. Vulgò, χρη quam vocem Homericam non esse opinor; semper enim χρειω legitur ubi verbum sequitur. Knightius χρη edidit; hoc tamen imperfectum est et, nisi Η. 109, oportet, significat.

76. ὁτε. quando: Vulgò, ὁτι. Vide Α. 244, Β. 255.

Αμφι τε Μηριονην, Αφαρηα τε, Δηΐπυρον τε,
Ηδ' αμφι Κρειοντος ὑϊν, Λυκομηδεα διον·
Ἑπτ' εσαν ἡγεμονες φυλακων, ἑκατον δε ϝεκαστῳ
Κουροι ἁμ' εστειχον, δολιχ' εγχεα χερσιν εχοντες·
Καδδε μεσον ταφρου και τειχεος ἱζον ιοντες·
Ενθα δε πυρ κηαντο, τιθεντο δε δορπον ἁπαντες.
 Ατρεΐδης δε γεροντας αολλεας ηγεν Αχαιων
Ες κλισιην, παρα δε σφι τιθει μενοϝεικεα δαιτα·
Οἱ δ' επ' ονειαθ' ἑτοιμα προκειμενα χειρας ιαλλον.
Αυταρ επει ποσιος και εδητυος εξ ερον ἑντο,
Τοις ὁ γερων παμπρωτος ὑφαινειν ηρχετο μητιν
Νεστωρ, οὑ και προσθεν αριστη φαινετο βουλη·
Ὁ σφιν εὒφρονεων αγορησατο και μετεϝειπεν·
 Ατρεΐδη κυδιστε, ϝαναξ ανδρων Αγαμεμνον,
Εν σοι μεν ϝληξω, σεο δ' αρξομαι· οὑνεκα πολλων
Λαων εσσι ϝαναξ, και τοι Ζευς εγγυαλιξε
Σκηπτρον τ', ηδε θεμιστας, ἱνα σφισι βουλευησθα·
Τῳ σε χρη περι μεν φασθαι ϝεπος, ηδ' επακουσαι,
Κρηναι δε και αλλῳ, ὁκεν τινα θυμος ανωγῃ
Ϝειπειν εις αγαθον· σεο δ' ἑξεται, ὁ ϝρα κεν αρχῃ.

---

77. τις αρ τα κε γηθησειε. quis sanè his tum lætaretur: vel, τα κεν τις· vulgò, τις αν ταδε· sed αν vocem Homericam non esse opinor.

85. Ἑπτ' εσαν ἡγεμονες φυλακων, ἑκατον δε ϝεκαστῳ.

 Bis septem Rutuli, muros qui milite servent,
 Delecti; ast illos centeni quemque sequuntur. Æn. ix. 161.

88. τιθεντο δε δορπον ἁπαντες. posuerunt verò cœnam omnes: Vulgò, ἑκαστος, quod in digamma peccat; mutavit quidam, quia δορπον in singulari ponatur; vide Ε. 470. Scripsisse etiam potuit, τιθεντο δε δορπα ϝεκαστος.

96. Ατρεΐδη. Multâ cum arte consilium ingratum inducit.

97. Εν σοι μεν ϝληξω, σεο δ' αρξομαι.

 A te principium, tibi desinet. Eclog. viii. 11.
 Primâ dicte mihi, summâ dicende Camœnâ. Horat. Epist. i. 1. 1.
 Αρχομενοι δε Λινον, και ϝληγοντες καλεουσιν. Hesiod. apud Eustath.

102. σεο δ' ἑξεται, ὁ ϝρα κεν αρχῃ. a te verò habebitur, quod sanè tum incipiat: id est, tibi pertinebit rei eventus, licèt ab alio initium capiat. Sic, Αλκινοου δ' εκ τουδ' εχεται ϝεργον τε ϝεπος τε, Od. λ. 345; et Hesychius, Εχεται, ἑπεται, αντιλαμβανεται, habet. Vulgò, ὁ,ττι· vide Α. 294.

Αυταρ εγω ϝερεω, ὡς μοι δοκεῖ ειναι αριστα.
Ου γαρ τις νοον αλλος αμεινονα τουδε νοησει,
Οἱον εγω νοεω, ημεν παλαι, ηδ' ετι και νυν,
Εξετι του, ὁτε χωομενος Βρισηΐδα κουρην
Διογενευς Αχιληος εβης κλισιηθεν αποϝρας·
Ουτι καθ' ἡμετερον γε νοον· μαλα γαρ τοι εγωγε
Πολλ' απεμυθεομην· συ δε σῳ ϝμεγαλητορι θυμῳ
Ϝειξας, ανδρα φεριστον, ὁν αθανατοι περ ετισαν,
Ητιμησας· εϝλων γαρ εχεις γερας· αλλ' ετι και νυν
Φραζωμεσθ', ὡς κεν μιν αρεσσαμενοι πεπιθοιμεν
Δωροισιν τ' αγανοισι, ϝεπεσσι τε μειλιχιοισι.
Τον δ' αυτε προσεϝειπε ϝαναξ ανδρων Αγαμεμνων·
Ω γερον, ουτι ψευδος εμας αϝατας κατελεξας·
Αϝασαμην, ουδ' αυτος αναινομαι· αντι νυ πολλων
Λαων εστιν ανηρ, ὁν τε Ζευς κῆρι φιλησῃ·
Ὡς νυν τουτον ετισε, δαμασσε δε λαον Αχαιων.
Αλλ' επει αϝασαμην, φρεσι λευγαλεῃσι πιθησας,
Αψ εθελω αρεσαι, δομεναι τ' απερεισι' αποινα·
Ὑμιν δ' εν παντεσσι περικλυτα δωρ' ονομηνω·
Ἑπτ' απυρους τριποδας, δεκα δε χρυσοιο ταλαντα,
Αιθωνας δε λεβητας εϝεικοσι, δωδεκα δ' ἱππους
Πηγας, αεθλοφορους, οἱ αεθλια ποσσιν αροντο.

---

106. ὁτε χωομενος. quandò iratus Briseidem puellam A Jove genito Achille ibas e tentorio abripiens: Vulgò, ὁτε, Διογενες, Βρισηΐδα κουρην Χωομενος Αχιληος. Emendatio, licèt audax, mihi certa videtur. MSS. quidem nonnulli, ut et Scholiastæ et Eustathius, Διογενευς, exhibent, et Agamemnon Jove genitus non erat. Χωομενος ex Α. 244, 283, reposui, et verba secundum ordinem Homericum disposui.

116. Αϝασαμην. Peccavi: ab αϝαω. Primam sæpe in præterito producit. In decem locis digamma admittit, in uno tantum rejicit, Τ. 95. Hesychius etiam, Αγαζεσθαι, βλαπτεσθαι, et, Αγατᾶσθαι, βλαπτεσθαι, habet, et vide αϝατη, Α. 412.

118. Ὡς νυν. Knightius versum damnat.

124. Πηγας, αεθλοφορους· Fortes, prœmia ferentes: Vulgò, Πηγους, αθλοφορους· sed αεθλον apud Homerum non contrahitur. Πηγας pro παχεας ponitur; ut πηγεσιμαλλῳ, pro παχεσι μαλλοις. Vox non alibi in Iliade occurrit. In Odysseâ bis, κυματι πηγῳ, legitur. Knightius quidem versum damnat, nec malè abesset.

126. ερετιμου χρυσοφιν ειη. pretiosi auri esset: Vulgò, εριτιμοιο χρυσοι

Ου κεν αληïος ειη ανηρ, ᾧ τοσσα γενοιτο,
Ουδε κεν ακτημων εριτιμου χρυσοφιν ειη,
Ὁσσα ποσιν μοι ενεικαν αεθλια μωνυχες ἱπποι.
Δωσω δ' ἑπτα γυναικας, αμυμονα ϝεργα ϝιδυιας,
Λεσβιδας, ἁς, ὁτε Λεσβον εϋκτιμενην ϝελεν αυτος,
Εκϝελομην, αἱ καλλει ενικων φυλα γυναικων·
Τας μεν ϝοι δωσω, μετα δ' εσσεται, ἡν τοτ' απεϝρων
Κουρην Βρισηος· και επι ϝμεγαν ὁρκον ομουμαι,
Μη ποτε της ευνης επιβημεναι, ηδε μιγηναι,
Ἡι θεμις ανθρωπων πελει, ανδρῶν ηδε γυναικων.
Ταυτα μεν αυτικα παντα παρεσσεται· ει δε κεν αυτε
Ϝαστυ ϝμεγα Πριαμοιο Θεοι δωωσ' αλαπαξαι,
Νηα ϝαλις χρυσου και χαλκου νηησασθω,
Εισελθων, ὁτε κεν δατεωμεθα ληïδ' Αχαιοι.
Τρωϊαδας δε γυναικας εϝεικοσιν αυτος εϝλεσθω,
Αἱ κε μετ' Αργειην Ἑλενην καλλισται εωσιν.
Ει δε κεν Αργος ἱκοιμεθ' Αχαιϊκον, ουθαρ αρουρης,
Γαμβρος κεν μοι εοι· τισω δε ϝε ϝισον Ορεστῃ,
Ὁς μοι τηλυγετος τρεφεται, θαλιῃ ενι πολλῃ.
Τρεις δε μοι εισι θυγατρες ενι ϝμεγαρῳ εϋπηκτῳ,
Χρυσοθεμις, και Λαοδικη, και Ϝιφιϝανασσα·
Ταων, ἡν κ' εθελῃσι, φιλην ανεεδνον αγεσθω

---

sed genitivus Ionicus non alibi in thesi producitur: vide Maltbeii Præfat. XLII, et Knightii, s. CII. Bentleius quidem et Knightius versum damnant, et multo meliùs abesset.

127. Ὁσσα ποσιν μοι ενεικαν. Quot pedibus mihi tulerunt: Vulgò, Ὁσσα μοι ηνεικαντο· Bentleius ηνεικασιν· utravis verò vox nihili est; ποσιν igitur, quod excidit, ex I. 269, reposui.

128. αμυμονα ϝεργα ϝιδυιας. præstantia opera scientes: ita Bentleius. Vulgò, αμυμονας, εργ' ειδυιας· MSS. tamen, et Eustathius αμυμονα habent.

132. και επι ϝμεγαν ὁρκον ομουμαι. et super magnum juramentum jurabo: επι sæpe sine casu ponitur.

133. Μη ποτε της ευνης. Nunquam ejus lecti: της pro ταυτης· forsitan tamen ϝης legendum.

137. Νηα ϝαλις. Navem satis: ita MSS. plerique; alii, Νηας ἁλις.

142. τισω δε ϝε ϝισον Ορεστῃ. honorabo verò eum ad instar Orestis: Vulgò, μιν, sed ϝισος digamma postulat, A. 163, et vide I. 284.

146. ανεεδνον. indotatam: Vulgò, αναεδνον· sed vox εεδνον est, et ανα non elidi nequit; Knightius αεεδνον edidit.

Προς ϝοικον Πηληος· εγω δ' επιμειλια δωσω
Πολλα μαλ', ὁσσ' ουπω τις ϝεῃ επεδωκε θυγατρι.
Ἑπτα δε ϝοι δωσω ευ ναιομενα πτολιεθρα,
Καρδαμυλην, Ενοπην τε, και Ιρην ποιηεσσαν,
Φηρας τε ζαθεας, ηδ' Ανθειαν βαθυλειμον,
Καλην τ' Αιπειαν, και Πηδασον αμπελοεσσαν.
Πασαι δ' εγγυς ἁλος νεαται Πυλου ημαθοεντος·
Εν δ' ανδρες ναιουσι πολυϝρηνες, πολυβουται,
Οἱ κε ϝε δωτινῃσι, Θεον ὡς, τιμησουσι,
Και ϝοι ὑπο σκηπτρῳ ϝλιπαρας τελεουσι θεμιστας.
Ταυτα κε ϝοι τελεσαιμι μεταϝληξαντι χολοιο.
Δμηθητω· Αϝιδης τοι αμειλιχος, ηδ' αδαμαστος,
Τουνεκα και τε βροτοισι Θεων εχθιστος ἁπαντων·
Και μοι ὑποστητω, ὁσσον βασιλευτερος ειμι,
Ηδ' ὁσσον γενεῃ προγενεστερος ευχομαι ειναι.
Τον δ' ημειβετ' επειτα Γερηνιος ἱπποτα Νεστωρ·
Ατρεϊδη κυδιστε, ϝαναξ ανδρων Αγαμεμνον,
Δωρα μεν ουκετ' ονοστα διδοῖς Αχιληϊ ϝανακτι·
Αλλ' αγετε, κλητους οτρυνομεν, οἱ κε ταχιστα
Ελθωσ' ες κλισιην Πηληϊαδεω Αχιληος.
Ει δ' αγε, τους αρ εγων επιϝοψομαι, οἱ δε πιθεσθων·
Φοινιξ μεν πρωτιστα, Διϊ φιλος, ἡγησασθω,
Αυταρ επειτ' Αιας τε ϝμεγας και διος Οδυσσευς·
Κηρυκων δ' Ὁδιος τε και Ευρυβατης ἁμ' ἑπεσθων.
Φερτε δε χερσιν ὑδωρ, ευφημησαι τε κελεσθε,
Ὀϝρα Διϊ Κρονιδῃ αρησομεθ', αι κ' ελεησῃ.

---

149. Ἑπτα δε ϝοι δωσω. Septem verò ei dabo: Knightius versus octo damnat, non quia in linguam peccent, sed quia non tale fuisse apud Græcos regum imperium censeat.

164. διδοῖς. das: pro διδοεις, a διδοω, vel διδωμι.

167. Ει δ' αγε, τους αρ εγων επιϝοψομαι. Age verò, eos sanè ego addicam: Vulgò, τους αν εγων· sed αρ præstat. ϝοψομαι futurum est a ϝοσσομαι, dico; vide Ξ. 17, Ρ. 381, Σ. 224; aliud est εποψομαι, inspiciam, ab οσσομαι, video; vide Ξ. 145, Γ. 42.

173. ϝεϝαδοτα. gratum: perfectum medium a ϝανδανω.

180. Δενδιλλεν δε ϝεκαστῳ. Urgebat verò utrique: Vulgò, Δενδιλλεν [illegible] ἑκαστον, quod in digamma peccat. Interpretes, oculos in unumquemque

Ὡς φατο· τοισι δε πασι ϝεϝαδοτα μυθον εϝειπεν.
Αυτικα κηρυκες μεν ὑδωρ επι χειρας εχευαν,
Κουροι δε κρητηρας επεστεψαντο ποτοιο.
Νωμησαν δ' αρα πασιν, επαρξαμενοι δεπαεσσιν.
Αυταρ επει σπεισαν τ', επιον θ', ὁσον ηθελε θυμος,
Ὡρμῶντ' εκ κλισιης Αγαμεμνονος Ατρεϊδαο.
Τοισι δε πολλ' επετελλε Γερηνιος ἱπποτα Νεστωρ,
Δενδιλλεν δε ϝεκαστῳ, Οδυσσηϊ δε μαλιστα,
Πειρᾶν, ὡς πεπιθοιεν αμυμονα Πηλεϊωνα.
Τω δε βατην παρα θινα πολυφλοισβοιο θαλασσης,
Πολλα μαλ' ευχομενω γαιηοχῳ Εννοσιγαιῳ,
Ϝρηϊδιως πεπιθειν ϝμεγαλας φρενας Αιακιδαο.
Μυρμιδονων δ' επι τε κλισιας και νηας ἱκεσθην·
Τον δ' εὑρον φρενα τερπομενον φορμιγγι ϝλιγειῃ,
Καλῃ, δαιδαλεῃ, επι δ' αργυρεος ζυγος ηεν·
Την αρετ' εξ εναρων, πολιν Ηετιωνος ολεσσας·
Τῃ ὁγε θυμον ετερπεν, αειδε δ' αρα κλεε' ανδρων.
Πατροκλος δε ϝοι οιος εναντιος ἧστο σιωπῃ,
Δεγμενος Αιακιδην, ὁποτε ϝληξειεν αειδων.
Τω δε βατην προτερω, ἡγειτο δε διος Οδυσσευς·
Σταν δε προσθ' αυτοιο· ταφων δ' ανορουσεν Αχιλλευς,
Αυτῃ συν φορμιγγι, λιπων ἑδος, ενθα θαασσεν.
Ὡς δ' αυτως Πατροκλος, επει ϝιδε φωτας, ανεστη·
Τω και δεικνυμενος προσεφη ποδας ωκυς Αχιλλευς·
    Χαιρετον, η φιλοι ανδρες ἱκανετον, η τι μαλα χρεῖ,
Οἱ μοι σκυζομενῳ περ Αχαιων φιλτατοι εστον.

---

vertens, exponunt, quod sensum non habet. Δενδιλλω non alibi occurrit, et versum lubens cum Heynio ejicerem, licèt Knightius etiam retineat.

182. Τω δε βατην. Illi verò ibant: nempe Ajax et Ulysses, qui legationis principes erant.

189. αειδε δ' αρα κλεε' ανδρων. cantabat verò sanè glorias virorum: notum hoc cantilenæ genus. Achilles, non amatoria, sed bellica, cantat. κλεε' pro κλεεα a κλεος cum Knightio pro vulgato κλεα scripsi. Forsitan etiam κλεϝε' præstaret.

196 δεικνυμενος. dextrâ prehendens: Hesychius. Item, dextrâ ostentans, Ψ. 701.

197. η τι μαλα χρεῖ. certè aliquid valdè opus est: Vulgò, χρεω· vide Ι. 75.

῾Ως αρα φωνησας προτερω αγε διος Αχιλλευς·
Εἱσεν δ' εν κλισμοισι, ταπησι τε πορφυρεοισιν·
Αιψα δε Πατροκλον προσεφωνεεν, εγγυς εοντα·
Ϝμειζονα δη κρητηρα, Μενοιτιου υἱε, καθιστα,
Ζωροτερον δε κεραιρε, δεπας δ' εντυνον ἁπασιν·
Οἱ γαρ φιλτατοι ανδρες εμῳ ὑπεασι μελαθρῳ.
῾Ως φατο· Πατροκλος δε φιλῳ επεπειθεθ' ἑταϝρῳ.
Αυταρ ὁγε κρειον ϝμεγα καββαλεν εν πυρος αυγῃ,
Εν δ' αρα νωτον εθηκ' οϊος και πιονος αιγος,
Εν δε συος σιαλοιο ϝραχιν τεθαλυιαν αλοιφῃ.
Τῳ δ' εχεν Αυτομεδων, ταμνεν δ' αρα διος Αχιλλευς·
Και τα μεν ευ μιστυλλε, και αμφ' οβελοισιν επειρε·
Πυρ δε Μενοιτιαδης δαιε ϝμεγα, ϝισοθεος φως.
Αυταρ επει κατα πυρ εκαη, και φλοξ εμαρανθη,
Ανθρακιην στορεσας, οβελους εφυπερθε τανυσσε·
Πασσε δ' ἁλος θειοιο, κρατευταων επαειρας.
Αυταρ επει ϝρ' ωπτησε, και ειν ελεοισιν εχευε,
Πατροκλος μεν σιτον εϝλων επενειμε τραπεζῃ
Καλοις εν κανεοισιν· αϝαρ κρεα νειμεν Αχιλλευς.
Αυτος δ' αντιον ἱζεν Οδυσσηος θειοιο,
Τοιχου του ἑτεροιο· Θεοισι δε θυσαι ανωγει
Πατροκλον, ϝον ἑταϝρον· ὁ δ' εν πυρι βαλλε θυηλας.
Οἱ δ' επ' ονειαθ' ἑτοιμα προκειμενα χειρας ιαλλον.
Αυταρ επει ποσιος και εδητυος εξ ερον ἑντο,
Νευσ' Αιας Φοινικι· νοησε δε θειος Οδυσσευς,
Πλησαμενος δε ποτοιο δεπας, δειδεκτ' Αχιληα·
Χαιρ', Αχιλευ· δαιτος μεν εϊσης ουκ επιδευεις,
Ημεν ενι κλισιῃ Αγαμεμνονος Ατρεΐδαο,

---

203. δεπας δ' εντυνον ἁπασιν. cyathum verò para omnibus: Vulgò, ἑκαστῳ, quod in digamma peccat; vide Ε. 470. Bentleius, εντυνε ϝεκαστῳ.

214. Πασσε δ' ἁλος θειοιο. Aspersit verò sale sacro: πασσε a πασ, ut θλασσε a θλαω.

224. Πλησαμενος δε ποτοιο δεπας. Implens verò potu cyathum: Ita Ι. 175. Vulgò, δ' οινοιο δεπας, quod in digamma peccat. Bentleius, Πλησας δε ϝοινου δεπας, quod aliter in metrum peccat; meliùs Knightius, Πλησαμενος δε δεπας ϝοινου.

225. επιδευεις. indigentes sumus: ut, ὁς κ' επιδευης, Ε. 481.

Ηδε και ενθαδε νυν· παρα γαρ μενοϝεικεα πολλα
Δαινυσθ'· αλλ' ου δαιτος επηρατα ϝεργα μεμηλε·
Λιην δε ϝμεγα πημα, Διοτρεφες, εισοροωντες,
Δειδιμεν· εν δοιῃ δε, σαωσεμεν, η απολεσθαι
Νηας εΰϝσελμους, ει μη συγε δυσεαι αλκην.
Εγγυς γαρ νηων και τειχεος αυλιν εθεντο
Τρωες ὑπερθυμοι, τηλεκλεϊτοι τ' επικουροι,
Κηαμενοι πυρα πολλα κατα στρατον, ουδ' ετι φασι
Σχησεσθ', αλλ' ενι νηυσι μελαινῃσιν πεσεεσθαι.
Ζευς δε σφιν Κρονιδης ενδεξια σηματα φαινων
Αστραπτει· Ἑκτωρ δε ϝμεγα σθενεϊ βλεμεαινων
Μαινεται εκπαγλως, πισυνος Διϊ̈, ουδε τι τιει
Ανερας, ουδε Θεους· κρατερη δε ϝε λυσσα δεδυκεν.
Αρᾶται δε ταχιστα φανημεναι Ηοα διαν·
Στευται γαρ νηων αποκοψειν ακρα κορυμβα,
Αυτας τ' εμπρησειν μαλερου πυρος· αυταρ Αχαιους
Δαιωσειν παρα τῃσιν ατυζομενους ὑπο καπνου.
Ταυτ' αινως δειδοικα κατα φρενα, μη ϝοι απειλας
Εκτελεσωσι Θεοι· ἡμιν δε δη αισιμον ειη
Φθισθαι ενι Τροϊῃ ἑκας Αργεος ἱπποβοτοιο.
Αλλ' αγ' αν', ει μεμονας γε, και οψε περ, υἱας Αχαιων
Τειρομενους ϝερυεσθαι ὑπο Τρωων ορυμαγδου·
Αυτῳ τοι μετοπισθ' αχος εσσεται, ουδε τι μηχος
Ϝρεχθεντος κακου εστ' ακος εὑρειν· αλλα πολυ πριν
Φραζευ, ὁπως Δαναοισιν αλεξησεις κακον ημαρ.
Ω πεπον, η μεν σοιγε πατηρ επετελλετο Πηλευς
Ηματι τῳ, ὁτε σ' εκ Φθιης Αγαμεμνονι πεμπε·
Τεκνον εμον, καρτος μεν Αθηναιη τε και Ἡρη

---

228. επηρατα ϝεργα. jucunda opera: Vulgò, επηρατου. Knightius damnat.
229. Λιην δε ϝμεγα πημα. Valde verò magnum damnum: Vulgò, Αλλα λιην· sed λιην raro primam corripit, Ζ. 486, et αλλα malè repetitur. Mutatio facta videtur, ne, perdito digamma, δε ante simplicem consonantem producatur.
247. Αλλ' αγ' αν', ει μεμονας γε. Sed age surge, si in animo quidem habes: pro ανστηθι· Vulgò, Αλλ' ανα· ανα tamen non elidi nequit. Potes etiam, Αλλ', ει δη, emendare. Knightius duos versus damnat.
248. ὑπο Τρωων ορυμαγδου. sub Trojanorum tumultu: Ad Τειρομενους referendum; forsitan tamen, ὑπ' εκ, legendum.

Δωσουσ', αι κ' εθελωσι· συ δε ϝμεγαλητορα θυμον
Ισχειν εν στηθεσσι· φιλοφροσυνη γαρ αμεινων·
Fληγεμεναι δ' εριδος κακομηχανου, ὁϝρα σε μαλλον
Τισωσ' Αργειων ημεν νεοι ηδε γεροντες.
Ὡς επετελλ' ὁ γερων· συ δε ληθεαι· αλλ' ετι και νυν
Παυέ, εϝα δε χολον θυμαλγεα· σοι δ' Αγαμεμνων
Αξια δωρα διδωσι μεταϝληξαντι χολοιο.
Ει δε, συ μεν μευ ακουσον, εγω δε κε τοι καταλεξω,
Ὁσσα τοι εν κλισιηθιν ὑπεσχετο δωρ' Αγαμεμνων·
Ἑπτ' απυρους τριποδας, δεκα δε χρυσοιο ταλαντα,
Αιθωνας δε λεβητας εϝεικοσι, δωδεκα δ' ἱππους
Πηγας, αεθλοφορους, οἱ αεθλια ποσσιν αροντο.
Ου κεν αληϊος ειη ανηρ, ᾡ τοσσα γενοιτο,
Ουδε κεν ακτημων εριτιμου χρυσοφιν ειη,
Ὁσσ' Αγαμεμνονος ἱπποι αεθλια ποσσιν αροντο.
Δωσει δ' ἑπτα γυναικας, αμυμονα ϝεργα ϝιδυιας,
Λεσβιδας, ἁς, ὁτε Λεσβον εϋκτιμενην ϝελες αυτος,
Εκϝελεθ', αἱ τοτε καλλει ενικων φυλα γυναικων.
Τας μεν τοι δωσει, μετα δ' εσσεται, ἡν τοτ' απεϝρα
Κουρην Βρισηος· και επι ϝμεγαν ὁρκον ομειται,
Μη ποτε της ευνης επιβημεναι, ηδε μιγηναι,
Ἡι θεμις εστι, ϝαναξ, ητ' ανδρων, ητε γυναικων.
Ταυτα μεν αυτικα παντα παρεσσεται· ει δε κεν αυτ…
Fαστυ ϝμεγα Πριαμοιο Θεοι δωωσ' αλαπαξαι,
Νηα ϝαλις χρυσου και χαλκου νηησασθαι
Εισελθων, ὁτε κεν δατεωμεθα ληϊδ' Αχαιοι.
Τρωϊαδας δε γυναικας εϝεικοσιν αυτος εϝλεσθαι,
Αἱ κε μετ' Αργειην Ἑλενην καλλισται εωσιν.
Ει δε κεν Αργος ἱκοιμεθ' Αχαιϊκον, ουθαρ αρουρης,

---

260. Παυέ, εϝα δε χολον. Siste, omitte verò iram: pro Παυεο· Ita MSS. et Ed. Pr. Ald. 1. malè Παυε edidit.

300. Ει δε τοι Ατρειδης. Cætera, quæ de obsequio dixerat Agamemnon, vafrè omittit, et spem Hectoris vincendi subjicit.

304. επει αρ μαλα τοι σχεδον ηλθε. quoniam sanè valde tibi prope venit: Vulgò, επει αν μαλα τοι σχεδον ελθη, quod sensum idoneum non præbet.

Γαμβρος κεν ϝοι εοις· τισει δε σε ϝισον Ορεστῃ,
Ὁς ϝοι τηλυγετος τρεφεται θαλιῃ ενι πολλῃ.
Τρεις δε ϝοι εισι θυγατρες ενι ϝμεγαρῳ εϋπηκτῳ,
Χρυσοθεμις, και Λαοδικη, και Ϝιφιϝανασσα·
Ταων, ἡν κ' εθελησθα, φιλην ανεεδνον αγεσθαι
Προς ϝοικον Πηληος· ὁ δ' αυτ' επιμειλια δωσει
Πολλα μαλ', ὁσσ' ουπω τις εϝῃ επεδωκε θυγατρι.
Ἑπτα δε τοι δωσει ευ ναιομενα πτολιεθρα,
Καρδαμυλην, Ενοπην τε, και Ιρην ποιηεσσαν,
Φηρας τε ζαθεας, ηδ' Ανθειαν βαθυλειμον,
Καλην τ' Αιπειαν, και Πηδασον αμπελοεσσαν·
Πασαι δ' εγγυς ἁλος νεαται Πυλου ημαθοεντος·
Εν δ' ανδρες ναιουσι, πολυϝρηνες, πολυβουται,
Οἱ κε σε δωτινῃσι, Θεον ὡς, τιμησουσι,
Και τοι ὑπο σκηπτρῳ ϝλιπαρας τελεουσι θεμιστας.
Ταυτα κε τοι τελεσειε μεταϝληξαντι χολοιο.
Ει δε τοι Ατρεΐδης μεν απηχθετο κηροθι μαλλον,
Αυτος, και του δωρα· συ δ' αλλους περ Παναχαιους
Τειρομενους ελεαιρε κατα στρατον, οἱ σε, Θεον ὡς,
Τισουσ'· η γαρ κε σφι μαλα ϝμεγα κυδος αροιο.
Νυν γαρ χ' Ἑκτορ' εϝλοις, επει αρ μαλα τοι σχεδον ηλθε,
Λυσσαν εχων ολοην· επει ουτινα φησιν ὁμοιον
Ϝοι εμεναι Δαναων, οὑς ενθαδε νηες ενεικαν.
Τον δ' απαμειβομενος προσεφη ποδας ωκυς Αχιλλευς·
Διογενες Λαερτιαδη, πολυμηχαν' Οδυσσευ,
Χρη μεν δη τον μυθον απηλεγεως αποϝειπειν,
Ἡι περ δη φρονεω τε, και ὡς τετελεσμενον εσται,
Ὡς μη μοι τρυζητε παρημενοι αλλοθεν αλλος.
Εχθρος γαρ μοι κεινος ὁμως Αϝιδαο πυλῃσιν,

308. πολυμηχαν' Οδυσσευ. vaferrime Ulysses: Notæ ejus artes fidem orationi detrahunt.

309. τον μυθον απηλεγεως αποϝειπειν. hanc sententiam non hæsitanter pronuntiare: Non Achillem deceret nimis faciliter flecti; tota oratio regi animoso convenit.

311. Ὡς μη μοι τρυζητε. Ne mihi queritemini assidentes alius post alium:

Ὁς χ᾽ ἑτερον μεν κευθει ενι φρεσιν, αλλο δε βαζει.
Αυταρ εγω ϝερεω, ὡς μοι δοκεῖ ειναι αριστα·
Ουτε μεγ᾽ Ατρεΐδην Αγαμεμνονα πεισεμεν οιω,
Ουτ᾽ αλλους Δαναους, επει ουκ αρα τις χαρις ηεν
Μαρνασθαι δαΐοισι μετ᾽ ανδρασι νωλεμες αιει.
Ϝιση ϝμοιρα μενοντι, και ει μαλα τις πολεμιζοι·
Εν δε τ᾽ ιῃ τιμῃ ημεν κακος, ηδε και εσθλος·
Κατθαν᾽ ὁμως ὁ τ᾽ αϝεργος ανηρ, ὁ τε πολλα ϝεϝοργως.
Ουδε τι μοι περικειται, επει παθον αλγεα θυμῳ,
Αιεν εμην ψυχην παραβαλλομενος πολεμιζειν.
Ὡς δ᾽ ορνις απτησι νεοσσοισι προφερησι
Μαστακι, το ϝρα ϝλαβησι, κακως δ᾽ αρα ϝοι πελει αυτῃ·
Ὡς και εγω πολλας μεν αΰπνους νυκτας ιαυον,
Ηματα δ᾽ αἱματοεντα διεπρησσον πολεμιζων,
Ανδρασι μαρναμενος οαρων ἑνεκα σφετεραων.
Δωδεκα δη συν νηυσι πολεις αλαπαξ᾽ ανθρωπων,
Πεζος δ᾽ ἑνδεκα φημι κατα Τροΐην εριβωλον·
Ταων εκ πασεων κειμηλια πολλα και εσθλα
Εκϝελομην, και παντα φερων Αγαμεμνονι δοσκον
Ατρεΐδῃ· ὁ δ᾽ οπισθε μενων παρα νηυσι θοῃσι,
Δεξαμενος, δια παυρα δασασκετο, πολλα δ᾽ εχεσκεν.
Αλλα δ᾽ αριστηεσσι διδου γερα, και βασιλευσι·
Τοισι μεν εμπεδα κειται, εμευ δ᾽ απο μουνου Αχαιων
Εϝλετ᾽· εχει δ᾽ αλοχον θυμαρεα· τῃ παριαυων
Τερπεσθω. Τι δε δεῖ πολεμιζεμεναι Τρωεσσιν
Αργειους; τι δε λαον ανηγαγεν ενθαδ᾽ αγειρας
Ατρεΐδης; η ουχ Ἑλενης ἑνεκ᾽ ηϋκομοιο;
Η μουνοι φιλεουσ᾽ αλοχους ϝμεροπων ανθρωπων
Ατρεΐδαι; επει, ὁστις ανηρ αγαθος και εχεφρων,
Την αυτου φιλεει και κηδεται· ὡς και εγω την

319. Εν δε τ᾽ ιῃ τιμῃ. In uno verò honore: Ita Λ. 174. Vulgò, Εν δε ιῃ τιμῃ. Knightius, Εν δε μιῃ τιμῃ, et versum proximum damnat.

324. Μαστακι, το ϝρα ϝλαβησι. Ore, quod sanè ceperit: Vulgò, Μαστακ᾽, επει κε λαβησι, quod, perdito digamma, ob metrum est emendatio. Malè

Εκ θυμου φιλεον, δουρικτητην περ εουσαν.
Νυν δ' επει εκ χειρων γερας εϝλετο, και μ' απατησε,
Μη μευ πειρατω ευ ϝειδοτος· ουδε με πεισει·
Αλλ', Οδυσευ, συν σοι τε και αλλοισιν βασιλευσι
Φραζεσθω νηεσσιν αλεξεμεναι δαΐον πυρ.
Η μεν δη μαλα πολλα πονησατο νοσφιν εμειο,
Και δη τειχος εδειμε, και ηλασε ταφρον επ' αυτῳ
Ευρειαν, ϝμεγαλην· εν δε σκολοπας κατεπηξεν·
Αλλ' ουδ' ὡς δυναται σθενος Ἑκτορος ανδροφονοιο
Ισχειν· ὀϝρα δ' εγω μετ' Αχαιοισιν πολεμιζον,
Ουκ εθελεσκε μαχην απο τειχεος ορνυμεν Ἑκτωρ,
Αλλ' ὀσον ες Σκαιας τε πυλας και φηγον ἱκανεν·
Ενθα ποτ' οιον εμιμνε, μογις δε μευ εκφυγεν ὁρμην.
Νυν δ' επει ουκ εθελω πολεμιζειν Ἑκτορι διῳ,
Αυριον ἱρα Διϊ ϝρεξας και πασι Θεοισι,
Νηησας ευ νηας, επει χ' ἁλαδε προϝερυσσω,
Οψεαι, αι κ' εθελησθα, και αι κεν τοι τα μεμηλῃ,
Ηρι μαλ' Ἑλλησποντον επ' ιχθυοεντα πλεουσας
Νηας εμας, εν δ' ανδρας ερεσσεμεναι μεμαωτας·
Ει δε κεν ευπλοιην δωῃ κλυτος Εννοσιγαιος,
Ηματι κεν τριτατῳ Φθιην εριβωλον ἱκοιμην.
Εστι δε μοι μαλα πολλα, τα καλλιπον ενθαδε ϝερρων·
Αλλον δ' ενθενδε χρυσον, και χαλκον ερυθρον,
Ηδε γυναικας εΰζωνους, πολιον τε σιδηρον
Αξομαι, ἁ ϝρ' ελαχον γε· γερας δε μοι, ὁς περ εδωκεν,
Αυτος εφυβριζων ϝελετο κρειων Αγαμεμνων
Ατρεΐδης· τῳ παντ' αγορευεμεν, ὡς επιτελλω,
Αμφαδον· ὀϝρα και αλλοι επισκυζωνται Αχαιοι,
Ει τινα που Δαναων ετι ϝελπεται εξαπατησειν,
Αιεν αναιδειην επιϝειμενος· ουδε κ' εμοιγε

---

interpretes, Escam, vertunt, cùm μασταξ in Odysseâ bis, os, significet, neque alium sensum habeat.

337. τι δε δεῖ. quid verò obligat: a δεω, ligo. Malè interpretes, oportet, vertunt, cùm nusquam hunc sensum in Homero obtineat.

367. ἁ ϝρα. quæ sanè: Vulgò, ἁσσα· vide A. 554.

Τετλαιη, κυνεος περ εων, εις ωπα ϝιδεσθαι·
Ουδε τι ϝοι βουλας συμφρασσομαι, ουδε τι ϝεργον.
Εκ γαρ δη μ' απατησε, και ηλιτεν· ουδε κ' ετ' αυτις
Εξαπαφοιτο ϝεπεσσι· ϝαλις δε ϝοι· αλλα ϝεκηλος
Ϝερρετω· εκ γαρ ϝοι φρενας εϝλετο μητιετα Ζευς.
Εχθρα δε μοι του δωρα· τιω δε μιν εν καρος αισῃ.
Ουδ' ει μοι δεκακις και εϝεικοσακις τοσα δοιη,
Ὁσσα τε ϝοι νυν εστι, και ει ποθεν αλλα γενοιτο·
Ουδ' ὁσ' ες Ορχομενον προτινισσεται, ουδ' ὁσα Θηβας
Αιγυπτιας, ὁθι πλειστα δομοις εν κτηματα κειται,
Αἱ θ' ἑκατομπυλοι εισι, διηκοσιοι δε ϝεκαστης
Ανερες εξοιχνεῦσι συν ἱπποισιν και οχεσσιν·
Ουδ' ει μοι τοσα δοιη, ὁσα ψαμαθος τε κονις τε,
Ουδε κεν ὡς ετι θυμον εμον πεισει' Αγαμεμνων,
Πριν γ' απο πασαν εμοι δομεναι θυμαλγεα λωβην.
Κουρην δ' ου γαμεω Αγαμεμνονος Ατρεϊδαο·
Ουδ' ει χρυσειῃ Αφροδιτῃ καλλος εριζοι,
Ϝεργα δ' Αθηναιῃ γλαυκωπιδι ϝισοφαριζοι,
Ουδε μιν ὡς γαμεω· ὁ δ' Αχαιων αλλον εϝλεσθω,
Ὁς τις ϝοι τε ϝεϝοικε, και ὁς βασιλευτερος εστιν.
Ει γαρ δη με σαῶσι Θεοι, και ϝοικαδ' ἱκωμαι,
Πηλευς θην μοι επειτα γυναικα γαμεσσεται αυτος.
Πολλαι Αχαιϊδες εισιν αν' Ἑλλαδα τε Φθιην τε,

---

374. ουδε τι ϝεργον. neque omnino operam: Vulgò, ουδε μεν εργον.

378. τιω δε μιν εν καρος αισῃ. honoro verò eum ad flocci instar: a κειρω, tondeo; ita bene Heynius, qui ex Hesychio citat, Ακαρες, βραχυ, ὁ ουδε κειραι οἱον τε. Alii pro κηρος, alii pro Καρος, contra metrum poni censent.

379. δεκακις και εϝεικοσακις. decies et vicies: Vulgò, δεκακις τε και εικοσακις.

382. Αιγυπτιας. Ægyptias: Vocalis brevis ante duas consonantes in nomine proprio necessitate metricâ corripitur; B. 465, 537.

383. διηκοσιοι δε ϝεκαστης. ducenti verò ex unâquâque: præpositio e verbo petenda est. Vulgò, αν' ἑκαστην, quod in digamma peccat; A. 550. Potuit etiam, αν' ἁπασας, scripsisse.

387. Πριν γε. Knightius versum damnat, ut loco alienum.

392. Ὁς τις ϝοι τε ϝεϝοικε. Quicunque eique convenit: Vulgò, Ὁστις οἱ τ' επεοικε· vide A. 126.

393. Ει γαρ δη με σαῶσι Θεοι. Si enim revera me servent Dei: Vulgò, ην,

Κουραι αριστηων, οἱ τε πτολιεθρα ϝρυονται·
Ταων ἡν κ᾽ εθελοιμι, φιλην ποιησομ᾽ ακοιτιν·
Ενθα δε μοι μαλα πολλον επεϝσυτο θυμος αγηνωρ,
Γημαντι μνηστην αλοχον, ϝεϝικυιαν ακοιτιν,
Κτημασι τερπεσθαι, τα γερων εκτησατο Πηλευς.
Ου γαρ εμοι ψυχης ανταξιον, ουδ᾽ ὁσα φασι
Ϝιλιον εκτησθαι, ευ ναιομενον πτολιεθρον,
Το πριν επ᾽ ειρηνης, πριν γ᾽ ελθειν υἱας Αχαιων·
Ουδ᾽ ὁσα λαϊνος ουδος αφητορος εντος εεργει
Φοιβου Απολλωνος, Πυθοι ενι πετρηεσσῃ.
Ληϊστοι μεν γαρ τε βοες και ϝιφια μηλα,
Κτητοι δε τριποδες τε, και ἱππων ξανθα καρηνα·
Ανδρος δε ψυχη παλιν ελθειν ου ληϊστη,
Ουτ᾽ εϝλετη, επει αρ κεν αμειψεται ἑρκος οδοντων.
Μητηρ γαρ τε με φησι Θεα, Θετις αργυροπεζα,
Διχθαδιας κηρας φερεμεν θανατοιο τελοσδε·
Ει μεν κ᾽ αυθι μενων Τρωων πολιν αμφιμαχωμαι,
Ωλετο μεν μοι νοστος, αϝαρ κλεος αφθιτον εσται·
Ει δε κε ϝοικαδ᾽ ἱκωμαι εμην ες πατριδα γαιαν,
Ωλετο μοι κλεος εσθλον, επι δηρον δε μοι αιων
Εσσεται, ουδε κε μ᾽ ωκα τελος θανατοιο κιχειη.
Και δε κε τοις αλλοισιν εγω παραμυθησαιμην,
Ϝοικαδ᾽ αποπλεεμεν· επει ουκετι δηετε τεκμωρ

---

pro Ει κεν, sed particula non postulatur. Alii etiam σοωσι legunt; verbum tamen σαωμι est, unde passim σαωσω. Vide Ι. 424, Α. 117.

396. ϝρυονται. tutantur: Forma ϝρυομαι in voce activâ non occurrit, et non nisi, tueor, significat; idem tamen verbum cum ϝερυομαι esse opinor; cùm hoc quoque passim, tueor, significet, et ϝρυμος, ϝρυτηρ, et ϝρυτος, trahendi sensum habeant. Primam ancipitem habet; Κ. 259, 417, Μ. 8, Ο. 257, Ρ. 224. Aliæ formæ sunt, ϝρυσαμην, ϝρυατο, ϝρυσθαι.

408. ου ληϊστη. non spolianda: Vulgò, ουτε ληϊστη· sed prima necessariò producitur.

414. εμην. meam: Ita Bentleius; vulgò, φιλην, contra metrum. Grotius ἱκοιμι proposuit, quem secuti sunt Barnesius et Clarkius; Heynius, ἱκωμαι ιων, quod Knightius edidit. Wolfius, ἱκωμι, ex Etymologo magno, ut sit forma subjunctivi. Vide Σ. 63.

416. Εσσεται. Knightius cum grammaticis versum damnat.

418. δηετε. invenietis: ita δηεις, Ν. 260. Nulla alia forma occurrit. Vulgò etiam, αποπλειειν· sed verbum est πλεω.

Fιλιου αιπεινης· μαλα γαρ fεθεν ευρυfοπα Ζευς
Χειρα fεην ὑπερεσχε, τεθαρσηκασι δε λαοι.
Αλλ᾽ ὑμεις μεν ιοντες αριστηεσσιν Αχαιων
Αγγελιην αποφασθε, το γαρ γερας εστι γεροντων·
Ὀfρ᾽ αλλην φραζωνται ενι φρεσι μητιν αμεινω,
Ἡ κε σφιν νηας τε σαῷ, και λαον Αχαιων
Νηυσιν επι γλαφυρῃς· επει ου σφισιν ἡδε γ᾽ ἑτοιμη,
Ἡν νυν εφρασσαντο, μεθεν απομηνισαντος.
Φοινιξ δ᾽ αυθι παρ᾽ αμμι μενων κατακοιμηθητω,
Ὀfρα μοι εν νηεσσι φιλην ες πατριδ᾽ ἑπηται
Αυριον, αι κ᾽ εθελῃσιν· αναγκῃ δ᾽ ουτι μιν αξω.
Ὡς εφαθ᾽· οἱ δ᾽ αρα παντες ακην εγενοντο σιωπῃ,
Μυθον αγασσαμενοι· μαλα γαρ κρατερως απεfειπεν.
Οψε δε δη μετεfειπε γερων ἱππηλατα Φοινιξ,
Δακρυ᾽ αναπρησας, περι γαρ διε νηυσιν Αχαιων·
Ει μεν δη νοστον γε μετα φρεσι, φαιδιμ᾽ Αχιλλευ,
Βαλλεαι, ουδε τι παμπαν αμυνειν νηυσι θοῃσι
Πυρ εθελεις Αfιδηλον, επει χολος εμπεσε θυμῳ·
Πως κεν επειτ᾽ απο σειο, φιλον τεκος, αυθι λιποιμην
Οιος; σοι δε μ᾽ επεμπε γερων ἱππηλατα Πηλευς
Ηματι τῳ, ὁτε σ᾽ εκ Φθιης Αγαμεμνονι πεμπε
Νηπιον, ουπω fειδοθ᾽ ὁμοιϊοφι πτολεμοιο,
Ουδ᾽ αγορεων, ἱνα τ᾽ ανδρες αριπρεπεες τελεθουσι·
Τουνεκα με προεηκε, διδασκεμεναι ταδε παντα,
Μυθων τε fρητηρ᾽ εμεναι, πρηκτηρα τε fεργων.

---

420. Χειρα fεην. Manum suam: Χειρας εfας dixisse potuit; Ε. 433.

424. σαῷ. servet: subjunctivus a σαωμι· vulgò, σοῃ, sed nescio unde derivetur. Hesychius, Σαοῖ, βοηθεῖ, et, Σαῶμεν, σαωσωμεν, habet. Vide Ι. 393, 677.

426. μεθεν. me: Ita Hesychius. Vulgò, εμευ, contra metrum. Vide Ε. 896. Knightius quatuor versus damnat.

434. Ει μεν δη νοστον γε. Si tamen revera reditum quidem: Tenera admodum Phœnicis oratio, quanquam, ut senis, nonnihil prolixa; memorabiles tamen quasdam priscorum hominum historias narrat.

440. ὁμοιϊοφι πτολεμοιο. molesti belli: Vulgò, ὁμοιϊου πολεμοιο, sed ὁμοιος penultimam in aliis omnibus casibus corripit; Δ. 317, et vide Β. 535.

Ὡς κεν επειτ' απο σειο, φιλον τεκος, ουκ εθελοιμι
Λειπεσθ', ουδ' ει κεν μοι ὑποσταιη Θεος αυτος,
Γηρας αποξυσας, θησειν νεον ἡβαοντα·
Οἱον ὁτε πρωτον λιπον Ἑλλαδα καλλιγυναικα,
Φευγων νεικεα πατρος Αμυντορος Ορμενιδαο·
Ὁς μοι παλλακιδος περι χωσατο καλλικομοιο,
Την αυτος φιλεεσκεν, ατιμαζεσκε δ' ακοιτιν,
Μητερ' εμην· ἡ δ' αιεν εμε ϝλισσεσκετο γουνων,
Παλλακιδι προμιγηναι, ἱν' εχθηρειε γεροντα·
Τῃ πιθομην, και εϝρεξα· πατηρ δ' εμος, αυτικ' οϊσθεις,
Πολλα κατηρᾶτο, στυγερας δ' επεκεκλετ' Ερινυυς,
Μη ποτε γουνασι ϝοισιν εφεσσεσθαι φιλον υἱον,
Εξ εμεθεν γεγαωτα· Θεοι δ' ετελειον επαρας,
Ζευς τε καταχθονιος, και επαινη Περσεφονεια.
Ενθ' εμοι ουκετι παμπαν εϝρητυετ' εν φρεσι θυμος,
Πατρος χωομενοιο, κατα ϝμεγαρα στρωφᾶσθαι.
Η μεν πολλα ϝεται και ανεψιοι αμφις εοντες
Αυτοθι ϝλισσομενοι κατεϝρητυον εν ϝμεγαροισι·
Πολλα δε ϝιφια μηλα και ειλιποδας ϝελικας βους
Εσφαζον, πολλοι δε συες θαλεθοντες αλοιφῃ
Ευομενοι τανυοντο δια φλογος Ἡφαιστοιο·
Πολλον δ' εκ κεραμων μεθυ πινετο τοιο γεροντος.
Ειναυυχες δε μοι αμφ' αυτῳ παρα νυκτας ιαυον·
Οἱ μεν αμειβομενοι φυλακας εχον· ουδε ποτ' εσβη
Πυρ, ἑτερον μεν ὑπ' αιθουσῃ ευερκεος αυλης,

---

455. γουνασι ϝοισι. genibus suis: id est, Amyntoris. Malè Knightius, γουνασ' εμοισι, cùm dativus elidi nequeat.

457. Περσεφονεια. Knightius versum damnat; quatuor contrà inserit, quos Plutarchus Aristarchum expulisse ait.

Τον μεν εγω βουλευσα κατακταμεν οξεϊ χαλκῳ·
Αλλα τις αθανατων παυσεν χολον· ὁς ϝρ' ενι θυμῳ
Δημου θηκε φατιν, και ονειδεα πολλ' ανθρωπων·
Ὡς μη πατροφονος μετ' Αχαιοισιν καλεοιμην.

462. ϝελικας. nigras: Alii, cornua torta habentes: alii, cincinnatos, villosos: Leguntur et βουσι ϝελιξι, Μ. 293, et ϝελικος βοος, Ο. 633. Vide Α. 98.

Αλλο δ' ενι προδομῳ, προσθεν θαλαμοιο θυραων.
Αλλ' ὁτε δη δεκατη μοι επηλυθε νυξ ερεβεννη,
Και τοτ' εγω θαλαμοιο θυρας πυκινως αραρυιας
Fρηξας εξηλθον, και ὑπερθορον ἑρκιον αυλης
Fρεια, λαθων φυλακας τ' ανδρας, δμωας τε γυναικας.
Φευγον επειτ' απανευθε, δι' Ἑλλαδος ευρυχοροιο,
Φθιην δ' εξικομην εριβωλακα, μητερα μηλων,
Ες Πηληα ϝαναχθ'· ὁ δε με προφρων ὑπεδεκτο,
Και με φιλησ', ὡς ει τε πατηρ ϝον παιδα φιλησῃ
Μουνον, τηλυγετον, πολλοισιν επι κτεατεσσι·
Και μ' αφνειον εθηκε, πολυν δε μοι ωπασε λαον·
Ναιον δ' εσχατιην Φθιης, Δολοπεσσι ϝανασσων·
Και σε τοσουτον εθηκα, Θεοις επιϝεικελ' Αχιλλευ,
Εκ θυμου φιλεων· επει ουκ εθελεσκες ἁμ' αλλῳ
Ουτ' ες δαιτ' ιεναι, ουτ' εν ϝμεγαροισι πασασθαι,
Πριν γ' ὁτε δη σ' επ' εμοισιν εγω γουνασσι καθισσας
Οψου τ' ασαιμι προταμων, και ϝοινον επισχων.
Πολλακι μοι κατεδευσας επι στηθεσσι χιτωνα,
Fοινον αποβλυζων εν νηπιεῃ αλεγεινῃ.
Ὡς επι σοι μαλα πολλ' επαθον, και πολλ' εμογησα,
Τα φρονεων, ὁ μοι ουτι Θεοι γονον εξετελειον
Εξ εμευ· αλλα σε παιδα, Θεοις επιϝεικελ' Αχιλλευ,
Ποιευμην, ἱνα μοι ποτ' αϝεικεα λοιγον αμυνῃς.
Αλλ', Αχιλευ, δαμασον θυμον ϝμεγαν· ουδε τι σε χρη
Νηλεες ητορ εχειν· στρεπτοι δε τε και Θεοι αυτοι,
Των περ και ϝμειζων αρετη, τιμη τε, βιη τε.
Και μεν τους θυεεσσι, και ευχωλῃς αγανῃσι,
Λοιβῃ τε, κνισσῃ τε, παρατρωπῶσ' ανθρωποι
Fλισσομενοι, ὁτε κεν τις ὑπερβειῃ και ἁμαρτῃ.

479. Και μ' αφνειον. Knightius duos versus omittit, quia Phœnicem in domo Pelei mansisse censeat.

493. Νηλεες ητορ. non miserans cor: a νηλης, quod a νη et ελεος fluit, et in obliquis νηλεϊ et νηλεα format.

496. παρατρωπῶσι. devertunt: Ita, νωμαω, et στρωφαω.

Και γαρ τε Ϝλιται εισι Διος κουραι ϝμεγαλοιο,
Χωλαι τε, ϝρυσαι τε, παραβλωπες τ' οφθαλμω·
Αἱ ϝρα τε και μετοπισθ' Αϝατης αλεγουσι κιουσαι.
Ἡ δ' Αϝατη σθεναρη τε και αρτιπος· οὑνεκα πασας
Πολλον ὑπεκπροθεει, φθανει δε τε πασαν επ' αιαν,
Βλαπτουσ' ανθρωπους· αἱ δ' εξακεονται οπισσω.
Ὁς μεν τ' αιδεσεται κουρας Διος ασσον ιουσας,
Τονδε ϝμεγ' ωνησαν, και τ' εκλυον ευξαμενοιο·
Ὁς δε κ' ανηνηται, και τε στερεως αποϝειπῃ,
Ϝλισσονται δ' αρα ταιγε Δια Κρονιωνα κιουσαι,
Τῳ Αϝατην ἁμ' ἑπεσθαι, ἱνα βλαφθεις αποτισῃ.
Αλλ', Αχιλευ, πορε και συ Διος κουρῃσιν ἑπεσθαι
Τιμην, ἡ τ' αλλων περ επιγναμπτει φρενας εσθλων·
Ει μεν γαρ μη δωρα φεροι, τα δ' οπισθ' ονομαζοι
Ατρεΐδης, αλλ' αιεν επιζαφελως χαλεπαινοι,
Ου κεν εγωγε σε μηνιν αποϝριψαντα κελοιμην
Αργειοισιν αμυνεμεναι, χατεουσι περ εμπης·
Νυν δ' ἁμα τ' αυτικα πολλα διδοῖ, τα δ' οπισθεν ὑπεστη,
Ανδρας δε ϝλισσεσθαι επιπροεηκεν αριστους,
Κριναμενος κατα λαον Αχαιϊκον, οἱ τε σοι αυτῳ
Φιλτατοι Αργειων· των μη συγε μυθον ελεγξῃς,
Μηδε ποδας· πριν δ' ουτι νεμεσσητον κεχολωσθαι.
Οὑτω και των προσθεν επευθομεθα κλεε' ανδρων
Ἡρωων, ὁτε κεν τιν' επιζαφελος χολος ἱκοι,
Δωρητοι τε πελοντο, παραϝρητοι τε ϝεπεσσι.
Μεμνημαι τοδε ϝεργον εγω παλαι, ουτι νεον γε,
Ὡς ην· εν δ' ὑμιν ϝερεω παντεσσι φιλοισι.
Κουρητες τ' εμαχοντο και Αιτωλοι μενεχαρμαι,
Αμφι πολιν Καλυδωνα, και αλληλους εναριζον·

---

497. ὑπερβειῃ. transgrediatur: alii, ὑπερβηῃ· vide Ε. 598.

509. πορε και συ. concede et tu Jovis filiis sequi Pœnam: id est, eas verentes, pœnam accipe.

522. παραϝρητοι τε ϝεπεσσι. suadendique verbis: a ϝερεω, dico, Α. 62; iterum occurrit, Ν. 726; et ϝρητος, Φ. 445; et αϝρητος, Ρ. 37. Ita, παραφημι, et παρεϝειπον, suadendi sensum habent.

Αιτωλοι μεν, αμυνομενοι Καλυδωνος ερανvης·
Κουρητες δε, διαπραθεειν μεμαωτες Αϝρηϊ.
Και γαρ τοισι κακον χρυσοθρονος Αρτεμις ωρσε
Χωσαμενη, ὁ ϝοι ουτι θαλυσια γουνῳ αλωης
Ϝοινευς ϝρεξ'· αλλοι δε Θεοι δαινυνθ' ἑκατομβας·
Οιῃ δ' ουκ εϝρεξε Διος κουρῃ ϝμεγαλοιο,
Η λαθετ', η ενοησεν· αϝασατο δε ϝμεγα θυμῳ.
Ἡ δε χολωσαμενη, διον γενος, ιοχεαιρα,
Ωρσεν επι χλουνην συν αγριον, αργιοδοντα,
Ὁς κακα πολλα ϝρεδεσκεν, εθων Ϝοινηος αλωην.
Πολλα δ' ὁγε προθελυμνα χαμαι βαλε δενδρεα μακρα
Αυτῃσι ϝριζῃσι, και αὐτοις ανθεσι μηλων.
Τον δ' υἱος Ϝοινηος απεκτεινεν Μελεαγρος,
Πολλεων εκ πολιων θηρητορας ανδρας αγειρας,
Και κυνας· ου μεν γαρ κ' εδαμη παυροισι βροτοισι·
Τοσσος εεν, πολλους δε πυρης επεβησ' αλεγεινης.
Ἡ δ' αμφ' αυτῳ θηκε πολυν κελαδον και αϋτην,
Αμφι συος κεφαλῃ και δερματι λαχνηεντι,
Κουρητων τε μεσηγυ και Αιτωλων ϝμεγαθυμων.
Ὀϝρα μεν ουν Μελεαγρος Αϝρηϊφιλος πολεμιζε,
Τοϝρα δε Κουρητεσσι κακως ην· ουδ' εδυναντο
Τειχεος εκτοσθεν μιμνειν, πολεες περ εοντες.
Αλλ' ὁτε δη Μελεαγρον εδυ χολος, ὁς τε και αλλων
Οιδανει εν στηθεσσι νοον πυκα περ φρονεοντων·
Ητοι ὁ, μητρι φιλῃ Αλθαιῃ χωομενος κῆρ,
Κειτο παρα μνηστῃ αλοχῳ, καλῃ Κλεοπατρῃ,

---

533. Η λαθετ', η ενοησεν. An oblitus sit, an perceperit: id est, nescio, an oblivione, an consilio, id fecerit. Vulgò, η ουκ ενοησεν· quod, et in metrum, et in sensum, peccat. Knightius versum hunc et præcedentem, ut mera commenta, damnat.

536. Ὁς κακα πολλα ϝρεδεσκεν. Qui mala multa fecit, frequentans Œnei vineam: ϝρεδεσκεν ab εϝρεδον est, aoristo secundo a ϝρεζω. Vulgò, πολλ' ερδεσκεν, ut et Χ. 380, sed ϝερδεσκεν esset, Λ. 315. Εθω, frequento, iterum occurrit, Π. 260, et hinc ειωθα.

538. μηλων. malorum, pomorum: plerumque, ovium, significat; ut Ι. 475.

543. Ἡ δε. Illa verò: nempe Diana.

Κουρῃ Μαρπισσης καλλισφυρου Ευηνινης,
Ιδεω θ', ὁς καρτιστος επιχθονιων γενετ' ανδρων
Των τοτε, και ϝρα ϝανακτος εναντιον εϝλετο τοξον
Φοιβου Απολλωνος, καλλισφυρου εἱνεκα νυμφης·
Την δε τοτ' εν ϝμεγαροισι πατηρ και ποτνια μητηρ
Αλκυονην καλεεσκον επωνυμον, οὑνεκ' αρ αυτης
Μητηρ, Αλκυονος πολυπενθεος οιτον εχουσα,
Κλαι', ὁτε δη ϝ' ἑκαϝεργος ανηρπασε Φοιβος Απολλων.
Τῃ ὁγε παρκατελεκτο, χολον θυμαλγεα πεσσων,
Εξ αρεων μητρος κεχολωμενος, ἡ ϝρα Θεοισι
Πολλ' αχεουσ' ηρᾶτο, κασιγνητοιο φονοιο·
Πολλα δε και Γαιαν πολυφορβην χερσιν αλοια,
Κικλησκουσ' Αϝιδην και επαινην Περεσφονειαν,
Προχνυ καθεζομενη, δευοντο δε δακρυσι κολποι,
Παιδι δομεν θανατον· της δ' ηεροφοιτις Εριννυς
Εκλυεν εξ Ερεβεσφιν, αμειλιχον ητορ εχουσα.
Των δε ταχ' αμφι πυλας ὁμαδος και δουπος ορωρει,
Πυργων βαλλομενων· τον δ' εϝλισσοντο γεροντες
Αιτωλων, πεμπον δε Θεων ἱερηας αριστους,
Εξελθειν και αμυναι, ὑποσχομενοι ϝμεγα δωρον·
Ὁπποθι πιοτατον πεδιον Καλυδωνος ερανvης,
Ενθα μιν ηνωγον τεμενος περικαλλες εϝλεσθαι,
Πεντηκοντογυον· το μεν ἡμισυ, ϝοινοπεδοιο,
Ἡμισυ δε, ψιλην αροσιν πεδιοιο ταμεσθαι.
Πολλα δε μιν ϝλιτανευε γερων ἱππηλατα Ϝοινευς,
Ουδου επεμβεβαως ὑψηρεφεος θαλαμοιο,

---

560. ὁτε δη ϝ' Ἑκαϝεργος. quando revera eum jaculator: Vulgò, ὁτε μιν, contra metrum, nisi ἑκας digamma accipiat; vide Α. 21. Aristarchus, Κλαιεν, ὁ μιν, proposuit, ne ὁτε pro ὁτι accipiatur.

568. εξ Ερεβεσφιν. ex Erebo: sic εξ Ερεβευς, Θ. 368. Vulgò, εξ Ερεβευσφιν· sed φιν non syllaba mera additiva est, sed genitivi forma, ut κρατεσφι, Κ. 156, στηθεσφιν, Ε. 41.

570. τον δ' εϝλισσοντο γεροντες. hunc verò precabantur senes: MSS. hìc et Ι. 581, ελισσοντο, contra metrum, exhibent; Barnesius, ελλισοντο, induxit; Aristarchus, τον δε λισσοντο, quod æquè in metrum peccat, licèt Heynius ita ediderit. Rectè Dawesius digamma præponendum monuit; Α. 15.

Ϝσειων κολλητας σανιδας, γουνουμενος υἱον·
Πολλα δε τονδε κασιγνηται και ποτνια μητηρ
Εϝλισσονθ'· ὁ δε μαλλον αναινετο· πολλα δ' ἑταϝροι,
Οἱ ϝοι κεδνοτατοι και φιλτατοι ησαν ἁπαντων·
Αλλ' ουδ' ὡς του θυμον ενι στηθεσσιν επειθον,
Πριν γ' ὁτε δη θαλαμος πυκα βαλλετο, τοι δ' επι πυργων
Βαινον Κουρητες, και ενεπρηθον ϝμεγα ϝαστυ·
Και τοτε δη Μελεαγρον εΰζωνος παρακοιτις
Ϝλισσετ' οδυρομενη, και ϝοι κατελεξεν ἁπαντα
Κηδε', ὁσ' ανθρωποισι πελει, των ϝαστυ ϝαλωῃ·
Ανδρας μεν κτεινουσι, πολιν δε τε πυρ αμαθυνει·
Τεκνα δε τ' αλλοι αγουσι, βαθυζωνους τε γυναικας.
Του δ' ωρινετο θυμος ακουοντος κακα ϝεργα·
Βη δ' ιεναι, χροϊ δ' εντε' εδυσατο παμφανοωντα.
Ὡς ὁ μεν Αιτωλοισιν απημυνεν κακον ημαρ,
Ϝειξας ϝῳ θυμῳ· τῳ δ' ουκετι δωρ' ετελεσσαν
Πολλα τε και χαριεντα· κακον δ' ημυνε και αυτως.
Αλλα συ μη μοι ταυτα νοει φρεσι, μηδε σε δαιμων
Ενταυθα τρεψειε, πεπον· κακιον δε κεν ειη
Νηυσιν καιομενῃσιν αμυνεμεν· αλλ' επι δωροις
Ερχεο· ϝισον γαρ σε Θεῳ τισουσιν Αχαιοι.
Ει δε κ' ατερ δωρων πολεμον φθισηνορα δυῃς,
Ουκ εθ' ὁμης τιμης εσεαι, πολεμον περ αλαλκων.
Τον δ' απαμειβομενος προσεφη ποδας ωκυς Αχιλλευς·
Φοινιξ, αττα γεραιε, Διοτρεφες, ουτι με ταυτης
Χρεΐ τιμης· φρονεω δε τετιμησθαι Διος αισῃ,
Ἡ μ' ἑξει παρα νηυσι κορωνισιν, εισοκ' αϋτμη

581. Εϝλισσοντο. Vide suprà. Facilè, Λισσεσκοντο, scripsisse potuit.
588. των ϝαστυ ϝαλωῃ. quorum urbs capiatur: Subjunctivus antiquus ab εϝαλων· Β. 374, Α. 26.
601. ὁμης τιμης. ejusdem honoris: ita Scholiastes; vulgò, ὁμως. Knightius hunc versum et præcedentem damnat, ut et 605, 606, 612, 627, 644, 649, 650, et 651.
604. Χρεΐ τιμης. Opus est honoris: Vulgò, Χρεω· vide Ι. 75.
608. συγχεε. perturba: Vulgò, συγχει· sed χεω, et ϝρεω, contrahi nequeunt.

Εν στηθεσσι μενῃ, και μοι φιλα γουνατ᾿ ορωρῃ.
Αλλο δε τοι ϝερεω, συ δ᾿ ενι φρεσι βαλλεο σῃσι·
Μη μοι συγχεε θυμον οδυρομενος και αχευων,
Ατρεϊδῃ ἡρωϊ φερων χαριν· ουδε τι σε χρη
Τον φιλεειν, ἱνα μη μοι απεχθηαι φιλεοντι·
Καλον τοι συν εμοι τον κηδειν, ὁς κε με κηδῃ·
Ϝισον εμοι βασιλευε, και ἡμισυ ϝμειρεο τιμης.
Οὑτοι δ᾿ αγγελεουσι, συ δ᾿ αυτοθι λεξεο μιμνων
Ευνῃ ενι μαλακῃ· ἁμα δ᾿ Ηοϊ φαινομενηθι
Φρασσομεθ᾿, η κε νεωμεθ᾿ εφ᾿ ἡμετερ᾿, η κε μενωμεν.
  Η, και Πατροκλῳ ὁγ᾿ επ᾿ οφρυσι νευσε σιωπῃ
Φοινικι στορεσαι πυκινον λεχος, ὁϝρα ταχιστα
Εκ κλισιης νοστοιο μεδοιατο. Τοισι δ᾿ αρ Αιας
Αντιθεος Τελαμωνιαδης μετα μυθον εϝειπε·
  Διογενες Λαερτιαδη, πολυμηχαν᾿ Οδυσσευ,
Ιομεν· ου γαρ μοι δοκεει μυθοιο τελευτη
Τῃδε γ᾿ ὁδῳ κρανεεσθαι· απαγγειλαι δε ταχιστα
Χρη μυθον Δαναοισι, και ουκ αγαθον περ εοντα,
Οἱ που νυν ἑαται ποτιδεγμενοι· αυταρ Αχιλλευς
Αγριον εν στηθεσσι θετο ϝμεγαλητορα θυμον,
Σχετλιος, ουδε μετατρεπεται φιλοτητος ἑταϝρων,
Της, ᾗ μιν παρα νηυσιν ετιομεν εξοχον αλλων·
Νηλης· και μεν τις τε κασιγνητοιο φονοιο
Ποινην, η ϝου παιδος εδεξατο τεθνειωτος·
Και ϝρ᾿ ὁ μεν εν δημῳ μενει αυτου, πολλ᾿ αποτισας,
Του δε ϝερητυεται κραδιη και θυμος αγηνωρ,
Ποινην δεξαμενου· σοι δ᾿ αϝληκτον τε κακον τε

---

611. Καλον τοι. Pulchrum tibi mecum eum lacessere, qui me lacessat: Ita E. 400, 404.

612. Ϝισον εμοι βασιλευε. Par mihi impera, et dimidium divide honoris: id est, idem mecum consule, et partem cape in meo honore. Forsitan, βουλευε, legendum.

620. Διογενες. Ajax indignabundus primò Achillem non alloquitur; postea in preces vertitur, ne officio deesse videatur. Oratione tamen simplice et verâ plus quàm Ulysses efficit.

Θυμον ενι στηθεσσι Θεοι θεσαν, εἱνεκα κουρης
Οιης· νυν δε τοι ἑπτα παρισχομεν εξοχ᾽ αριστας,
Αλλα τε πολλ᾽ επι τησι· συ δ᾽ ἱλαον ενθεο θυμον·
Αιδεσσαι δε μελαθρον· ὑπωροφιοι δε τοι ειμεν
Πληθυος εκ Δαναων, μεμαμεν δε τοι εξοχον αλλων
Κηδιστοι τ᾽ εμεναι και φιλτατοι, ὁσσοι Αχαιοι.
Τον δ᾽ απαμειβομενος προσεφη ποδας ωκυς Αχιλλευς·
Αιαν Διογενες, Τελαμωνιε, κοιρανε λαων,
Παντα τα μοι κατα θυμον εϝεισαο μυθησασθαι·
Αλλα μοι οιδανεται κραδιη χολῳ, ὁπποτε κεινων
Μνησομαι, ὡς μ᾽ ασυφηλον εν Αργειοισιν εϝρεξεν
Ατρεϊδης, ὡς ει τιν᾽ ατιμητον μεταναστην.
Αλλ᾽ ὑμεις ερχεσθε, και αγγελιην αποφασθε·
Ου γαρ πριν πολεμοιο μεδησομαι αἱματοεντος,
Πριν γ᾽ υἱον Πριαμοιο δαϊφρονος, Ἑκτορα διον,
Μυρμιδονων επι τε κλισιας και νηας ἱκεσθαι,
Κτεινοντ᾽ Αργειους, κατα τε σμυξαι πυρι νηας.
Αμφι δε τοι κλισιηθιν εμῃ και νηϊ μελαινῃ,
Ἑκτορα, και μεμαωτα, μαχης σχησεσθαι οϊω.
Ὡς εφαθ᾽· οἱ δε ϝεκαστος εϝλων δεπας αμφικυπελλον,
Σπεισαντες, παρα νηας ισαν παλιν· ηρχε δ᾽ Οδυσσευς.
Πατροκλος δ᾽ ἑταϝροισιν, ιδε δμωῃσι, κελευσε,
Φοινικι στορεσαι πυκινον λεχος ὁ ϝρα ταχιστα·
Αἱ δ᾽ επιπειθομεναι στορεσαν λεχος, ὡς εκελευσε,
Κωεα τε, ϝρηγος τε, λινοιο τε λεπτον αωτον·
Ενθ᾽ ὁ γερων κατελεκτο, και Ηοα διαν εμιμνεν.

---

641. Παντα τα μοι. Omnia hæc mihi ad animum scivisti dicere: Vulgò, Παντα τι μοι, quod minimè placet; Barnesius, Παντα συ μοι. Ϝεισαμην, a ϝεισομαι, sciam, non alibi hunc sensum in aoristo habet; alii, visus es, vertunt.

642. ὁπποτε κεινων. quando eorum Recordabor, ut me: Malim, Μνησομαι. Alii, κεινου, et ὁς. Cicero ita vertit. Quæst. Tuscul. lib. iii.

Corque meum penitus turgescit tristibus iris,
Cùm decore atque omni me orbatum laude recordor.

643. ασυφηλον. contemptum: derivatio incerta est.

644. μεταναστην. peregrinum: a μεταναιω.

650. κλισιηθιν εμῃ. tentorio meo: Vulgò, τῃ ᾽μῃ κλισιῃ· vide Β. 418.

Αυταρ Αχιλλευς εὗδε μυχῳ κλισιης εϋπηκτου·
Τῳ δ᾽ αρα παρκατελεκτο γυνη, την Λεσβοθεν ηγε,
Φορβαντος θυγατηρ, Διομηδη καλλιπαρηος.
Πατροκλος δ᾽ ἑτερωθεν ελεξατο· παρ δ᾽ αρα και τῳ
Fιφις εΰζωνος, την ϝοι πορε διος Αχιλλευς,
Σκυρον εϝλων αιπειαν, Ενυηος πτολιεθρον.
Οἱ δ᾽ ὁτε δη κλισιηθιν εν Ατρεϊδαο γενοντο,
Τους μεν αρα χρυσεοισι κυπελλοις υἱες Αχαιων
Δειδεχατ᾽ αλλοθεν αλλος ανασταδον, εκ τ᾽ εϝεροντο·
Πρωτος δ᾽ εκϝερεεινε ϝαναξ ανδρων Αγαμεμνων·
Fειπ᾽ αγε μ᾽, ω πολυαιν᾽ Οδυσευ, ϝμεγα κυδος Αχαιων,
Η ϝρ᾽ εθελει νηεσσιν αμυνεμεναι δαΐον πυρ,
Η απεϝειπε, χολος δε τ᾽ εχει ϝμεγαλητορα θυμον;
Τον δ᾽ αυτε προσεϝειπε πολυτλας διος Οδυσσευς·
Ατρεΐδη κυδιστε, ϝαναξ ανδρων Αγαμεμνον,
Κεινος γ᾽ ουκ εθελει σβεσσαι χολον, αλλ᾽ ετι μαλλον
Πιμπλανεται μενεος· σε δ᾽ αναινεται, ηδε σα δωρα.
Αυτον σε φραζεσθαι ἁμ᾽ Αργειοισιν ανωγεν,
Ὁππως κεν νηας τε σαῷς και λαον Αχαιων·
Αυτος δ᾽ ηπειλησεν, ἁμ᾽ Ηοϊ φαινομενηθι,
Νηας εϋϝσελμους ἁλαδ᾽ ἑλκεμεν αμφιϝελισσας·
Και δε κε τοις αλλοισιν, εφη, παραμυθησαιτο
Fοικαδ᾽ αποπλεεμεν· επει ουκετι δηετε τεκμωρ
Fιλιου αιπεινης· μαλα γαρ ϝεθεν ευρυϝοπα Ζευς
Χειρα ϝεην ὑπερεσχε, τεθαρσηκασι δε λαοι.
Ὡς εφατ᾽· εισι και οἱδε τα ϝειπεμεν, οἱ μοι ἑποντο,

---

655. ὁ ϝρα ταχιστα. quod sanè celerrimè: Vulgò, ὁ,ττι.
667. αλλοθεν αλλος. ab alio alius: Ablativus antiquus, ut passim.
669. Fειπ᾽ αγε μ᾽, ω πολυαιν᾽ Οδυσευ. Dic age mihi, O laudatissime Ulysses: μ᾽ pro με, non pro μοι, ponitur; εϝειπον passim accusativum regit, Μ. 60, et οι diphthongus elidi nequit. Facilè, Fειπε μοι, vel, Fειπ᾽ αγε μοι, scripsisse potuit.
677. σαῷς. serves: subjunctivus a σαωμι. Ita Aristarchus; alii σοῃς, vel σοῷς. Vide Ι. 424.
680. παραμυθησαιτο. suaderet: Ita, Ι. 417. Vulgò, παραμυθησασθαι· sed Homerus particulam κε infinitivo non jungit.
684. τα ϝειπεμεν. hæc dicere: Vulgò, ταδ᾽ ειπεμεν. Knightius quinque versus damnat, ut et 690.

Αιας και κηρυκε δυω, πεπνυμενω αμφω.
Φοινιξ δ' αυθ' ὁ γερων κατελεξατο· ὡς γαρ ανωγει,
῾Οϝρα ϝοι εν νηεσσι φιλην ες πατριδ' ἑπηται
Αυριον, αι κ' εθελησιν· αναγκῃ δ' ουτι μιν αξει.
  ῾Ως εφαθ'· οἱ δ' αρα παντες ακην εγενοντο σιωπῃ,
Μυθον αγασσαμενοι· μαλα γαρ κρατερως αγορευσε.
Δην δ' αναοι ησαν τετιηοτες υἱες Αχαιων·
Οψε δε δη μετεϝειπε βοην αγαθος Διομηδης·
  Ατρεϊδη κυδιστε, ϝαναξ ανδρων Αγαμεμνον,
Μη οφελες ϝλισσεσθαι αμυμονα Πηλεϊωνα,
Μυρια δωρα διδους· ὁ δ' αγηνωρ εστι και αλλως·
Νυν αυ μιν πολυ μαλλον αγηνοριῃσιν ενηκας.
Αλλ' ητοι κεινον μεν εϝασομεν, η κεν ἱησιν,
Η κε μενῃ· τοτε δ' αυτε μαχησεται, ὁπποτε κεν μιν
Θυμος ενι στηθεσσιν ανωγῃ, και Θεος ορσῃ.
Αλλ' αγεθ', ὡς αρ εγω ϝειπω, πειθωμεθα παντες·
Νυν μεν κοιμησασθε, τεταρπομενοι φιλον ητορ
Σιτου και ϝοινοιο· το γαρ μενος εστι και αλκη.
Αυταρ επει κε φανῃ καλη ϝροδοδακτυλος Ηως,
Καρπαλιμως προ νεων εχεμεν λαον τε και ἱππους
Οτρυνων· και δ' αυτος ενι πρωτοισι μαχεσθαι.
  ῾Ως εφαθ'· οἱ δ' αρα παντες επῃνησαν βασιληες,
Μυθον αγασσαμενοι Διομηδεος ἱπποδαμοιο.
Και τοτε δη σπεισαντες εβαν κλισιηνδε ϝεκαστος·
Ενθα δε κοιμησαντο, και ὑπνου δωρον εϝλοντο.

---

691. αναοι. muti: vulgò, ανεῳ· vide B. 323.

ʻΟΜΗΡΟΥ FΙΛΙΑΣ.

K.

ARGUMENTA.

Δολωνος και Fρησου φονος.
Καππα, ϝελον Fρησον Οδυσευς και Τυδεος υἱος.

1. AGAMEMNON Græcorum principes nocte excitat, et custodes invisit.—203. Nestore speculatorem mittere jubente, Diomedes operam suscipit, et Ulyssem comitem poscit.—299. Hector itidem Dolonem speculatum mittit.—340. Huic obversantur Diomedes et Ulysses, et interrogatum interficiunt.—470. Thracum tentoria subeunt, et Rheso rege, et duodecim aliis interfectis, equos abducunt.—507. Minervæ monitu in castra redeunt, et lætè ab amicis excipiuntur.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Κ.

ΑΛΛΟΙ μεν παρα νηυσιν αριστηες Παναχαιων
Εὑδον παννυχιοι, μαλακῳ δεδμημενοι ὑπνῳ·
Αλλ᾽ ουκ Ατρεΐδην Αγαμεμνονα, ποιμενα λαων,
ʽΥπνος εχε γλυκερος, πολλα φρεσιν ὁρμαινοντα.
ʽΩς δ᾽ ὁτε κ᾽ αστραπτῃ ποσις ʽΗρης ηΰκομοιο,
Τευχων η πολυν ομβρον αθεσφατον, ηε χαλαζαν,
Η ϝνιφετον, ὁτε περ τε χιων επαλυνεν αρουρας,
Ηε ποθι πτολεμοιο ϝμεγα στομα πευκεδανοιο·
ʽΩς πυκιν᾽ εν στηθεσσιν ανεστοναχιζ᾽ Αγαμεμνων,
Νειοθεν εκ κραδιης· τρομεοντο δε ϝοι φρενες εντος.
Ητοι ὁτ᾽ ες πεδιον το Τρωϊκον αθρησειε,
Θαυμαζεν πυρα πολλα, τα καιετο Ϝιλιοφι προ,
Αυλων, συριγγων τ᾽ ενοπην, ὁμαδον τ᾽ ανθρωπων·
Αυταρ ὁτ᾽ ες νηας τε ϝιδοι και λαον Αχαιων,
Πολλας εκ κεφαλης προθελυμνους ἑλκετο χαιτας
ʽΥψοθ᾽ εοντι Διϊ, ϝμεγα δ᾽ εστενε κυδαλιμον κῆρ.

---

1. Αλλοι μεν παρα νηυσι.

Nox erat, et placidum carpebant fessa soporem
Corpora per terras, sylvæque et sæva quièrant
Æquora; cùm medio volvuntur sidera lapsu,
Cùm tacet omnis ager; pecudes, pictæque volucres,
Quæque lacus latè liquidos, quæque aspera dumis
Rura tenent, somno positæ sub nocte silenti
Lenibant curas, et corda oblita dolorum.
At non infelix Phœnissa. Æn. iv. 522.

7. Η ϝνιφετον. Aut nivis imbrem: Heynius et Knightius duos versus damnant.

8. Ηε ποθι πτολεμοιο. Vel alicubi belli magnum os amari: vide Μ. 277. Ita Cicero in Oratione pro Archiâ; E totius belli ore et faucibus.

10. Νειοθεν εκ κραδιης. Ex imo cordis: εκ νειατου κραδιης· ita, Νειατον ες κενεωνος, Ε. 857.

Ἡδε δε ϝοι κατα θυμον αριστη φαινετο βουλη,
Νεστορ' επι πρωτον Νηληϊον ελθεμεν ανδρων,
Ει τινα ϝοι συν μητιν αμυμονα τεκτηναιτο,
Ἡ τις αλεξικακος πασιν Δαναοισι γενοιτο.
Ορθωθεις δ' ενδυνε περι στηθεσσι χιτωνα,
Ποσσι δ' ὑπο ϝλιπαροισιν εδησατο καλα πεδιλα·
Αμφι δ' επειτα δαφοινον εϝεσσατο δερμα λεοντος
Αιθωνος, ϝμεγαλοιο, ποδηνεκες· εϝλετο δ' εγχος.
Ὡς δ' αυτως Μενελαον εχε τρομος· ουδε γαρ αυτῳ
Ὑπνος επι βλεφαροισιν εφιζανε, μη τι παθοιεν
Αργειοι, τοι δη ϝεθεν εἱνεκα πολλον εφ' ὑγρην
Ηλυθον ες Τροϊην, πολεμον θρασυν ὁρμαινοντες·
Παρδαλεῃ μεν πρωτα μεταφρενον ευρυ καλυψε
Ποικιλῃ, αυταρ επι στεφανην κεφαληθιν αειρας
Θηκατο χαλκειην· δορυ δ' εϝλετο χειρι παχειῃ.
Βη δ' ιμεν ανστησων ϝον αδελφεον, ὁς ϝμεγα παντων
Αργειων εϝανασσε, Θεος δ' ὡς τιετο δημῳ.
Τον δ' εὑρ' αμφ' ωμοισι τιθημενον εντεα καλα,
Νηϊ παρα πρυμνῃ· τῳ δ' ασπασιος γενετ' ελθων.
Τον προτερος προσεϝειπε βοην αγαθος Μενελαος·

Τιφθ' οὑτως, ηθειε, κορυσσεαι; η τιν' ἑταϝρων
Οτρυνεις Τρωεσσιν επισκοπον; αλλα μαλ' αινως
Δειδω, μη ουτις τοι ὑποσχηται τοδε ϝεργον,
Ανδρας δυσμενεας σκοπιαζεμεν οιος επελθων,
Νυκτα δι' αμβροσιην· μαλα τις θρασυκαρδιος εσται.

Τον δ' απαμειβομενος προσεφη κρειων Αγαμεμνων·
Χρεῖ βουλης εμε και σε, Διοτρεφες ω Μενελαε,
Κερδαλεης, ἡ τις κε ϝερυσσεται ηδε σαωσει

---

19. Ει τινα ϝοι. Si quod ei: Forsitan, Ει κε ϝεθεν· cùm τις in versu sequenti contineatur.

27. πολλον εφ' ὑγρην. longè super mare: Vulgò, πουλυν εφ' ὑγρην· sed πουλυς non alibi in feminino occurrit, et raro primam producit; Γ. 89. Potuit etiam, πολλοι εφ' ὑγρην, scripsisse.

31. Θηκατο. Sibi imposuit: Ita Ξ. 187. Vulgò, κεφαληφιν.

43. Χρεῖ βουλης. Opus est consilio: Vulgò, Χρεω, et Κ. 85; vide Ι. 75.

Αργειους και νηας· επει Διος ετραπετο φρην.
Ἑκτορεοις αρα μαλλον επι φρενα θηχ᾽ ἱεροισιν·
Ου γαρ πω ϝιδομην, ουδ᾽ εκλυον αυδησαντος,
Ανδρ᾽ ἑνα τοσσαδε μερμερ᾽ επ᾽ ηματι μητισασθαι,
Ὁσσ᾽ Ἑκτωρ εϝρεξε Διϊ φιλος υἱας Αχαιων,
Αυτως, ουτε Θεας υἱος φιλος, ουτε Θεοιο.
Ϝεργα δ᾽ εϝρεξ᾽, ὁσα φημι μελησεμεν Αργειοισι
Δηθα τε και δολιχον· τοσα γαρ κακα μησατ᾽ Αχαιους.
Αλλ᾽ ιθι νυν, Αιαντα και Ιδομενηα καλεσσον,
Ϝριμφα θεων επι νηας· εγω δ᾽ επι Νεστορα διον
Ειμι, και οτρυνεω ανστημεναι· αι κ᾽ εθελησιν
Ελθειν ες φυλακων ἱερον τελος, ηδ᾽ επιτειλαι.
Κεινου γαρ κε μαλιστα πυθοιατο· τοιο γαρ υἱος
Σημαινει φυλακεσσι, και Ιδομενηος οπαων
Μηριονης· τοισιν γαρ επετραπομεν γε μαλιστα.
Τον δ᾽ ημειβετ᾽ επειτα βοην αγαθος Μενελαος·
Πως γ᾽ αρ μοι μυθῳ επιτελλεαι, ηδε κελευεις;
Αυθι μενω μετα τοισι, δεδεγμενος εισοκεν ελθῃς,
Ηε θεω μετα σ᾽ αυτις, επει κ᾽ ευ τοις επιτειλω;
Τον δ᾽ αυτε προσεϝειπε ϝαναξ ανδρων Αγαμεμνων·
Αυθι μενειν, μη πως αβροταξομεν αλληλοιϊν
Ερχομενω· πολλαι γαρ ανα στρατον εισι κελευθοι·
Φθεγγεο δ᾽, ᾗ κεν ιησθα, και εγρηγορθαι ανωχθι,
Πατροθεν εκ γενεης ονομαζων ανδρα ϝεκαστον,
Παντας κυδαινων· μηδε ϝμεγαλιζεο θυμῳ·
Αλλα και αυτοι περ πονεωμεθα· ὡδε που αμμι
Ζευς επι γεινομενοισιν ἱει κακοτητα βαρειαν.
Ὡς ϝειπων, απεπεμπεν αδελφεον, ευ επιτειλας.

---

44. ἡ τις κε. quæ aliqua tum: Grammatici veteres versum damnant. Forsitan, ἡ κε ϝρα, legendum.

51. Ϝεργα δ᾽ εϝρεξε. Knightius duos versus damnat, et 59, 84, et 191.

65. αβροταξομεν. per noctem aberremus: ab αβροτη, nox.

67. εγρηγορθαι. vigilare: Η. 371; ανωχθι, jube: sic ανωχθω, Λ. 189; vide Β. 280.

Ἡδε δε ϝοι κατα θυμον αριστη φαινετο βουλη,
Νεστορ᾽ επι πρωτον Νηληΐον ελθεμεν ανδρων,
Ει τινα ϝοι συν μητιν αμυμονα τεκτηναιτο,
Ἡ τις αλεξικακος πασιν Δαναοισι γενοιτο.
Ορθωθεις δ᾽ ενδυνε περι στηθεσσι χιτωνα,
Ποσσι δ᾽ ὑπο ϝλιπαροισιν εδησατο καλα πεδιλα·
Αμφι δ᾽ επειτα δαφοινον εϝεσσατο δερμα λεοντος
Αιθωνος, ϝμεγαλοιο, ποδηνεκες· εϝλετο δ᾽ εγχος.
Ὡς δ᾽ αυτως Μενελαον εχε τρομος· ουδε γαρ αυτῳ
Ὑπνος επι βλεφαροισιν εφιζανε, μη τι παθοιεν
Αργειοι, τοι δη ϝεθεν εἱνεκα πολλον εφ᾽ ὑγρην
Ηλυθον ες Τροΐην, πολεμον θρασυν ὁρμαινοντες·
Παρδαλεῃ μεν πρωτα μεταφρενον ευρυ καλυψε
Ποικιλῃ, αυταρ επι στεφανην κεφαληθιν αειρας
Θηκατο χαλκειην· δορυ δ᾽ εϝλετο χειρι παχειῃ.
Βη δ᾽ ιμεν ανστησων ϝον αδελφεον, ὁς ϝμεγα παντων
Αργειων εϝανασσε, Θεος δ᾽ ὡς τιετο δημῳ.
Τον δ᾽ εὑρ᾽ αμφ᾽ ωμοισι τιθημενον εντεα καλα,
Νηΐ παρα πρυμνῃ· τῳ δ᾽ ασπασιος γενετ᾽ ελθων.
Τον προτερος προσεϝειπε βοην αγαθος Μενελαος·

Τιφθ᾽ οὑτως, ηθειε, κορυσσεαι; η τιν᾽ ἑταϝρων
Οτρυνεις Τρωεσσιν επισκοπον; αλλα μαλ᾽ αινως
Δειδω, μη ουτις τοι ὑποσχηται τοδε ϝεργον,
Ανδρας δυσμενεας σκοπιαζεμεν οιος επελθων,
Νυκτα δι᾽ αμβροσιην· μαλα τις θρασυκαρδιος εσται.

Τον δ᾽ απαμειβομενος προσεφη κρειων Αγαμεμνων·
Χρεῖ βουλης εμε και σε, Διοτρεφες ω Μενελαε,
Κερδαλεης, ἡ τις κε ϝερυσσεται ηδε σαωσει

---

19. Ει τινα ϝοι. Si quod ei: Forsitan, Ει κε ϝεθεν· cùm τις in versu sequenti contineatur.

27. πολλον εφ᾽ ὑγρην. longè super mare: Vulgò, πουλυν εφ᾽ ὑγρην· sed πολυς non alibi in feminino occurrit, et raro primam producit; Γ. 89. Potuit etiam, πολλοι εφ᾽ ὑγρην, scripsisse.

31. Θηκατο. Sibi imposuit: Ita Ξ. 187. Vulgò, κεφαληφιν.

43. Χρεῖ βουλης. Opus est consilio: Vulgò, Χρεω, et Κ. 85; vide Ι. 75.

Αργειους και νηας· επει Διος ετραπετο φρην.
Ἑκτορεοις αρα μαλλον επι φρενα θηχ' ἱεροισιν·
Ου γαρ πω ϝιδομην, ουδ' εκλυον αυδησαντος,
Ανδρ' ἑνα τοσσαδε μερμερ' επ' ηματι μητισασθαι,
Ὁσσ' Ἑκτωρ εϝρεξε Διϊ φιλος υἱας Αχαιων,
Αυτως, ουτε Θεας υἱος φιλος, ουτε Θεοιο.
Fεργα δ' εϝρεξ', ὁσα φημι μελησεμεν Αργειοισι
Δηθα τε και δολιχον· τοσα γαρ κακα μησατ' Αχαιους.
Αλλ' ιθι νυν, Αιαντα και Ιδομενηα καλεσσον,
Fριμφα θεων επι νηας· εγω δ' επι Νεστορα διον
Ειμι, και οτρυνεω ανστημεναι· αι κ' εθελησιν
Ελθειν ες φυλακων ἱερον τελος, ηδ' επιτειλαι.
Κεινου γαρ κε μαλιστα πυθοιατο· τοιο γαρ υἱος
Σημαινει φυλακεσσι, και Ιδομενηος οπαων
Μηριονης· τοισιν γαρ επετραπομεν γε μαλιστα.
    Τον δ' ημειβετ' επειτα βοην αγαθος Μενελαος·
Πως γ' αρ μοι μυθῳ επιτελλεαι, ηδε κελευεις;
Αυθι μενω μετα τοισι, δεδεγμενος εισοκεν ελθῃς,
Ηε θεω μετα σ' αυτις, επει κ' ευ τοις επιτειλω;
    Τον δ' αυτε προσεϝειπε ϝαναξ ανδρων Αγαμεμνων·
Αυθι μενειν, μη πως αβροταξομεν αλληλοιϊν
Ερχομενω· πολλαι γαρ ανα στρατον εισι κελευθοι·
Φθεγγεο δ', ᾗ κεν ιησθα, και εγρηγορθαι ανωχθι,
Πατροθεν εκ γενεης ονομαζων ανδρα ϝεκαστον,
Παντας κυδαινων· μηδε ϝμεγαλιζεο θυμῳ·
Αλλα και αυτοι περ πονεωμεθα· ὡδε που αμμι
Ζευς επι γεινομενοισιν ἱει κακοτητα βαρειαν.
    Ὡς ϝειπων, απεπεμπεν αδελφεον, ευ επιτειλας.

---

44. ἡ τις κε. quæ aliqua tum: Grammatici veteres versum damnant. Forsitan, ἡ κε ϝρα, legendum.

51. Fεργα δ' εϝρεξε. Knightius duos versus damnat, et 59, 84, et 191.

65. αβροταξομεν. per noctem aberremus: ab αβροτη, nox.

67. εγρηγορθαι. vigilare: Η. 371; ανωχθι, jube: sic ανωχθω, Λ. 189; vide Β. 280.

Αυταρ ὁ βη ϝρ' ιεναι μετα Νεστορα, ποιμενα λαων.
Τον δ' εὑρεν παρα τε κλισιῃ και νηϊ μελαινῃ,
Ευνῃ ενι μαλακῃ· παρα δ' εντεα ποικιλ' εκειτο,
Ασπις, και δυο δουρε, φαεινη τε τρυφαλεια·
Παρ δε ζωστηρ κειτο παναιολος, ᾡ ϝρ' ὁ γεραιος
Ζωννυθ', ὁτ' ες πολεμον φθισηνορα θωρησσοιτο,
Λαον αγων· επει ου μεν επετρεπε γηραϊ λυγρῳ.
Ορθωθεις δ' αρ επ' αγκωνος, κεφαλην επαειρας,
Ατρειδην προσεϝειπε, και εκϝερεεινετο μυθῳ·
  Τις δ' οὑτω κατα νηας ανα στρατον ερχεαι οιος,
Νυκτα δι' ορφναιην, ὁτε χ' εὑδουσι βροτοι αλλοι;
Ηε τιν' ουρηων διζημενος, η τιν' ἑταϝρων;
Φθεγγεο, μηδ' ακεων επ' εμ' ερχεο· τιπτε δε σε χρεϊ;
  Τον δ' ημειβετ' επειτα ϝαναξ ανδρων Αγαμεμνων·
Ω Νεστορ Νηληϊαδη, ϝμεγα κυδος Αχαιων,
Γνωσεαι Ατρειδην Αγαμεμνονα, τον περι παντων
Ζευς ενεηκε πονοισι διαμπερες, εισοκ' αϋτμη
Εν στηθεσσι μενῃ, και μοι φιλα γουνατ' ορωρῃ.
Πλαζομαι ὡδ', επει ου μοι επ' ομμασι ϝηδυμος ὑπνος
Ἱζανει, αλλα μελει πολεμος και κηδε' Αχαιων.
Αινως γαρ περιδειδι' Αχαιων, ουδε μοι ητορ
Εμπεδον, αλλ' αλαλυκτημαι· κραδιη δε μοι εξω
Στηθεων εκθρωσκει, τρομεει δ' ὑπο φαιδιμα γυια.
Αλλ' ει τι δραινεις, επει ουδε σεγ' ὑπνος ἱκανει,
Δευρ' ες τους φυλακας καταβειομεν, ὀϝρα ϝιδωμεν,
Μη τοι μεν καματῳ ϝεϝαδηκοτες, ηδε και ὑπνῳ,
Κοιμησωνται, αϝαρ φυλακης επι παγχυ λαθωνται.
Δυσμενεες δ' ανδρες σχεδον ἑιαται, ουδε τι ϝιδμεν,

---

83. ὁτε κε. quando: vulgò, ὁτε τε· vide Β. 471.

93. Αινως γαρ περιδειδι' Αχαιων. Graviter enim timeo de Græcis: Vulgò, Δαναων περιδειδια, quod in metrum peccat, et emendatio est critici, qui Αχαιων repeti noluerit.

96. Αλλ' ει τι δραινεις. Sed si quid facere cogitas: a δραω.

98. ϝεϝαδηκοτες. indulgentes: a ϝαδεω. Ita, ϝαδος, Λ. 88. Vulgò, αδηκοτες.

Μη πως και δια νυκτα μενοινησωσι μαχεσθαι.
Τον δ' ημειβετ' επειτα Γερηνιος ἱπποτα Νεστωρ·
Ατρεΐδη κυδιστε, ϝαναξ ανδρων Αγαμεμνον,
Ου θην Ἑκτορι παντα νοηματα μητιετα Ζευς
Εκτελεσει, ὁσα που νυν ϝελπεται· αλλα μιν οιω
Κηδεσι μοχθησειν και πλειοσιν, ει κεν Αχιλλευς
Εκ χολου αργαλεοιο μεταστρεψῃ φιλον ητορ.
Σοι δε μαλ' ἑψομ' εγω· προτι δ' αυ και εγειρομεν αλλους,
Ημεν Τυδεΐδην δουρικλυτον, ηδ' Οδυσηα,
Ηδ' Αιαντα ταχυν, και Φυλεος αλκιμον υἱον.
Αλλ' ει τις και τουσδε μετοιχομενος καλεσειεν,
Αντιθεον τ' Αιαντα, και Ιδομενηα ϝανακτα·
Των γαρ νηες εασιν ἑκαστατω, ουδε μαλ' εγγυς.
Αλλα, φιλον περ εοντα και αιδοιον Μενελαον
Νεικεσω, ει περ μοι νεμεσησεαι, ουδ' επικευσω,
Ὡς εὑδει, σοι δ' οιῳ επετρεψεν πονεεσθαι·
Νυν οφελεν κατα παντας αριστηας πονεεσθαι
Ϝλισσομενος· χρειω γαρ ἱκανεται ουκετ' ανεκτος.
Τον δ' αυτε προσεϝειπε ϝαναξ ανδρων Αγαμεμνων·
Ω γερον, αλλοτε μεν σε και αιτιαασθαι ανωγα·
Πολλακι γαρ μεθιεῖ τε, και ουκ εθελει πονεεσθαι·
Ουτ' οκνῳ ϝεικων, ουτ' αφραδιῃσι νοοιο,
Αλλ' εμε τ' εισοροων, και εμην ποτιδεγμενος ὁρμην·
Νυν δ' εμεο προτερος μαλ' επεγρετο, και μοι επεστη·
Τον μεν εγω προεηκα καλημεναι, οὑς συ μεταλλᾷς.
Αλλ' ιομεν· κεινους δε κιχησομεθα προ πυλαων
Εν φυλακεσσ'· ἱνα γ' αρ σφιν επεφραδον ηγερεεσθαι.
Τον δ' ημειβετ' επειτα Γερηνιος ἱπποτα Νεστωρ·

Ludo fatigatumque somno. Horat. Carm. 3. 4. 11.
Heu nimis longo satiate ludo. Horat. Carm. 1. 2. 37.

105. ὁσα που νυν ϝελπεται. quanta quodammodo nunc sperat: Alii, νυν εελπεται· vide Θ. 196.

127. ἱνα γ' αρ. ubi quidem: vide Α. 123. Bentleius, ἱνα τ' αρ, proposuit.

Οὑτως ουτις ϝοι νεμεσησεται, ουδ' απιθησει
Αργειων, ὁτε κεν τιν' εποτρυνῃ και ανωγῃ.
Ὡς ϝειπων, ενδυνε περι στηθεσσι χιτωνα,
Ποσσι δ' ὑπο ϝλιπαροισιν εδησατο καλα πεδιλα,
Αμφι δ' αρα χλαιναν περονησατο φοινηεσσαν,
Διπλην, εκταδιην· ϝουλη δ' επενηνοθε λαχνη.
Εϝλετο δ' αλκιμον εγχος ακαχμενον οξεϊ χαλκῳ.
Βη δ' ιεναι κατα νηας Αχαιων χαλκοχιτωνων.
Πρωτον επειτ' Οδυσηα, Διϊ μητιν αταλαντον,
Εξ ὑπνου ανεγειρε Γερηνιος ἱπποτα Νεστωρ,
Φθεγξαμενος· τον δ' αιψα περι φρενας ηλυθ' ιωη·
Εκ δ' ηλθε κλισιης, και σφεας προς μυθον εϝειπε·
Τιφθ' οὑτω κατα νηας ανα στρατον οιοι αλᾶσθε,
Νυκτα δι' αμβροσιην; ὁτι δη χρειω τοσον ἱκει;
Τον δ' ημειβετ' επειτα Γερηνιος ἱπποτα Νεστωρ·
Διογενες Λαερτιαδη, πολυμηχαν' Οδυσσευ,
Μη νεμεσα· τοιον γαρ αχος βεβιηκεν Αχαιους.
Αλλ' ἑπευ, ὀϝρα και αλλον εγειρομεν, ον τε ϝεϝοικε
Βουλας βουλευειν, η φευγεμεν, ηε μαχεσθαι.
Ὡς φαθ'· ὁ δε κλισιηνδε κιων πολυμητις Οδυσσευς,
Ποικιλον αμφ' ωμοισι σακος θετο, βη δε μετ' αυτους.
Βαν δ' επι Τυδεϊδην Διομηδεα· τον δ' εκιχανον
Εκτος απο κλισιης συν τευχεσιν· αμφι δ' ἑταϝροι
Εὑδον· ὑπο κρασιν δ' εχον ασπιδας· εγχεα δε σφιν
Ορθ' επι σαυρωτηρος εληλατο· τηλε δε χαλκος
Λαμφ', ὡς αστεροπη πατρος Διος· αυταρ ὁγ' ἡρως
Εὑδ'· ὑπο δ' εστρωτο ϝρινον βοος αγραυλοιο·
Αυταρ ὑπο κρατεσφι ταπης τετανυστο φαεινος.

---

133. φοινηεσσαν. purpuream: ita M. 202. Vulgò, φοινικοεσσαν, quod non nisi glossa est, et in metrum peccat. Clarkius φοινικουσσαν pronuntiandum censet.

134. Διπλην, εκταδιην, ϝουλη δ' επενηνοθε λαχνη. Duplam, extensam, torta verò super crescebat lanugo: Διπλος, duplus; ita, τριπλη, et τετραπλη, A. 128. Εκταδιος, ab εκτεινω. Ϝουλος in hoc sensu in quatuor locis digamma admittit; vide B. 6. De επενηνοθε, vide B. 219.

Τον παρστας ανεγειρε Γερηνιος ἱπποτα Νεστωρ,
Λαξ ποδι κινησας, οτρυνε τε, νεικεσε τ' αυτην·
  Εγρεο, Τυδεος υἱε· τι παννυχον ὑπνον αωτεῖς;
Ουκ αΐεις, ὡς Τρωες επι θρωσμῳ πεδιοιο
Εἱαται αγχι νεων, ολιγος δ' ετι χωρος εϝρυκει;
  Ὡς φαθ'· ὁ δ' εξ ὑπνοιο μαλα κραιπνως ανορουσε,
Και μιν φωνησας, ϝεπεα πτεροεντα προσηυδα·
  Σχετλιος εσσι, γεραιε· συ μεν πονου ουποτε ϝληγεις·
Ου νυ και αλλοι εασι νεωτεροι υἱες Αχαιων,
Οἱ κεν επειτα ϝεκαστον εγειρειαν βασιληων,
Παντη εποιχομενοι; συ δ' αμηχανος εσσι, γεραιε.
  Τον δ' αυτε προσεϝειπε Γερηνιος ἱπποτα Νεστωρ·
Ναι δη ταυτα γε παντα, πεπον, κατα ϝμοιραν εϝειπες.
Εισιν μεν μοι παιδες αμυμονες, εισι δε λαοι
Και πολεες, των κεν τις εποιχομενος καλεσειεν.
Αλλα μαλα ϝμεγαλη χρειω βεβιηκεν Αχαιους·
Νυν γαρ δη παντεσσιν επι ξυρου ἱσταται ακμης,
Η μαλα λυγρος ολεθρος Αχαιοις, ηε βιωναι.
Αλλ' ιθι νυν, Αιαντα ταχυν, και Φυλεος υἱον
Ανστησον, συ γαρ εσσι νεωτερος· ει μ' ελεαιρεις.
  Ὡς φαθ'· ὁ δ' αμφ' ωμοισιν εϝεσσατο δερμα λεοντος
Αιθωνος, ϝμεγαλοιο, ποδηνεκες· εϝλετο δ' εγχος·
Βη δ' ιεναι· τους δ' ενθεν αναστησας αγεν ἡρως.
  Οἱ δ' ὁτε δη φυλακεσσιν εν αγρομενοισι γενοντο,
Ουδε μεν εὑδοντας φυλακων ἡγητορας εὑρον·
Αλλ' εγρηγορτι συν τευχεσιν εἱατο παντες.
Ὡς δε κυνες περι μηλα δυσουρησονται εν αυλῃ,
Θηρος ακουσαντες κρατεροφρονος, ὁς τε καθ' ὑλην

---

142. ὁτι δη χρειω τοσον ἱκει; quidnam revera necessitas tantùm venit? Mallem forsitan επι legere, ut sit, επι τοσον, eousque; Γ. 12.

146. ὁν τε ϝεϝοικε. quemque decet: Vulgò, ὁν τ' επεοικε· Α. 126.

160. επι θρωσμῳ πεδιοιο. in aggere planitiei: id est, sub Ili monumento, Κ. 415. Magna pars planitiei paludosa est.

173. επι ξυρου ἱσταται ακμης. super novaculæ libratur acie: id est, in maximo periculo versatur.

183. δυσουρησονται. malas excubias agent: ab ουρος, custos; Hesychius,

Ερχηται δι' ορεσφι· πολυς δ' ορυμαγδος επ' αυτῳ
Ανδρων ηδε κυνων, απο τε σφισιν ὑπνος ολωλεν·
Ὡς των ϝηδυμος ὑπνος απο βλεφαροιϊν ολωλει,
Νυκτα φυλασσομενοισι κακην· πεδιονδε γαρ αιει
Τετραφαθ', ὁπποτ' επι Τρωων αϊοιεν ιοντων.
Τους δ' ὁ γερων γηθησε ϝιδων, θαρσυνε τε μυθῳ,
Και σφεας φωνησας, ϝεπεα πτεροεντα προσηυδα·
 Οὑτω νυν, φιλα τεκνα, φυλασσετε· μηδε τιν' ὑπνος
Αἱρειτω, μη χαρμα γενωμεθα δυσμενεεσσιν.
 Ὡς ϝειπων, ταφροιο διεϝσυτο· τοι δ' ἁμ' ἑποντο
Αργειων βασιληες, ὁσοι κεκληατο βουλην.
Τοις δ' ἁμα Μηριονης, και Νεστορος αγλαος υἱος,
Ηἱσαν· αυτοι γαρ καλεον συμμητιαασθαι.
Ταφρον δ' εκδιαβαντες οϝρυκτην, ἑδριοωντο
Εν καθαρῳ, ὁθι δη νεκυων διεφαινετο χωρος
Πιπτοντων· ὁθεν αυτις απετραπετ' οβριμος Ἑκτωρ,
Ολλυς Αργειους, ὁτε δη περι νυξ εκαλυψεν.
Ενθα καθεζομενοι, ϝεπε' αλληλοισι πιφαυσκον·
Τοισι δε μυθων ηρχε Γερηνιος ἱπποτα Νεστωρ·
 Ω φιλοι, ου κεν δη τις ανηρ πειθοιτο ϝῳ αυτου
Θυμῳ τολμηεντι, μετα Τρωας ϝμεγαθυμους
Ελθειν; ει τινα που δαϊων ϝελοι εσχατοωντα,
Η τινα που και φημιν ενι Τρωεσσι πυθοιτο,
Ἁ ϝρα τε μητιωσι μετα σφισιν· η μεμαασιν
Αυθι μενειν παρα νηυσιν αποπροθεν, ηε πολινδε

Δυσευρον, δυσφυλακτον, habet; sic, ουδενοσουρα, Θ. 178. Vulgò, δυσωρησονται· sed scripturam prætuli, quæ thema indicat.

189. ὁπποτ' επι Τρωων αϊοιεν ιοντων. ut aliquando Trojanos audirent invadentes; id est, επιοντων. Sensus inusitatus vocis ὁπποτε· forsitan, ειποτι, vel ὀϝρα κε, legendum. Ita tamen, Σ. 524.

197. Ηἱσαν. ibant: Potest esse, vel imperfectum ab ειμι, vel aoristus primus ab εἱω. Hesychius formas, ηἱμεν, et ηἱσε, habet. Ηἱα in Odysseâ sensum semper præteritum habet; perfectum medium igitur esse nequit, et videtur pro ηἱσα poni. Vide Κ. 286.

202. πιφαυσκον. ostenderunt: Πιφαυσκω primam corripit; vide Κ. 478.

204. πειθοιτο ϝῳ αυτου. obtemperaret suo ipsius: Vulgò, πεπιθοιθ' ἑῳ αυτου· sed επιθομην non alibi in voce mediâ reduplicationem accipit.

Αψ αναχωρησουσιν, επει δαμασαντο γ᾽ Αχαιους.
Ει τα κε παντα πυθοιτο, και αψ εις ἡμεας ελθοι
Ασκηθης, ϝμεγα κεν ϝοι ὑπουρανιον κλεος ειη
Παντας επ᾽ ανθρωπους, και ϝοι δοσις εσσεται εσθλη.
Ὁσσοι γαρ νηεσσιν επικρατεουσιν αριστοι,
Των παντων κε ϝεκαστος οϊν δωσουσι μελαιναν,
Θηλυν, ὑποϝρηνον· τῃ μεν κτερας ουδεν ὁμοιον·
Αιει δ᾽ εν δαιτῃσι και ειλαπινῃσι παρεσται.
  Ὡς εφαθ᾽· οἱ δ᾽ αρα παντες ακην εγενοντο σιωπῃ·
Τοισι δε και μετεϝειπε βοην αγαθος Διομηδης·
  Νεστορ, εμ᾽ οτρυνει κραδιη και θυμος αγηνωρ
Ανδρων δυσμενεων δυναι στρατον, εγγυς εοντα,
Τρωων· αλλ᾽ ει τις μοι ανηρ ἁμ᾽ ἑποιτο και αλλος,
Μαλλον θαλπωρη, και θαρσαλεωτερον εσται.
Συν τε δυ᾽ ερχομενω, και τε προ ὁ του ενοησεν,
Ὁππως κερδος εῃ· μουνος δ᾽ ει περ τε νοησῃ,
Αλλα τε ϝοι βρασσων τε νοος, λεπτη δε τε μητις.
  Ὡς εφαθ᾽· οἱ δ᾽ εθελον Διομηδεϊ πολλοι ἑπεσθαι·
Ηθελετην Αιαντε δυω, θεραποντες Αϝρηος,
Ηθελε Μηριονης, μαλα δ᾽ ηθελε Νεστορος υἱος·
Ηθελε δ᾽ Ατρεϊδης, δουρικλειτος Μενελαος·
Ηθελε δ᾽ ὁ τλημων Οδυσευς καταδυναι ὁμιλον
Τρωων· αιει γαρ ϝοι ενι φρεσι θυμος ετολμα.
Τοισι δε και μετεϝειπε ϝαναξ ανδρων Αγαμεμνων·
  Τυδεϊδη Διομηδες, εμῳ κεχαρισμενε θυμῳ,

---

211. Ει τα κε παντα πυθοιτο. Si hæc tum omnia audiret: Vulgò, Ταυτα κε· sed sententia Ει postulat.

213. Παντας. Knightius quinque versus damnat.

215. Των παντων κε ϝεκαστος. Horum omnium tum unusquisque: Vulgò, Των παντων οἱ ἑκαστος· sed particula κε sensu æquè ac metro postulatur.

220. Νεστορ. Pulcherrima hæc de Ulysse seligendo.

224. Συν τε δυ᾽ ερχομενω. Insimul duo euntes, et etiam hic ante illum sensit: Pronomen ὁ ad utrumvis spectat, unde participium rectè in duali ponitur; subtilis admodum in his rebus est Homerus. Forsitan, προς ὁ του, legendum; vide Α. 3, Δ. 156.

Τον μεν δη ἑταϝρον γ' αἱρησεαι, ὁν κ' εθελησθα,
Φαινομενων τον αριστον, επει μεμαασι γε πολλοι·
Μηδε συγ' αιδομενος σῃσι φρεσι, τον μεν αρειω
Καλλειπειν, συ δε χειρον' οπασσεαι, αιδοϊ ϝεικων,
Ες γενεην ὁροων, μηδ' ει βασιλευτερος εστιν.
῾Ως εφατ'· εδδεισεν δε περι ξανθῳ Μενελαῳ.
Τοις δ' αυτις μετεϝειπε βοην αγαθος Διομηδης·
Ει μεν δη ἑταϝρον γε κελευετε μ' αυτον εϝλεσθαι,
Πως κεν επειτ' Οδυσηος εγω θειοιο λαθοιμην;
Οὑ περι μεν προφρων κραδιη και θυμος αγηνωρ
Εν παντεσσι πονοισι, φιλεῖ δε ϝε Παλλας Αθηνη·
Τουτου δ' ἑσπομενοιο, και εκ πυρος αιθομενοιο
Αμφω νοστησαιμεν, επει περι ϝοιδε νοησαι.
Τον δ' αυτε προσεϝειπε πολυτλας διος Οδυσσευς·
Τυδεΐδη, μητ' αρ με μαλ' αινεε, μητε τι νεικει·
Ϝειδοσι γαρ τοι ταυτα μετ' Αργειοις αγορευεις.
Αλλ' ιομεν· μαλα γαρ νυξ ανεται, εγγυθι δ' Ηως·
Αστρα δε δη προβεβηκε· παρῳχηκεν δε πλεων νυξ
Των δυο ϝμοιραων, τριτατη δ' ετι ϝμοιρα λελειπται.
῾Ως ϝειπονθ', ὁπλοισιν ενι δεινοισιν εδυτην·
Τυδεΐδῃ μεν δωκε μενεπτολεμος Θρασυμηδης
Φασγανον αμφηκες, το δ' εϝον παρα νηυσι λελειπτο,
Και σακος· αμφι δε ϝοι κυνεην κεφαληθιν εθηκε
Ταυρειην, αφαλον τε, και αϝλοφον· ἡ τε καταιτυξ
Κεκληται· ϝρυεται δε καρη θαλερων αιζηων.

---

240. ῾Ως εφατ'. Knightius versum damnat, et 252, 253.

242. Ει μεν δη ἑταϝρον γε. Si quidem revera comitem quidem: Nescio an alii quivis sex versus in totâ Iliade magis mihi placeant; sono quidem dulcissimi sunt.

252. παρῳχηκεν δε πλεων νυξ. præteriit verò plurima nox duabus partibus: id est, major pars noctis, etiam duæ partes ex tribus. Alii πλεω, alii πλεον, emendant, sed nihil opus. Heynius sex paginas in locum impendit, et Knightius pro solito damnat. Ita Virgilius.

Nunc adeo, *melior* quoniam *pars acta* diei. Æn. ix. 156.

257. αμφι κεφαληθιν. circum caput: vulgò, κεφαληφιν· sed αμφι rarò genitivum regit.

Μηριονης δ' Οδυσηϊ διδου βιον, ηδε φαρετρην,
Και ξιφος· αμφι δε ϝοι κυνεην κεφαληθιν εθηκε,
Ϝρινου ποιητην· πολεσιν δ' εντοσθεν ιϝμασιν
Εντετατο στερεως· εκτοσθε δε λευκοι οδοντες
Αργιοδοντος ὑος θαμεες εχον ενθα και ενθα,
Ευ και επισταμενως· μεσσῃ δ' ενι πιλος αρηρει·
Την ϝρα ποτ' εξ Ελεωνος Αμυντορος Ορμενιδαο
Εκϝελετ' Αυτολυκος, πυκινον δομον αντιτορησας·
Σκανδειαν δ' αρα δωκε Κυθηριῳ Αμφιδαμαντι·
Αμφιδαμας δε Μολῳ δωκε ξεινηϊον ειναι·
Αυταρ ὁ Μηριονῃ δωκεν ϝῳ παιδι φορηναι·
Δη τοτ' Οδυσσηος πυκασεν καρη αμφιτεθεισα.
Τω δ', επει ουν ὁπλοισιν ενι δεινοισιν εδυτην,
Βαν ϝρ' ιεναι, λιπετην δε κατ' αυτοθι παντας αριστους.
Τοισι δε δεξιον ἡκεν ερωδιον εγγυς ὁδοιο
Παλλας Αθηναιη· τοι δ' ου ϝιδον οφθαλμοισι
Νυκτα δι' ορφναιην, αλλα κλαγξαντος ακουσαν.
Χαιρε δε τ' ορνιθιν Οδυσευς, ηρᾶτο δ' Αθηνῃ·
  Κλυθι μευ, αιγιοχοιο Διος τεκος, ἡ τε μοι αιει
Εν παντεσσι πονοισι παριστασαι, ουδε σε ληθω
Κινυμενος· νυν αυτε μαλιστα φιληθι μ', Αθηνη·
Δος δε παλιν επι νηας εϋκλεεας αφικεσθαι,
Ϝρεξαντας ϝμεγα ϝεργον, ὁ κεν Τρωεσσι μελησει.
  Δευτερος αυτ' ηρᾶτο βοην αγαθος Διομηδης·
Κεκλυθι νυν και εμειο, Διος τεκος, Ατρυτωνη·

---

258. αϝλοφον. sine cristâ: Hinc, aut ϝλοφος digamma accipere constat, aut primam eâdem ratione ac in ἱερος, ακαματος, et similibus, produci censendum.

268. Σκανδειαν δ' αρα δωκε. Ad Scandeam verò dedit: Scandea insulæ Cytheri urbs erat.

271. αμφιτεθεισα. circumposita: pro θεθεισα ob euphoniam a τιθημι.

277. Χαιρε δε τ' ορνιθιν Οδυσευς. Lætatus verò etiam est ave Ulysses: Vulgò, Χαιρε δε τῳ ορνιθ' Οδυσευς· sed dativus in ι elidi nequit; Δ. 259, Α. 578. Potes etiam, Χαιρε δε τ' οιωνῳ, legere.

280. φιληθι μ' Αθηνη. ama me, Minervæ: a φιλημι· vide Ε. 61, 117; vulgò, με φιλε'.

281. εϋκλεεας. gloriosos: Vulgò, εϋκλειας· vide Α. 337.

Σπειο μοι, ὡς ὁτε πατριν αμ' ἑσπεο Τυδεϊ διῳ
Ες Θηβας, ὁτε κε προς Αχαιων αγγελος ῃε·
Τους δ' αρ επ' Ασωπῳ λιπε χαλκοχιτωνας Αχαιους·
Αυταρ ὁ μειλιχιον μυθον φερε Καδμειοισι
Κεισ'· αϝαρ αψ απιων μαλα μερμερα μησατο ϝεργα,
Συν σοι, δῖα Θεα, ὁτε ϝοι προφρασσα παρεστης·
Ὡς νυν μοι εθελουσα παριστασο, και με φυλασσε.
Σοι δ' αυ εγω ϝρεξω βουν ηνιν, ευρυμετωπον,
Αδμητην, ἡν ουπω ὑπο ζυγον ηγαγεν ανηρ·
Την τοι εγω ϝρεξω, χρυσον κερασιν περιχευας.
Ὡς εφαν ευχομενοι· των δ' εκλυε Παλλας Αθηνη.
Οἱ δ' ἐπει ηρησαντο Διος κουρῃ ϝμεγαλοιο,
Βαν ϝρ' ιμεν, ὡς τε λεοντε δυω, δια νυκτα μελαιναν,
Αμφονον, αννεκυας, δια τ' εντεα, και μελαν αἱμα.
Ουδε μεν ουδε Τρωας αγηνορας ειϝασεν Ἑκτωρ
Εὑδειν, αλλ' αμυδις κικλησκετο παντας αριστους,
Ὁσσοι εσαν Τρωων ἡγητορες, ηδε μεδοντες·
Τους ὁγε συγκαλεσας, πυκινην ηρτυνετο βουλην·
Τις κεν μοι τοδε ϝεργον ὑποσχομενος τελεσειε
Δωρῳ επι ϝμεγαλῳ; μισθος δε ϝοι αρκιος εσται·
Δωσω γαρ διφρον τε, δυω τ' εριαυχενας ἱππους,
Οἱ κεν αριστευωσι θοῃς επι νηυσιν Αχαιων·
Ὁς τις κεν τλαιη, ϝοι τ' αυτῳ κυδος αροιτο,
Νηων ωκυπορων σχεδον ελθεμεν, εκ τε πυθεσθαι,

---

285. Σπειο. Sequere: pro Σπεεο a σπεομαι. Ita, αιδειο, Ω. 503. Knightius, ἑσπε et ἑσπες, legendum censet.

286. ὁτε κε προς Αχαιων αγγελος ῃε. quando tum ab Achivis nuntius ibat: Vulgò, ὁτε τε προ Αχαιων αγγελος ῃει· vide Β. 471, Δ. 156. Verbum tamen est εἴω, et ειω, unde ειμι· in imperfecto, ηϊον, et ῃον, format, et in aoristo secundo, ιον· hinc formæ omnes regulariter deducuntur. Forma, ῃε, postulatur, Μ. 371. Forsitan ειε meliùs scriberetur, sed usus aliter voluit. Vide Κ. 197.

299. ειϝασεν Ἑκτωρ. sivit Hector: ab εϝαω, Α. 276. Nihil obstat, quin penultimam corripiat, ut αϝασα ab αϝαω, quanquam non alibi in Iliade; in Odysseâ legitur, φ. 223, Ουκ εϝασουσιν εμοι δομεναι βιον. Malè Clarkius, ειασ' Ἑκτωρ, edidit; melius esset, εὑδεμεν Ἑκτωρ Ειϝασ'.

Ηε φυλασσονται νηες θοαι, ὡς το παρος περ,
Η ηδη, χειρεσσιν ὑφ᾽ ἡμετερῃσι δαμεντες,
Φυξιν βουλευουσι μετα σφισιν, ουδ᾽ εθελουσι
Νυκτα φυλασσεμεναι, καματῳ ϝεϝαδηκοτες αινῳ.
Ὡς εφαθ᾽· οἱ δ᾽ αρα παντες ακην εγενοντο σιωπῃ.
Ην δε τις εν Τρωεσσι Δολων, Ευμηδεος υἱος,
Κηρυκος θειοιο, πολυχρυσος, πολυχαλκος,
Ὁς δη τοι ϝειδος μεν εεν κακος, αλλα ποδωκης·
Αυταρ ὁ μουνος εεν μετα πεντε κασιγνητῃσιν·
Ὁς ϝρα τοτε Τρωσιν τε και Ἑκτορι ϝειπε παραστας·
Ἑκτορ, εμ᾽ οτρυνει κραδιη και θυμος αγηνωρ
Νηων ωκυπορων σχεδον ελθεμεν, εκ τε πυθεσθαι.
Αλλ᾽ αγε, μοι το σκηπτρον ανασχεο, και μοι ομοσσον·
Η μεν τους ἱππους τε, και ἁρματα ποικιλα χαλκῳ,
Δωσεμεν, οἱ φορεουσιν αμυμονα Πηλεΐωνα·
Σοι δ᾽ εγω ουχ ἁλιος σκοπος εσσομαι, ουδ᾽ απο δοξης·
Τοϝρα γαρ ες στρατον ειμι διαμπερες, ὀϝρα χ᾽ ἱκωμαι
Νη᾽ Αγαμεμνονεην, ὀθι που μελλουσιν αριστοι
Βουλας βουλευειν, η φευγεμεν, ηε μαχεσθαι.
Ὡς φαθ᾽· ὁ δ᾽ εν χερσι σκηπτρον βαλε, και ϝοι ομοσσε·
Ϝιστω νυν Ζευς αυτος, εριγδουπος ποσις Ἡρης,
Μη μεν τοις ἱπποισιν ανηρ εποχησεται αλλος
Τρωων· αλλα σε φημι διαμπερες αγλαϊεισθαι.
Ὡς φατο, και ϝρ᾽ επει ὁρκον επωμοσε, τον δ᾽ οροθυνεν.

---

322. Η μεν τους ἱππους τε.

Vidisti quo Turnus equo, quibus ibat in armis,
Aureus! ipsum illum clypeum cristasque rubentes
Excipiam sorti, jam nunc tua præmia, Nise. Æn. ix. 269.

Qui quondam, castra ut Danaûm speculator adiret,
Ausus Pelidæ pretium sibi poscere currus. Æn. xii. 349.

325. Τοϝρα γαρ ες στρατον ειμι. Eousque enim ad exercitum ibo: Nihil non pollicetur Dolon; Diomedes contrà comitem sibi poscit, ut fidentior eat. Plutarch.

332. και ϝρ᾽ επει ὁρκον επωμοσε. et postquam juramentum adjuraverat: MSS. hanc lectionem præbent, et vide Ξ. 280. Vulgò, και ῥ᾽ επιορκον απωμοσε, quod sensum non habet, et in metrum peccat; vide Γ. 279.

Αυτικα δ' αμφ' ωμοισιν εβαλλετο καμπυλα τοξα·
Ϝεσσατο δ' εκτοσθεν ϝρινον πολιοιο λυκοιο,
Κρατι δ' επ' ικτιδεην κυνεην· ϝελε δ' οξυν ακοντα·
Βη δ' ιεναι προτι νηας απο στρατου· ουδ' αρ εμελλεν
Ελθων εκ νηων αψ Ἑκτορι μυθον αποισειν.
Αλλ' ὁτε δη ϝρ' ἱππων τε και ανδρων καλλιφ' ὁμιλον,
Βη ϝρ' αν' ὁδον μεμαως· τον δε φρασατο προσιοντα
Διογενης Οδυσευς, Διομηδεα δε προσεϝειπεν·
Οὑτος τοι, Διομηδες, απο στρατου ερχεται ανηρ,
Ου ϝοιδ', η νηεσσιν επισκοπος ἡμετερῃσιν,
Η τινα συλησων νεκυων κατατεθνειωτων.
Αλλα ϝ' εϝῶμεν πρωτα παρεξελθειν πεδιοιο
Τυτθον· επειτα δε κ' αυτον επαΐξαντε ϝελοιμεν
Καρπαλιμως· ει δ' αμμε παραφθειῃσι ποδεσσιν,
Αιει μιν ποτι νηας απο στρατοφιν προτιϝειλεῖν
Εγχει επαΐσσων, μη πως προτι ϝαστυ αλυξῃ.
Ὡς αρα φωνησαντε, παρεξ ὁδου εν νεκυεσσι
Κλινθητην· ὁ δ' αρ ωκα παρεδραμεν αφραδιῃσιν.
Αλλ' ὁτε δη ϝρ' απεεν, ὁσσον τ' επι γιγνεται ουρα
Ἡμιονων, αἱ γαρ τε βοων προφερεστεραι εισιν
Ἑλκεμεναι νειοιο βαθειης πηκτον αροτρον,
Τω μεν επεδραμετην· ὁ δ' αρ εστη δουπον ακουσας.
Ϝελπετο γαρ κατα θυμον αποστρεψοντας ἑταϝρους
Εκ Τρωων ιεναι, παλιν Ἑκτορος οτρυναντος·
Αλλ' ὁτε δη ϝρ' απεσαν δουρηνεκες, η και ελασσον,
Γνω ϝρ' ανδρας δαΐους· λαιψηρα δε γουνατ' ενωμα

---

335. Κρατι δ' επ' ικτιδεην κυνεην. In caput verò electræ corio factam galeam: Alii, επι κτιδεην.

344. Αλλα ϝ' εϝῶμεν πρωτα. Sed eum permittamus primò. Vulgò, Αλλ' εῶμεν μιν πρωτα· sed εϝαωμεν ita contrahi nequit. Vide Ε. 256, Α. 276.

346. παραφθειῃσι. prævertat: Subjunctivus antiquus, Α. 26. Vulgò, παραφθαιῃσι· sed Hesychius φθειη habet, et vide Ε. 598.

348. Εγχει. Knightius versum damnat, nec male abesset.

352. ὁσσον τ' επι γιγνεται ουρα. quaque tenus sunt termini: ita, ὁσσον τ' επι δουρος εϝρωη Γιγνεται, Ο. 358, Φ. 251. Vulgò, ὁσσον τ' επιουρα πελονται· malè tamen επι cum ουρα jungitur; vox enim est ουρον, Μ. 421, Φ. 405, Ψ. 431, 523, et επι non elidi nequit. Vide Ψ. 431, Γ. 12.

Φευγεμεναι· τοι δ' αιψα διωκειν ὡρμηθησαν.
῾Ως δ' ὁτε καρχαροδοντε δυω κυνε ϝειδοτε θηρης,
Η κεμαδ', ηε λαγωον, επειγετον εμμενες αιει
Χωρον αν' ὑληενθ', ὁ δε τε προθεησι μεμηκως·
῾Ως τον Τυδεϊδης, ηδε πτολιπορθος Οδυσσευς,
Λαου αποτμηξαντε, διωκετον εμμενες αιει·
Αλλ' ὁτε δη ταχ' εμελλε μιγησεσθαι φυλακεσσιν,
Φευγων ες νηας, τοτε δη μενος εμβαλ' Αθηνη
Τυδεϊδῃ· ἱνα μη τις Αχαιων χαλκοχιτωνων
Φθαιη επευξαμενος βαλεειν, ὁ δε δευτερος ελθοι·
Δουρι δ' επαϊσσων προσεφη κρατερος Διομηδης·
  Ηε μεν', ηε σε δουρι κιχησομαι· ουδε σε φημι
Δηρον εμης απο χειρος αλυξειν αιπυν ολεθρον.
  Η ϝρα, και εγχος αφηκε, ϝεκων δ' ἡμαρτανε φωτος.
Δεξιτερον δ' ὑπερ ωμον εΰξοου εγχεος αιχμη
Εν γαιῃ επαγη· ὁ δ' αρ εστη, ταρβησεν τε,
Βαμβαινων, αραβος δε δια στομα γινετ' οδοντων,
Χλωρος ὑπο δεεος· τω δ' ασθμαινοντε κιχητην·
Χειρων δ' ἁψασθην· ὁ δε δακρυσας ϝεπος ηυδα·
  Ζωγρειτ', αυταρ εγων εμε λυσομαι· εστι γαρ ενδον
Χαλκος τε, χρυσος τε, πολυκμητος τε σιδηρος·
Των κ' υμμιν χαρισαιτο πατηρ απερεισι' αποινα,
Ει κεν εμε ζωον πεπυθοιτ' επι νηυσιν Αχαιων.
  Τον δ' απαμειβομενος προσεφη πολυμητις Οδυσσευς·
Θαρσει, μηδε τι τοι θανατος καταθυμιος εστω·
Αλλ' αγε, μοι τοδε ϝειπε, και ατρεκεως καταλεξον·

---

368. ελθοι. veniret: ita quatuor MSS. alii ελθῃ. Φθαιη tamen optativus est.

373. εΰξοου εγχεος αιχμη. bene politæ hastæ cuspis: Vulgò, εΰξοου δουρος ακωκη, contra metrum: synonyma igitur usitata substitui.

375. Βαμβαινων. Tremebundus. Bentleius et Knightius versum damnant.

376. Χλωρος ὑπο δεεος. Pallidus præ timore: Vulgò, ὑπαι δειους. Forsitan δρεεος legendum; vide Α. 33.

378. Ζωγρειτε. Vivum capite: vide Ζ. 46. Knightius δσαϝγρεεσθ' edidit.

Πη δ' οὑτως επι νηας απο στρατου ερχεαι οιος,
Νυκτα δι' ορφναιην, ὁτε χ' εὑδουσι βροτοι αλλοι;
Η τινα συλησων νεκυων κατατεθνειωτων;
Η σ' Ἑκτωρ προεηκε διασκοπιᾶσθαι ἁπαντα
Νηας επι γλαφυρας; η σ' αυτον θυμος ανηκε;
Τον δ' ημειβετ' επειτα Δολων, ὑπο δ' ετρεμε γυια·
Πολλῃσιν μ' αϝατῃσι παρεκ νοον ηγαγεν Ἑκτωρ,
Ὁς μοι Πηλεΐωνος αγαυου μωνυχας ἱππους
Δωσεμεναι κατενευσε, και ἁρματα ποικιλα χαλκῳ·
Ηνωγει δε μ' ιοντα, θοην δια νυκτα μελαιναν,
Ανδρων δυσμενεων σχεδον ελθεμεν, εκ τε πυθεσθαι,
Ηε φυλασσονται νηες θοαι, ὡς το παρος περ,
Η ηδη χειρεσσιν ὑφ' ἡμετερῃσι δαμεντες,
Φυξιν βουλευουσι μετα σφισιν, ουδ' εθελουσι
Νυκτα φυλασσεμεναι, καματῳ ϝεϝαδηκοτες αινῳ.
Τον δ' επιϝμειδησας προσεφη πολυμητις Οδυσσευς·
Η ϝρα νυ τοι ϝμεγαλων δωρων επεμαιετο θυμος,
Ἱππων Αιακιδαο δαϊφρονος· οἱ δ' αλεγεινοι
Ανδρασι γε θνητοισι δαμημεναι, ηδ' οχεεσθαι,
Αλλῳ γ', η Αχιλῆϊ, τον αθανατη τεκε μητηρ.
Αλλ' αγε, μοι τοδε ϝειπε, και ατρεκεως καταλεξον,
Που νυν δευρο κιων λιπες Ἑκτορα, ποιμενα λαων;
Που δε ϝοι εντεα κειται Αϝρηϊα; που δε ϝοι ἱπποι;
Που δ' αἱ των αλλων Τρωων φυλακαι τε και ευναι;
Ἁ ϝρα τε μητιοωσι μετα σφισιν· η μεμαασιν
Αυθι μενειν παρα νηυσιν αποπροθεν, ηε πολινδε

---

388. διασκοπιᾶσθαι ἁπαντα. speculari omnia: Vulgò, ἑκαστα· Ε. 470.

398. Φυξιν βουλευουσι. De fugâ consulunt. Verba ipsa Hectoris refert; Κ. 311. Alii malè, βουλευοιτε, et εθελοιτε, sed tum μεθ' ὑμιν dixisset, et grammatica βουλευετε postularet. Sic etiam Κ. 409.

409. Ἁ ϝρα. Quæ sanè: Vulgò, Ἀσσα. Knightius tres versus omittit, ut et 387.

415. παρα σηματι Ϝιλου. Hoc monumentum in loco planitiei editiore fuisse videtur, ubi hodie tumulus manet.

420. πολυκλεῖτοι. celebres: Alii, πολυκλητοι· vide Ε. 491.

424. διϊκε μοι. pertransi mihi: id est, plenè explica; ita Ι. 61, Τ. 186. Vulgò, διειπε μοι, quod in digamma peccat. Διεϝειπον non alibi occurrit, nisi Od. δ. 215. Malè Heynius digamma in compositis excidere censet.

Αψ αναχωρησουσιν, επει δαμασαντο γ' Αχαιους.
Τον δ' αυτε προσεϝειπε Δολων, Ευμηδεος υἱος·
Τοι γαρ εγω τοι ταυτα μαλ' ατρεκεως καταλεξω·
Ἑκτωρ μεν μετα τοισιν, ὁσοι βουληφοροι εισι,
Βουλας βουλευει θειου παρα σηματι Ϝιλου,
Νοσφιν απο φλοισβου· φυλακας δ' ἁς εϝρεαι, ἡρως,
Ουτις κεκριμενη ϝρυεται στρατον, ουδε φυλασσει.
Ὁσσαι γαρ Τρωων πυρος εσχαραι, οἱσιν αναγκη,
Οἱ δ' εγρηγορθασι, φυλασσεμεναι τε κελονται
Αλληλοις· αϝαρ αυτε πολυκλεϊτοι επικουροι
Εὑδουσι· Τρωσιν γαρ επιτραπεουσι φυλασσειν·
Ου γαρ σφιν παιδες σχεδον εἱαται, ουδε γυναικες.
Τον δ' απαμειβομενος προσεφη πολυμητις Οδυσσευς·
Πως γ' αρ νυν, Τρωεσσι μεμιγμενοι ἱπποδαμοισιν
Εὑδουσ', η απανευθε; διϊκε μοι, ὁϝρα δαειω.
Τον δ' ημειβετ' επειτα Δολων, Ευμηδεος υἱος·
Τοι γαρ εγω και ταυτα μαλ' ατρεκεως καταλεξω·
Προς μεν ἁλος Καρες, και Παιονες αγκυλοτοξοι,
Και Λελεγες, και Καυκωνες, διοι τε Πελασγοι·
Προς Θυμβρης δ' ελαχον Λυκιοι, Μυσοι τ' αγερωχοι,
Και Φρυγες ἱπποδαμοι, και Μηονες ἱπποκορυσται.
Αλλα τιη εμε ταυτα διεξεϝρεσθε ϝεκαστα;
Ει γαρ δη μεματον Τρωων καταδυναι ὁμιλον,
Θρηϊκες οἱδ' απανευθε νεηλυδες, εσχατοι αλλων·
Εν δε σφιν Ϝρησος βασιλευς, παϊς Ηϊονηος.
Του δη καλλιστους ἱππους ϝιδον, ηδε ϝμεγιστους·

---

428. Προς μεν ἁλος Καρες. Juxta quidem mare Cares: id est, juxta Hellespontum, ab eâ parte, quâ Ajacis tentoria erant.

430. Προς Θυμβρης Λυκιοι. Versus Thymbram Lycii: Vicus hic hodie nomen Thymbreck obtinet.

434. Θρηϊκες. Thraces hice seorsum, novi advenæ, extremi aliorum: id est, sociorum. Videntur sub Callicolonen inter Mæonas et Trojanos tetendisse. Trojani enim prope Scamandrum erant. Dolon locum digito indicat.

435. Εν δε σφιν Ϝρησος. Analogia digamma postulat.

Nec procul hinc Rhesi niveis tentoria velis
Agnoscit lacrymans; primo quæ prodita somno

Λευκοτεροι χιονος, θεεμεν δ' ανεμοισιν ὁμοιοι.
Ἁρμα δε ϝοι χρυσῳ τε και αργυρῳ ευ ησκηται·
Τευχεα δε χρυσεια, πελωρια, θαυμα ϝιδεσθαι,
Ηλυθ' εχων· τα μεν ουτι καταθνητοισι ϝεϝοικεν
Ανδρεσσιν φορεειν, αλλ' αθανατοισι Θεοισιν.
Αλλ' εμε νυν μεν νηυσι πελασσετον ωκυποροισιν,
Η εμε δησαντες λιπετ' αυτοθι νηλεϊ δεσμῳ,
Ὀϝρα κεν ελθητον, και πειρησησθον εμειο,
Ηε κατ' αισαν εϝειπον εν ὑμιν, ηε και ουκι.
Τον δ' αρ ὑποδρα ϝιδων προσεφη κρατερος Διομηδης·
Μη δη μοι φυξιν γε, Δολων, εμβαλλεο θυμῳ,
Εσθλα περ αγγειλας, επει ἱκεο χειρας εμειο·
Ει μεν γαρ κε σε νυν απολυσω, και κε μεθησω,
Η τε και ὑστερον εισθα θοας επι νηας Αχαιων,
Ηε διοπτευσων, η εναντιβιον πολεμιζων·
Ει δε κ' εμῃς ὑπο χερσι δαμεις απο θυμον ολεσσῃς,
Ου κεν επειτα συ πημα ποτ' εσσεαι Αργειοισιν.
Η, και ὁ μεν μιν εμελλε γενειου χειρι παχειῃ
Ἁψαμενος ϝλισσεσθαι· ὁ δ' αυχενα μεσσον ελασσε,
Φασγανῳ αϊξας, απο δ' αμφω κερσε τενοντε·
Φθεγγομενου δ' αρα τουγε καρη κονιῃσιν εμιχθη.
Του δ' απο μεν κτιδεην κυνεην κεφαληφι ϝελοντο,
Και λυκεην, και τοξα παλιντονα, και δορυ μακρον·

Tydides multâ vastavit cæde cruentus;
Ardentesque avertit equos in castra, priusquam
Pabula gustâssent Trojæ, Xanthumque bibissent. Æn. i. 469.

437. Λευκοτεροι χιονος. Candidiores nive: εισι, sunt, subauditur; facilè, Λευκοτερους, scripsisse potuit, sed casûs mutatio sententiam levat. Vide κ. 547, β. 353. Vulgò, θειειν· sed θεϝω primam producere nequit, ζ. 507.

444. πειρησησθον. experti sitis: Ita, σευ πειρησεσθαι οΐω, Od. τ. 253, et, πειρησαιτ' Αχιλλος, φ. 580, et passim. Vulgò, πειρηθητον, sed forma passiva loco non convenit, ε. 220, et forsitan, πειρηθειετον, esset, λ. 386, α. 26.

448. χειρας εμειο. manus meas: ita Eustathius. Alii, χειρας ες αμας. Sic, εμῃς ὑπο χερσι, κ. 452.

449. απολυσω, και κε μεθησω. pretio solvam, et tum dimittam: MSS. απολυσομεν, ηε μεθωμεν, et, απολυσομαι, ηε μεθωμαι. Numerus singularis præstat, ut, Ει δε κ' εμῃς ὑπο χερσι, κ. 452, et vox activa postulatur; forma subjunctivi μεθειομεν esset; α. 26, β. 299, γ. 414. ηε, vel, minimè loco

Και ταγ' Αθηναιῃ ληϊτιδι διος Οδυσσευς
῾Υψοσ' ανεσχεθε χειρι, και ευχομενος ϝεπος ηυδα·
Χαιρε, Θεα, τοισδεσσι· σε γαρ πρωτην εν Ολυμπῳ
Παντων αθανατων επιδωσομεθ'· αλλα και αυτις
Πεμψον επι Θραϊκων ανδρων ἱππους τε και ευνας.
῾Ως αρ εφωνησεν, και απο ϝεθεν ὑψοσ' αειρας,
Θηκεν ανα μυρικην· δεελον δ' επι σημα τ' εθηκε,
Συμμαρψας δονακας, μυρικης τ' εριθηλεας οζους,
Μη λαθοι αυτις ιοντε θοην δια νυκτα μελαιναν.
Τω δε βατην προτερω, δια τ' εντεα και μελαν αἱμα·
Αιψα δ' επι Θραϊκων ανδρων τελος ἱξαν ιοντες·
Οἱ δ' εὑδον καματῳ ϝεϝαδηκοτες· εντεα δε σφιν
Καλα παρ' αυτοισι χθονι κεκλιτο, ευ κατα κοσμον
Τριστοιχει· παρα δε σφι ϝεκαστῳ διζυγες ἱπποι·
Ϝρησος δ' εν μεσῳ εὑδε, παρ' αυτῳ δ' ωκεες ἱπποι
Εξ επιδιφριαδος πυματης ιϝμασι δεδεντο.
Τον δ' Οδυσευς προπαροιθε ϝιδων Διομηδεϊ δειξεν·
Οὑτος τοι, Διομηδες, ανηρ, οὑτοι δε τοι ἱπποι,
Οὑς νωϊν επιφαυσκε Δολων, ὁν επεφνομεν ἡμεις.
Αλλ' αγε δη, προφερε κρατερον μενος· ουδε τι σε χρη
῾Εσταμεναι μελεον συν τευχεσιν· αλλα λυ' ἱππους·
Ηε συγ' ανδρας εναιρε, μελησουσιν δε μοι ἱπποι.
῾Ως φατο· τῳ δ' εμπνευσε μενος γλαυκωπις Αθηνη·

---

convenit; και κε occurrit, Γ. 41, et passim. E duobus lectionibus sanam elimare conatus sum.

450. εισθα. ibis: ab ειμι, eo.

463. επιδωσομεθα. donabimus, donis honorabimus: ita Aristarchus, Scholiastes, et MSS. nonnulli, et sic Χ. 254; et vide Od. α. 378, β. 143. Alii, επιβωσομεθα, invocabimus, sed tales contractiones non licere opinor; vide βωσαντι, Μ. 337.

466. ανα μυρικην ad tamariscum: Penultimam producit, Ζ. 39, Φ. 350. Forsitan igitur, ανα πτελεην, legendum.

475. ιϝμασι δεδεντο. loris ligabantur: vide Γ. 371.

478. επιφαυσκε. monstravit: Vulgò, πιφαυσκε· sed πιφαυσκω primam alibi corripit, præter Κ. 502, Σ. 500, et nullâ analogiâ producere potest.

480. αλλα λυ' ἱππους. sed solve equos: Verbum λυω in Iliade primam corripit, præter Ψ. 513, in Tragicis producit; in futuro semper producit, Α. 13.

Κτεινε δ' επιστροφαδην· των δε στονος ωρνυτ' αϝεικης
Αορι θεινομενων· ερυθαινετο δ' αἱματι γαια.
Ὡς δε λεων μηλοισιν ασημαντοισιν επελθων,
Αιγεσιν, η οἱεσσι, κακα φρονεων ενορουσῃ·
Ὡς μεν Θρηΐκας ανδρας επῳχετο Τυδεος υἱος,
Ὀϝρα δυωδεκ' επεφνεν· αϝαρ πολυμητις Οδυσσευς,
Ὁντινα Τυδεΐδης αορι πληξειε παραστας,
Τονδ' Οδυσευς μετοπισθε ϝλαβων ποδος εκϝερυσασκε,
Τα φρονεων κατα θυμον, ὁπως καλλιτριχες ἱπποι
Fρεια διελθοιεν, μηδε τρομεοιατο θυμῳ
Νεκροις αμβαινοντες· αηθεσσον γαρ ετ' αυτων·
Αλλ' ὁτε δη βασιληα κιχησατο Τυδεος υἱος,
Τον τρισκαιδεκατον μελιϝηδεα θυμον απεϝρα,
Ασθμαινοντα· κακον γαρ οναρ κεφαληθιν επεστη
Fοινεΐδεω την νυκτα παΐς, δια μητιν Αθηνης.
Τοϝρα δ' αρ ὁ τλημων Οδυσευς λυε μωνυχας ἱππους,
Συν δ' ηειρεν ιϝμασι, και εξηλαυνεν ὁμιλου,
Τοξῳ επιπλησσων· επει ου ϝμαστιγα φαεινην
Ποικιλου εκ διφροιο νοησατο χερσι ϝελεσθαι·
Fροιζησεν δε, πιφαυσκομενος Διομηδεΐ διῳ.
Αυταρ ὁ μερμηριζε μενων, ἁ τε κυντερα ϝερδοι·
Η ὁγε διφρον εϝλων, ὁθι ποικιλα τευχε' εκειτο,
Fρυμοφιν εκϝερυοι, η εκφεροι ὑψοσ' αειρας·
Η ετι των πλεονων Θραΐκων απο θυμον εϝλοιτο.
Εἱος ὁ ταυθ' ὡρμαινε κατα φρενα, τοϝρα δ' Αθηνη,
Εγγυθεν ἱσταμενη, προσεφη Διομηδεα διον·
Νοστου δη μνησαι, ϝμεγαθυμου Τυδεος υἱε,

497. Fοινεΐδεω την νυκτα παΐς. Tydei illâ nocte filius: Vulgò, Την κατ' Οινειδαο παΐς· sed Fοινευς digamma postulat, Β. 641. Potes etiam, Νυκτ' ανα, emendare. Knightius versum damnat, ut et 531.

502. Fροιζησεν δε, πιφαυσκομενος. Susurravit verò, monstrans: Fροιζος digamma postulat, Π. 361, Od. ι. 315. Vulgò, δ' αρα, πιφαυσκων· sed πιφαυσκομαι passim occurrit, ut Μ. 280, Ο. 97. Vide Κ. 478.

503. ἁ τε κυντερα ϝερδοι. quæ audaciora faceret: Vulgò, ὁτι κυντερον ερδοι· sed εϝερδον digamma postulat, Δ. 29.

Νηας επι γλαφυρας, μη και πεφοβημενος ελθῃς·
Μη που τις και Τρωας εγειρῃσιν Θεος αλλος.
  Ὡς φαθ'· ὁ δε ξυνεηκε Θεας ϝοπα φωνησασης·
Καρπαλιμως δ' ἱππων επεβησατο· κοπτε δ' Οδυσσευς
Τοξῳ· τοι δ' επετοντο θοας επι νηας Αχαιων.
  Ουδ' αλαοσκοπιην ειχ' αργυροτοξος Απολλων,
Ὡς ϝιδ' Αθηναιην μετα Τυδεος υἱον ἑπουσαν·
Τῃ κοτεων Τρωων κατεδυσατο πολλον ὁμιλον·
Ωρσεν δε Θραϊκων βουληφορον Ἱπποκοωντα,
Ϝρησου ανεψιον εσθλον· ὁ δ' εξ ὑπνου ανορουσας,
Ὡς ϝιδε χωρον ερημον, ὁθ' ἑστασαν ωκεες ἱπποι,
Ανδρας τ' ασπαιροντας εν αργαλεῃσι φονῃσιν,
Ωιμωξεν τ' αρ επειτα, φιλον τ' ονομηνεν ἑταϝρον.
Τρωων δε κλαγγη τε και ασπετος ωρτο κυδοιμος
Θυνοντων αμυδις· θηευντο δε μερμερα ϝεργα,
Ὁσσ' ανδρες ϝρεξαντες εβαν κοιλας επι νηας.
  Οἱ δ' ὁτε δη ϝρ' ἱκανον, ὁθι σκοπον Ἑκτορος εκταν,
Ενθ' Οδυσευς μεν ερϝυξε, Διϊ φιλος, ωκεας ἱππους·
Τυδεΐδης δε, χαμαζε θορων, εναρα βροτοεντα
Εν χειρεσσ' Οδυσηϊ τιθει· επεβησατο δ' ἱππων·
Ϝμαστιξεν δ' ἱππους, τω δ' ουκ αϝεκοντε πετεσθην,
Νηας επι γλαφυρας· τῃ γαρ φιλον επλετο θυμῳ.
Νεστωρ δε πρωτος κτυπον αϊε, φωνησεν τε·
  Ω φιλοι, Αργειων ἡγητορες ηδε μεδοντες,
Ψευσομαι, η ετυμον ϝερεω; κελεται δε με θυμος·
Ἱππων μ' ωκυποδων αμφι κτυπος ουατα βαλλει·
Αι γαρ δη Οδυσευς τε και ὁ κρατερος Διομηδης

---

509. Νοστου δη μνησαι. breviter cùm talia Nisus
(Sensit enim nimiâ cæde atque cupidine ferri)
Absistamus, ait, nam lux inimica propinquat. Æn. ix. 353.

517. πολλον ὁμιλον. ingentem exercitum: Vulgò, πουλυν· vide κ. 27.

521. εν αργαλεῃσι φονῃσιν. in fœdis stragibus: φονῃσιν iterum occurrit, ο. 633; nusquam in singulari occurrit, nec φονος in plurali. MS. unus, εν αργαλεοισι φονοισιν, habet; forsitan, ὑπ' αργαλεοιο φονοιο, legendum.

532. κτυπον αϊε. sonum audivit: Verbi prima aut anceps est, aut augmento producitur; ο. 252.

Ὡδ᾽ αφαρ εκ Τρωων ελασαιατο μωνυχας ἱππους.
Αλλ᾽ αινως δειδοικα κατα φρενα, μη τι παθωσιν
Αργειων οἱ αριστοι ὑπο Τρωων ορυμαγδου.
Ουπω παν εϝρητο ϝεπος, ὁτ᾽ αρ ηλυθον αυτοι·
Και ϝρ᾽ οἱ μεν κατεβησαν επι χθονα· τοι δε χαρεντες
Δεξιῃ ησπαζοντο, ϝεπεσσι τε μειλιχιοισι.
Πρωτος δ᾽ εκϝερεεινε Γερηνιος ἱπποτα Νεστωρ·
Ϝειπ᾽ αγε μ᾽, ω πολυαιν᾽ Οδυσευ, ϝμεγα κυδος Αχαιων,
Ὁππως τουσδ᾽ ἱππους ϝλαβετον· καταδυντες ὁμιλον
Τρωων; η τις σφωε πορεν Θεος αντιβολησας;
Αινως ακτινεσσι ϝεϝοικοτες Ηελιοιο.
Αιει μεν Τρωεσσ᾽ επιμισγομαι, ουδε τι φημι
Μιμναζειν παρα νηυσι, γερων περ εων πολεμιστης.
Αλλ᾽ ουπω τοιους ἱππους ϝιδον, ουδ᾽ ενοησα,
Αλλα τιν᾽ υμμι δομεν οΐω Θεον αντιασαντα·
Αμφοτερω γαρ σφωϊ φιλεῖ ϝνεφεληγερετα Ζευς,
Κουρη τ᾽ αιγιοχοιο Διος, γλαυκωπις Αθηνη.
Τον δ᾽ απαμειβομενος προσεφη πολυμητις Οδυσσευς·
Ω Νεστορ Νηληϊαδη, ϝμεγα κυδος Αχαιων,
Ϝρεια Θεος γ᾽ εθελων και αμεινονας, ηε περ οἱδε,
Ἱππους δωρησαιτ᾽, επει η πολυ φερτεροι εισιν·
Ἱπποι δ᾽ οἱδε, γεραιε, νεηλυδες, οὑς ϝερεεινεις,
Θρηΐκιοι· τον δε σφι ϝανακτ᾽ αγαθος Διομηδης
Εκτανε, παρ δ᾽ ἑταϝρους δυοκαιδεκα παντας αριστους·
Τον τρισκαιδεκατον σκοπον εϝλομεν εγγυθι νηων,
Τον ϝρα διοπτηρα στρατου εμμεναι ἡμετεροιο
Ἑκτωρ τε προεηκε και αλλοι Τρωες αγαυοι.
Ὡς ϝειπων, ταφροιο διηλασε μωνυχας ἱππους,
Καγχαλοων· ἁμα δ᾽ αλλοι ισαν χαιροντες Αχαιοι.
Οἱ δ᾽ ὁτε Τυδεΐδεω κλισιην ευτυκτον ἱκοντο,

551. Αλλα τιν᾽ υμμι δομεν οΐω Θεον. Sed aliquem vobis dedisse puto Deum: Vulgò, υμμ᾽ οΐω δομεναι· sed υμμι non alibi eliditur, nisi Ψ. 787; vide Γ. 300.

Ἱππους μεν κατεδησαν εϋτμητοισιν ιϝμασι
Φατνῃ εφ' ἱππειῃ, ὁθι περ Διομηδεος ἱπποι
Ἑστασαν ωκυποδες, μελιϝηδεα πυρον εδοντες·
Νηϊ δ' ενι πρυμνῃ εναρα βροτοεντα Δολωνος
Θηκ' Οδυσευς, ὀϝρ' ἱρον ἑτοιμασσαιατ' Αθηνῃ.
Αυτοι δ' ἱδροα πολλον απεϝνιζοντο θαλασσῃ
Εσβαντες, κνημας τ', ηδε ϝλοφον, αμφι τε μηρους.
Αυταρ επει σφιν κυμα θαλασσης ἱδροα πολλον
Ϝνιψεν απο χρωτος, και ανεψυχθεν φιλον ητορ,
Ες ϝρ' ασαμινθους βαντες εΰξεστας λοεσαντο.
Τω δε λοεσσαμενω, και αλειψαμενω ϝλιπ' ελαιῳ,
Δειπνῳ εφιζανετην· απο δε κρητηρος Αθηνῃ
Πλειου αφυσσαμενοι, λειβον μελιϝηδεα ϝοινον.

---

572. απεϝνιζοντο. abluerunt: Hinc constat verbum, ϝνιζω, digamma accipere. Vulgò, απενιζοντο.

574. ἱδροα πολλον. sudorem multum: Vulgò, ἱδρω πολλον· vide Θ. 561.

576. λοεσαντο. lavârunt: Vulgò, λουσαντο· sed pes quintus dactylum vult.

577. ϝλιπ' ελαιῳ. nitido oleo: Vox præcisa est pro ϝλιπαρῳ ελαιῳ· nec aliter occurrit, nisi in Thucydide, qui λιπα αλειψασθαι habet. Hesychius, Λιπα, λιθος, λιπαρον ελαιον, habet, ubi vox λιθος e lineâ antecedente se intrusit. Ita, τροφι κυμα pro τροφιμον κυμα, Λ. 307.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Λ.

ARGUMENTA.

Αγαμεμνονος αριστεια.

Λαμβδα, μετα προμαχοισιν αριστευεν Αγαμεμνων.

1. Mane orto, Discordia Græcos ad bellum excitat.—15. Agamemnon armatur.—45. Dii signa dant.—56. Trojani quoque ordinantur.—67. Pugna æquatur ad medium diem, Diis absentibus.—91. Agamemnon multos cædit.—122. Inter alios Antimachi filios.—150. Græci Trojanos pellunt.—181. Jupiter Iridem ad Hectorem mittit.—218. Agamemnon duos Antenoris filios cædit.—248. Ipse a Coone vulneratus e pugnâ cedit.—284. Hector Trojanos hortatur, et Græcorum plures cædit.—312. Ulysses et Diomedes ei adversantur.—349. Diomedes Hectorem hastâ ferit.—369. Paris Diomedem sagittâ vulnerat.—401. Ulysses solus periclitatur; multos tamen cædit.—463. Menelaus et Ajax vulnerato opitulantur.—489. Ajax multos cædit.—505. Paris Machaonem vulnerat.—521. Hector suis opitulatur.—543. Jupiter Ajacem terret.—580. Paris Eurypylum vulnerat.—596. Achilles Machaonem ad naves a Nestore relatum aspicit, et Patroclum sciscitatum mittit.—654. Nestor Patroclum suadet, ut, arma Achillis indutus, Græcis laborantibus opitularetur.—669. Sua gesta in bello Eleo narrat.—764. Memorat, quæ ei pater Menœtius dixerit.—804. Patroclus Eurypylum vulneratum ad tentorium ducit, et ei medetur.

῾ΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Λ.

ΗΩΣ δ' εκ λεχεων παρ' αγαυου Τιθωνοιο
Ωρνυθ', ἱν' αθανατοισι φαος φεροι ηδε βροτοισι·
Ζευς δ' Εριδα προϊαλλε θοας επι νηας Αχαιων
Αργαλεην, πολεμοιο τερας μετα χερσιν εχουσαν·
Στη δ' επ' Οδυσσηος ϝμεγακητεϊ νηϊ μελαινῃ,
῾Η ϝρ' εν μεσσοθιν εσκε, γεγωνεμεν αμφοτερωσε,
Ημεν επ' Αιαντος κλισιας Τελαμονιαδαο,
Ηδ' επ' Αχιλληος· τοι ϝρ' εσχατα νηας εϊσας
Εϝρυσαν, ηνορεῃ πισυνοι και καρτεϊ χειρων·
Ενθα στασ' ηϋσε Θεα ϝμεγα τε, δεινον τε,
Ορθι' Αχαιοισι, ϝμεγα δε σθενος εμβαλ' ἁπασι
Καρδιῃ, αϝληκτον πολεμιζειν ηδε μαχεσθαι·
Τοισι δ' αφαρ πολεμος γλυκιων γενετ', ηε νεεσθαι
Εν νηυσι γλαφυρῃσι φιλην ες πατριδα γαιαν.
Ατρεϊδης δ' εβοησεν, ιδε ζωννυσθαι ανωγεν
Αργειους· εν δ' αυτος εδυσατο νωροπα χαλκον·
Κνημιδας μεν πρωτα περι κνημῃσιν εθηκε
Καλας, αργυρεοισιν επισφυριοις αραρυιας·

---

1. Ηως δ' εκ λεχεων. Knightius duos versus damnat, quia Homerum nihil de hominibus in cœlum translatis scivisse censeat.

Tithoni croceum linquens Aurora cubile.
Æn. iv. 585. Georg. i. 447.

10. ϝμεγα τε, δεινον τε. magnumque, horrendumque: Hinc constat primam litteram in δεινος vim duplicem habere; suspicor δϝεινον legendum; vide A. 33.

11. εμβαλ' ἁπασι. injecit omnibus: vel, ωρσε ϝεκαστῳ, ut B. 451. Vulgò, εμβαλ' ἑκαστῳ. Vide E. 470. Knightius quatuor versus damnat, ut e B. 541 malè illatos.

Δευτερον αυ θωρηκα περι στηθεσσιν εδυνε,
Τον ποτε ϝοι Κινυρης δωκε, ξεινηΐον ειναι,
Πευθετο γαρ Κυπρονδε ϝμεγα κλεος, οὑνεκ᾽ Αχαιοι
Ες Τροΐην νηεσσιν αναπλευσεσθαι εμελλον·
Τουνεκα ϝοι τον δωκε, χαριζομενος βασιληΐ·
Του δ᾽ ητοι δεκα ϝοιμοι εσαν μελανος κυανοιο,
Δωδεκα δε χρυσου, και εϝεικοσι κασσιτεροιο·
Κυανεοι δε δρακοντες ορωρεχατο προτι δειρην
Τρεις, ἑκαθεν ϝιρισσι ϝεϝοικοτες, ἁς τε Κρονιων
Εν ϝνεφεϊ στηριξε, τερας ϝμεροπων ανθρωπων.
Αμφι δ᾽ αρ ωμοισιν βαλετο ξιφος· εν δε ϝοι ἡλοι
Χρυσειοι παμφαινον· αϝαρ περι κουλεον ηεν
Αργυρεον, χρυσεοισιν αορτηρεσσιν αρηρος.
Αν δ᾽ εϝλετ᾽ αμφιβροτην, πολυδαιδαλον, ασπιδα θουριν,
Καλην, ἡν περι μεν κυκλοι δεκα χαλκεοι ησαν,
Εν δε ϝοι ομφαλοι ησαν εϝεικοσι κασσιτεροιο
Λευκοι, εν δε μεσοισιν εεν μελανος κυανοιο.
Τῃ μεν αρα Γοργω βλοσυρωπις επεστεφανωτο,
Δεινον δερκομενη, περι δε Δειμος τε, Φοβος τε.
Της δ᾽ εξ αργυρεος τελαμων ην· αυταρ επ᾽ αυτῳ
Κυανεος ϝεϝελικτο δρακων, κεφαλαι δε ϝοι ησαν
Τρεις αμφιστεφεες, ἑνος αυχενος εκπεφυυιαι.

---

21. ούνεκα. quia: Ad δωκε referendum, ut a versu 23 patet. Vulgò post ειναι periodo distinguitur.

24. δεκα ϝοιμοι εσαν. decem circuli erant: Vox non alibi occurrit; Hesychius ασπιδος κυκλους interpretatur; δεκ᾽ εσαν οιμοι, legendum, si digamma non habeat.

25. χρυσου, και εϝεικοσι. Vulgò, χρυσοιο, και εικοσι. Α. 309.

27. Τρεις, ἑκαθεν ϝιρισσι ϝεϝοικοτες. Tres, procul iridibus similes: Ita bene Heynius, et ita, ἑκαθεν δε τε φαινεται αυγη, Β. 456. Vulgò, ἑκατερθ᾽ ιρισσι. Knightius, ἑκατερθε ϝιριδσι, edidit, sed Ϝιρις in thesi producitur, Ρ. 547.

36. Τῃ μεν αρα Γοργω βλοσυρωπις επεστεφανωτο. Huic quidem sanè Gorgo torvis oculis super coronabatur: Vulgò, Τῃδ᾽ επι μεν Γοργω βλοσυρωπις εστεφανωτο, metro imperfecto. Forsitan antiquitus, Τηθιν αρα, erat.

37. περι δε Δειμος τε. Hinc videtur Δρειμος fuisse; vide Α. 33.

39. ϝεϝελικτο. torquebatur: a ϝελισσω. Vulgò, ελελικτο· vide Α. 317.

40. αμφιστεφεες. circùm coronata: id est, cristas habentia: Malè alii, αμφιστρεφεες, quod colli, non capitis, epitheton esset.

44. απ᾽ αυτοφιν. abeo: Mallem, απ᾽ αυτοθεν, ablativo legere; Α. 208, Φ. 199; non tamen affirmare audeo præpositiones genitivum regere non posse.

Κρατι δ' επ' αμφιφαλον κυνεην θετο, τετραφαληρον,
Ἱππουριν· δεινον δε ϝλοφος καθυπερθεν ενευεν.
Εϝλετο δ' αλκιμα δουρε δυω, κεκορυθμενα χαλκῳ,
Οξεα· τηλε δε χαλκος απ' αυτοφιν ουρανον εισω
Λαμπ'· επι δ' εκδουπησαν Αθηναιη τε και Ἡρη,
Τιμῶσαι βασιληα πολυχρυσοιο Μυκηνης.
Ἡνιοχῳ μεν επειτα ϝεῳ επετελλε ϝεκαστος
Ἱππους ευ κατα κοσμον εϝρυκεμεν αυθ' επι ταφρῳ·
Αυτοι δε πρυλεες συν τευχεσι θωρηχθεντες
Ϝρωοντ'· ασβεστος δε βοη γενετ' Ηοοθι προ.
Φθαν δε μεθ' ἱππηων επι ταφρῳ κοσμηθεντες·
Ἱππηες δ' ολιγον μετεκιαθον· εν δε κυδοιμον
Ὡρσε κακον Κρονιδης, κατα δ' ὑψοθεν ἡκεν εερσας
Αἱματι μυδαλεας εξ αιθερος, οὑνεκ' εμελλε
Πολλας ιφθιμους κεφαλας Αϝιδι προϊαψειν.
Τρωες δ' αυθ' ἑτερωθεν επι θρωσμῳ πεδιοιο,
Ἑκτορα τ' αμφι ϝμεγαν, και αμυμονα Πουλυδαμαντα,
Αινειαν θ', ὁς Τρωσι, Θεος ὡς, τιετο δημῳ,
Τρεις τ' Αντηνοριδας, Πολυβον, και Αγηνορα διον,
Ηΐθεον τ' Ακαμαντ', επιϝεικελον αθανατοισιν·
Ἑκτωρ δ' εν πρωτοισι φερ' ασπιδα παντοσε ϝισην.
Οἱος δ' εκ ϝνεφεων ολοος αναφαινεται αστηρ,

---

45. επι δ' εκδουπησαν. super verò e cœlo tonuerunt: Hesychius hanc lectionem præbet, ubi hucusque latuit. Vulgò, εγδουπησαν. Malè Heynius γδουπος fuisse censet, contra Scholiastæ monitum; in εριγδουπος, littera γ voci ερι pertinet; leguntur enim et εριδουπος, Υ. 50; ωρνυτο δουπος, Π. 635; et δεδουποτος, Ψ. 679.

47. Ἡνιοχῳ μεν επειτα ϝεῳ. Aurigæ quidem postea suo: Si forma ϝεος displiceat, in promptu est, φιλῳ, vel θοῳ, emendare. Α. 533.

50. Ϝρωοντο. fortiter ibant: a ϝρωομαι. Ηοοθι προ· Auroram versus: vulgò, Ηωθι προ· vide Η. 372, Γ. 3. Knightius duos versus ab Ηοοθι ad μετεκιαθον damnat.

51. Φθαν δε μεθ' ἱππηων. Primi verò erant inter equites ad fossam ordinati: id est, ante Trojanos parati erant.

62. Οἱος δ' εκ ϝνεφεων. "Singularis hujus imaginis pulchritudo; eo quòd Hector ubique summâ cum agilitate inter suos ex intervallo interlucens exhibeatur." Clark.

62. ολοος αναφαινεται αστηρ. exitialis apparet stella: Vulgò, αναφαινεται ουλιος αστηρ· Scholiastes et Hesychius ολεθριος exponunt; cùm tamen forma non alibi occurrat, verba transposui.

Παμφαινων, τοτε δ' αυτις εδυ ϝνεφεα σκιοεντα·
Ὡς Ἑκτωρ ὁτε μεν τε μετα πρωτοισι φανεσκεν,
Αλλοτε δ' εν πυματοισι, κελευων· πας δ' αρα χαλκῳ
Λαμφ', ὡς αστεροπη πατρος Διος αιγιοχοιο.
Οἱ δ', ὡς τ' αϝμητηρες εναντιοι αλληλοισιν
Ογμον ελαυνωσιν, ανδρος μακαρος κατ' αρουραν,
Πυρων, η κριθων· τα δε δραγματα ταρφεα πιπτει·
Ὡς Τρωες και Αχαιοι επ' αλληλοισι θοροντες
Δαιουν· ουδ' ἑτεροι μναοντ' ολοοιο φοβοιο·
Ϝισας δ' ὑσμινη κεφαλας εχον· οἱ δε, λυκοι ὡς,
Θυνον· Ερις δ' αρ εχαιρε πολυστονος εισορowσα·
Οιη γεϝρα Θεων παρετυγχανε μαρναμενοισιν·
Οἱ δ' αλλοι ου σφιν παρεσαν Θεοι, αλλα ϝεκηλοι
Ϝοισιν ενι ϝμεγαροισι καθειατο, τηχι ϝεκαστῳ
Δωματα καλα τετυκτο, κατα πτυχας Ουλυμποιο·
Παντες δ' ητιοωντο κελαϝνεφεα Κρονιωνα,
Οὑνεκ' αρα Τρωεσσιν εβουλετο κυδος ορεξαι.
Των μεν αρ ουκ αλεγιζε πατηρ· ὁ δε, νοσφι λιασθεις,
Των αλλων απανευθε καθεζετο κυδεϊ γαιων,
Εισορowν Τρωων τε πολιν και νηας Αχαιων,
Χαλκου τ' αστεροπην, ολλυντας τ', ολλυμενους τε.
Ὀϝρα μεν Ηως ην, ηεξετο θ' ἱερον ημαρ,
Τοϝρα μαλ' αμφοτερων βελε' ἡπτετο, πιπτε δε λαος·
Ημος δε δρυτομος περ ανηρ ὡπλισσατο δορπον

---

66. ὡς αστεροπη. ut fulgur: Ita Knightius, ut Κ. 154. Vulgò, ὡς τι στεροπη· sed hæc forma rarò postulatur; altera passim.

68. Ογμον. Aggerem: Ογμος arvi pars editior est, quæ utrinque ab aratro in medium aggeritur; Σ. 546, 552, 557.

70. επ' αλληλοισι θοροντες. cædebant pariter, pariterque ruebant
Victores, victique; neque his fuga nota, neque illis. Æn. x. 756.

73. Ερις. Et scissâ gaudens vadit Discordia pallâ. Æn. viii. 700.

75. Οἱ δ' αλλοι. Knightius novem versus damnat; Grammatici antiqui sex tantùm, a versu 78.

76. καθειατο, τηχι ϝεκαστῳ· sedebant, ubi cuique: εν τηθι χωρηθι. Vulgò, ἡχι, contra metrum; vide Α. 607. Bentleius, καθεζονθ', emendat, quod minùs numerosum.

84. ηεξετο θ' ἱερον ημαρ. crescebatque sacer dies: Vulgò, και αεξετο· vide Θ. 66.

Ουρεος εν βησσῃσιν, επει τ' εκορεσσατο χειρας
Ταμνων δενδρεα μακρα, ϝαδος τε μιν ἱκετο θυμον,
Σιτου τε γλυκεροιο περι φρενας ἱμερος αἱρεῖ·
Τημος σφῃ αρετῃ Δαναοι ϝρηξαντο φαλαγγας,
Κεκλομενοι ἑταϝροισι κατα στιχας· εκ δ' Αγαμεμνων
Πρωτος ορουσ'· εϝλε δ' ανδρα Βιηνορα, ποιμενα λαων,
Αυτον, επειτα δ' ἑταϝρον Οϊληα πληξιππον.
Ητοι ὁγ' εξ ἱππων κατεπαλμενος αντιος εστη·
Τον δ' ιθυς μεμαωτα μετωπιον οξεϊ δουρι
Νυξ', ουδε στεφανη δορυ ϝοι σχεθε χαλκοβαρεια,
Αλλα δι' αυτης ηλθε και οστεου, εγκεφαλος δε
Ενδον ἁπας πεπαλακτο· δαμασσε δε μιν μεμαωτα.
Και τους μεν λιπεν αυθι ϝαναξ ανδρων Αγαμεμνων
Στηθεσι παμφαινοντας, επει περιδυσε χιτωνας·
Αυταρ ὁ βη Fισον τε και Αντιφον εξεναριξων,
Υἱε δυω Πριαμοιο, νοθον και γνησιον, αμφω
Ειν ἑνι διφρῳ εοντας· ὁ μεν νοθος ἡνιοχευεν,
Αντιφος αυ παρεβασκε περικλυτος· ὡ ποτ' Αχιλλευς
Ιδης εν κνημοισι διδη μοσχοισι λυγοισι,
Ποιμαινοντ' επ' οεσσι ϝλαβων, και ελυσεν αποινων.
Δη τοτε γ' Ατρεϊδης ευρυκρειων Αγαμεμνων,
Τον μεν ὑπερ μαζοιο κατα στηθος βαλε δουρι·
Αντιφον αυ παρ' οας ελασε ξιφει, εκ δ' εβαλ' ἱππων.
Σπερχομενος δ' απο τοιϊν εσυλα τευχεα καλα,

---

88. ϝαδος τε μιν ἱκετο θυμον. indulgentiaque eum venit animum: Fαδος non alibi occurrit; videtur tamen a ϝανδανω fluere, et ϝεϝαδηκοτες ter legitur; κ. 98.

98. Ενδον ἁπας πεπαλακτο.

> Adversi frontem mediam, mentumque securi
> Disjicit, et sparso latè rigat arma cerebro. Æn. xii. 306.

101. Αυταρ ὁ βη Fισον τε. Vulgò, βη ῥ' Ισον τε· cùm tamen ϝισος, æqualis, digamma postulet, præfigendum judicavi.

105. διδη μοσχοισι λυγοισι. ligavit teneris viminibus: a διδημι, quod a δεω, ligo; verbum non alibi occurrit.

109. Αντιφον αυ παρ' οας ελασε ξιφει. Antiphum rursus ad aurem adegit ense: Vulgò, παρα ους· sed οας nusquam contrahitur, et ut Aϝις, αορ, et ορος, primam in obliquis producit; παρα insuper ante vocalem non elidi nequit. Knightius, παρ' ὀϝας, edidit.

Γιγνωσκων· και γαρ σφε παρος παρα νηυσι θοῃσιν
Εσϝιδ', ὁτ' εξ Ιδης αγαγεν ποδας ωκυς Αχιλλευς.
Ὡς δε λεων ελαφοιο ταχειης νηπια τεκνα
Ϝρηϊδιως συνεϝαξε, ϝλαβων κρατεροισιν οδουσιν,
Ελθων εις ευνην, ἁπαλον τε σφ' ητορ απεϝρα·
Ἡ δ' ει περ τε τυχησι μαλα σχεδον, ου δυναται σφιν
Χραισμεῖν· αυτην γαρ μιν ὑπο τρομος αινος ἱκανει·
Καρπαλιμως δ' ηϊξε δια δρυμα πυκνα και ὑλην,
Σπευδουσ', ἱδρωουσα, κραταιου θηρος ὑφ' ὁρμης·
Ὡς αρα τοις ουτις δυνατο χραισμησαι ολεθρον
Τρωων, αλλα και αυτοι ὑπ' Αργειοισι φεβοντο.
Αυταρ ὁ Πεισανδρον τε και Ἱππολοχον μενεχαρμην,
Ὑϊας Αντιμαχοιο δαϊφρονος, ὁς ϝρα μαλιστα,
Χρυσον Αλεξανδροιο δεδεγμενος, αγλαα δωρα,
Ουκ ειϝασχ' Ἑλενην δομεναι ξανθῳ Μενελαῳ·
Του περ δη δυο παιδε ϝλαβε κρειων Αγαμεμνων,
Ειν ἑνι διφρῳ εοντας, ὁμου δ' εχον ωκεας ἱππους·
Εκ γαρ σφεας χειρων φυγον ἡνια σιγαλοεντα·
Τω δε κυκηθητην· ὁ δ' εναντιον ωρτο, λεων ὡς,
Ατρεϊδης· τω δ' αυτ' εκ διφρου γουναζεσθην·
Ζωγρει, Ατρεος υἱε, συ δ' αξια δεξαι αποινα·
Πολλα δ' εν Αντιμαχοιο δομοις κειμηλια κειται,
Χαλκος τε, χρυσος τε, πολυκμητος τε σιδηρος·
Των κεν τοι χαρισαιτο πατηρ απερεισι' αποινα,

---

112. Εσϝιδε. Aspexerat: Ita legendum opinor, ut Π. 256. Vulgò, Ειδεν· sed hæc forma non nisi hîc, et Τ. 292, occurrit.

131. Ζωγρει. Vivos cape: Forsitan, Ζωγρει'· vide Ζ. 46.

137. αμειλικτον δ' επακουσαν. non blandum verò *verbum* audierunt: ϝεπος e ϝεπεσσιν trahendum. Vulgò, οπ' ακουσαν, vocem audierunt; sed ϝοψ, secundum analogiam, digamma postulat, Α. 604, et malè pro ϝεπος ponitur. Ita Φ. 98.

138. Ει μεν αρ Αντιμαχοιο. Siquidem sanè Antimachi: Vulgò, Ει μεν δη Αντιμαχοιο, contra metrum; vocalis enim longa elidi nequit.

141. εξεμεν. emittere: aoristus secundus ab εξιημι.

147. Ϝολμον δ' ὡς, ϝ' εϝσευε. Mortarium verò ut, eum agitavit: Vox ϝολμος non alibi occurrit, sed Hesychius digamma adsciscere indicat. Pronomen, quod postulatur, inserui.

151. Ἱππηες δ' ἱππηας. Equites verò equites: Vulgò, Ἱππεις δ' ἱππηας

Ει νωϊ ζωους πεπυθοιτ' επι νηυσιν Αχαιων.
Ὡς τωγε κλαιοντε προσαυδητην βασιληα
Μειλιχιοις ϝεπεεσσιν· αμειλικτον δ' επακουσαν·
Ει μεν αρ Αντιμαχοιο δαϊφρονος ὑïες εστον,
Ὁς ποτ' ενι Τρωων αγορῃ Μενελαον ανωγεν,
Αγγελιην ελθοντα, συν αντιθεῳ Οδυσηϊ,
Αυθι κατακτειναι, μηδ' εξεμεν αψ ες Αχαιους·
Νυν μεν δη του πατρος αϝεικεα τισετε λωβην.
Η, και Πεισανδρον μεν αφ' ἱππων ωσε χαμαζε,
Δουρι βαλων προς στηθος· ὁ δ' ὑπτιος ουδει ερεισθη·
Ἱππολοχος δ' απορουσε· τον αυ χαμαι εξεναριξε,
Χειρας απο ξιφεϊ τμηξας, απο τ' αυχενα κοψας·
Ϝολμον δ' ὡς, ϝ'εϝσευε κυλινδεσθαι δι' ὁμιλου.
Τους μεν εϝασ'· ὁ δ', ὁθι πλεισται κλονεοντο φαλαγγες,
Τῃ ϝρ' ενορουσ', ἁμα δ' αλλοι εϋκνημιδες Αχαιοι.
Πεζοι μεν πεζους ολεκον φευγοντας αναγκῃ,
Ἱππηες δ' ἱππηας, ὑπο σφισι δ' ωρτο κονιη
Εκ πεδιου, την ωρσαν εριγδουποι ποδες ἱππων,
Χαλκῳ δηϊοωντες· αϝαρ κρειων Αγαμεμνων,
Αιεν αποκτεινων, ἑπετ' Αργειοισι κελευων.
Ὡς δ' ὁτε πυρ Αϝιδηλον εν αζαλεῃ πεσῃ ὑλῃ,
Παντα τε ϝειλυφοων ανεμος φερει, οἱ δε τε θαμνοι
Προϝριζοι πιπτουσιν, επειγομενοι πυρος ὁρμῃ·
Ὡς αρ ὑπ' Ατρεϊδῃ Αγαμεμνονι πιπτε καρηνα

ὑπο δε σφισιν ωρτο κονιη· ἱππηες verò, ut τοκηες, ita contrahi nequit, licèt ἱππευσι in dativo formet.

155. Ὡς δ' ὁτε πυρ Αϝιδηλον εν αζαλεῃ πεσῃ ὑλῃ. Ut verò ignis Infernalis in aridam ceciderit sylvam: ita Υ. 491, Od. ι. 234. Vulgò, εν αξυλῳ εμπεσῃ ὑλῃ, in sylvam sine ligno inciderit, quod absurdum est; Homerus etiam præpositionem, quæ in verbo continetur, ante casum non repetit.

> Ac velut, optatò ventis æstate coortis
> Dispersa immittit sylvis incendia pastor;
> Correptis subitò mediis extenditur unà
> Horrida per latos acies Vulcania campos. Æn. x. 405.

156. Παντα τε ϝειλυφοων ανεμος φερει. Omniaque turbinosus ventus fert: Vulgò, Παντῃ τ' ειλυφοων· sed ϝειλυφαω a ϝειλεω digamma, et φερει casum, postulant.

Τρωων φευγοντων, πολλοι δ' εριαυχενες ἱπποι
Κειν' οχεα κροταλιζον ανα πτολεμοιο γεφυρας,
Ἡνιοχους ποθεοντες αμυμονας· οἱ δ' επι γαιῃ
Κειατο, γυπεσσιν πολυ φιλτεροι, η αλοχοισιν.
Ἑκτορα δ' εκ βελεων ὑπαγε Ζευς, εκ τε κονιης,
Εκ τ' ανδροκτασιης, εκ θ' αἱματος, εκ τε κυδοιμου·
Ατρεϊδης δ' ἑπετο, σφεδανον Δαναοισι κελευων.
Οἱ παρα Fιλου σημα παλαιου Δαρδανιδαο,
Μεσσον καππεδιον, παρ' εριvεον εfσευοντο,
Fιεμενοι πολιος· ὁ δε κεκληγως ἑπετ' αιει
Ατρεϊδης, λυθρῳ δε παλασσετο χειρας ααπτους.
Αλλ' ὁτε δη Σκαιας τε πυλας και φηγον ἱκοντο,
Ενθ' αρα δη ἱσταντο, και αλληλους ανεμιμνον.
Οἱ δ' ετι καμμεσσον πεδιον φοβεοντο, βοες ὡς,
Ἁς τε λεων εφοβησε, μολων εν νυκτος αμολγῳ,
Πασας· τῃ δε τ' ιῃ αναφαινεται αιπυς ολεθρος·
Της δ' εξ αυχεν' εfαξε, fλαβων κρατεροισιν οδουσι,
Πρωτον· επειτα δε θ' αἱμα και εγκατα παντα λαφυσσει·
Ὡς τους Ατρεϊδης εφεπε κρειων Αγαμεμνων,
Αιεν αποκτεινων τον οπιστατον· οἱ δ' εφεβοντο.
Πολλοι δε πρηνεις τε και ὑπτιοι εκπεσον ἱππων,
Ατρεϊδεω ὑπο χερσι· περι προ γαρ εγχεϊ θυεν.
Αλλ' ὁτε δη ταχ' εμελλεν ὑπο πτολιν αιπυ τε τειχος
Ἱξεσθαι, τοτε δη fρα πατηρ ανδρων τε Θεων τε
Ιδης εν κορυφῃσι καθεζετο πιδηεσσης,
Ουρανοθεν καταβας· εχε δ' αστεροπην μετα χερσιν·

---

166. Οἱ παρα Fιλου σημα. Illi juxta Ili monumentum: In mediâ planitie erat, ubi hodie tumulus. Iterum memoratur Κ. 415, Λ. 371, Ω. 349. Vulgò, Οἱ δε παρ' Ιλου σημα· Bentleius nexum omisit. Strabo suis temporibus caprificos plures, fagum non nisi unam, fuisse dicit.

173. νυκτος αμολγῳ. noctis initio: mulgendi tempore, ab αμελγω, mulgeo; tunc enim prodeunt feræ.

179. Πολλοι δε πρηνεις. Knightius versus novem et triginta damnat.

183. πιδηεσσης. fontibus abundantis: α πιδαξ. Hesychius πιδακοεσσης habet.

187. Εἱος μεν κεν ὁρᾳ. Donec quidem videt: Vulgò, Οφρ' αν μεν κεν ὁρᾳ

Ϝιριν δ᾽ οτρυνε χρυσοπτερον αγγελεουσαν·
  Βασκ᾽ ιθι, Ϝιρι ταχεια, τον Ἑκτορι μυθον ενισπε·
Εἱος μεν κεν ὁρᾳ̃ Αγαμεμνονα, ποιμενα λαων,
Θυνοντ᾽ εν προμαχοισιν, εναιροντα στιχας ανδρων,
Τοϝρ᾽ αναχωρειτω, τον δ᾽ αλλον λαον ανωχθω
Μαρνασθαι δαϊοισι κατα κρατερην ὑσμινην·
Αυταρ επει κ᾽, η δουρι τυπεις, η βλημενος ιῳ,
Ἁλλεται εις ἱππους, τοτε ϝοι κρατος εγγυαλιξω,
Κτεινειν, εισοκε νηας εΰϝσελμους αφικηται,
Δυῃ τ᾽ Ηελιος, και επι κνεφας ἱερον ελθῃ.
  Ὡς εφατ᾽· ουδ᾽ απιθησε ποδηνεμος ωκεα Ϝιρις·
Βη δε κατ᾽ Ιδαιων ορεων ες Ϝιλιον ἱρην·
Εὑρ᾽ υἱον Πριαμοιο δαϊφρονος Ἑκτορα διον,
Ἑσταοτ᾽ εν θ᾽ ἱπποισι και ἁρμασι κολλητοισιν·
Αγχοθι δ᾽ ἱσταμενη προσεφη ποδας ωκεα Ϝιρις·
  Ἑκτορ, ὑϊ Πριαμοιο, Διϊ μητιν αταλαντε,
Ζευς με πατηρ προεηκε σεθιν ταδε μυθησασθαι·
Εἱος μεν κεν ὁρᾳ̃ς Αγαμεμνονα, ποιμενα λαων,
Θυνοντ᾽ εν προμαχοισιν, εναιροντα στιχας ανδρων,
Τοϝρ᾽ ὑποϝεικε μαχης, τον δ᾽ αλλον λαον ανωχθι
Μαρνασθαι δαϊοισι κατα κρατερην ὑσμινην·
Αυταρ επει κ᾽, η δουρι τυπεις, η βλημενος ιῳ,
Ἁλλεται εις ἱππους, τοτε τοι κρατος εγγυαλιξει
Κτεινειν, εισοκε νηας εΰϝσελμους αφικηαι,
Δυῃ τ᾽ Ηελιος, και επι κνεφας ἱερον ελθῃ.
  Ἡ μεν αρ ὡς ϝειπουσ᾽ απεβη ποδας ωκεα Ϝιρις·

---

sed αν vox non Homerica est, nec cum κεν stare potest; quidam οφρ᾽ αν pro Ἑως substituit. Ita Λ. 202.

192. Ἁλλεται εις ἱππους. Saltat ad equos: Vulgò, Εις ἱππους ἁλεται· sed verbum est ἁλλομαι, Ε. 142, Λ. 298. Grammatici pro ἁληται poni volunt, contra analogiam omnem.

200. Ἑκτορ, ὑϊ Πριαμοιο. Vulgò, υἱε· vide Λ. 489.

> Ipse Deûm tibi me claro demittit Olympo
> Regnator, cœlum et terras qui numine torquet;
> Ipse hæc ferre jubet celeres mandata per auras. Æn. iv. 268.

201. σεθιν. tibi: Vulgò, τεΐν, quod Hesychius formam Doricam esse ait; vide Λ. 180.

Ἑκτωρ δ' εξ οχεων συν τευχεσιν αλτο χαμαζε,
Παλλων δ' οξεα δουρα κατα στρατον ῳχετο παντη,
Οτρυνων μαχεσασθαι· εγειρε δε φυλοπιν αινην.
Οἱ δ' εϝελιχθησαν, και εναντιοι εσταν Αχαιων.
Αργειοι δ' ἑτερωθεν εκαρτυναντο φαλαγγας·
Αρτυνθη δε μαχη· σταν δ' αντιοι· εν δ' Αγαμεμνων
Πρωτος ορουσ', εθελεν δε πολυ προμαχεσθαι ἁπαντων.
Fεσπετε νυν μοι, Μουσαι, Ολυμπια δωματ' εχουσαι,
Ὁς τις δη πρωτος Αγαμεμνονος αντιος ηλθεν,
Η αυτων Τρωων, ηε κλεϊτων επικουρων.
Fιφιδαμας Αντηνοριδης, ηΰς τε ϝμεγας τε,
Ὁς τραφη εν Θραϊκῃ εριβωλακι, μητερι μηλων·
Κισσευς τονγ' εθρεψε δομοις ενι τυτθον εοντα,
Μητροπατωρ, ὁς τικτε Θεανω καλλιπαρηον.
Αυταρ επει ϝρ' ἡβης ερικυδεος ἱκετο μετρον,
Αυτοθι μιν κατεϝρυκε· διδου δ' ὁγε θυγατερα ϝην·
Γημας δ', εκ θαλαμοιο μετα κλεος ἱκετ' Αχαιων,
Συν δυοκαιδεκα νηυσι κορωνισιν, αἱ ϝοι ἑποντο.
Τας μεν επειτ' εν Περκωτῃ λιπε νηας εϊσας·
Αυταρ ὁ πεζος εων, ες Fιλιον ειληλουθει.
Ὁς ϝρα τοτ' Ατρεϊδεω Αγαμεμνονος αντιος ηλθεν.
Οἱ δ' ὁτε δη σχεδον ησαν επ' αλληλοισιν ιοντες,
Ατρεϊδης μεν ἁμαρτε, παραι δε ϝοι ετραπετ' εγχος.
Fιφιδαμας δε κατα ζωνην, θωρηκος ενερθε,
Νυξ'· επι δ' αυτος ερεισε, βαρειῃ χειρι πιθησας·
Ουδ' ετορε ζωστηρα παναιολον, αλλα πολυ πριν
Αργυρῳ αντομενη, μολιβος ὡς, ετραπετ' αιχμη.
Και τογε χειρι ϝλαβων ευρυκρειων Αγαμεμνων
Ἑλκ' επι ϝοι μεμαως, ὡς τε ϝλις· εκ δ' αρα χειρος

---

216. Αρτυνθη δε μαχη. Instaurabatur verò pugna; ab αρτυνω.

239. ὡς τε ϝλις. veluti leo: Forma hæc antiqua in quatuor locis digamma postulat: alii casus sunt ϝλιν, et ϝλιεσσι· vide Ε. 782, Λ. 480, Ο. 592.

241. χαλκεον ὑπνον. Olli dura quies oculos et *ferreus* urget
Somnus, et æternâ clauduntur lumina nocte. Æn. x. 745.

Σπασσατο· τον δ' αορι πληξ' αυχενα, λυσε δε γυια.
Ὡς ὁ μεν αυθι πεσων κοιμησατο χαλκεον ὑπνον,
Οικτρος, απο μνηστης αλοχου, ϝαστοισιν αρηγων,
Κουριδιης, ἡς ουτι χαριν ϝιδε, πολλα δ' εδωκε·
Πρωθ' ἑκατον βους δωκεν, επειτα δε χιλι' ὑπεστη,
Αιγας ὁμου και οϊς, τα ϝοι ασπετα ποιμαινοντο.
Δη τοτε ϝ' Ατρεϊδης Αγαμεμνων εξεναριξε·
Βη δε φερων αν' ὁμιλον Αχαιων τευχεα καλα.
Τον δ' ὡς ουν ενοησε Κοων αριδεικετος ανδρων,
Πρεσβυγενης Αντηνοριδης, κρατερον ϝρα ϝε πενθος
Οφθαλμους εκαλυψε, κασιγνητοιο πεσοντος·
Στη δ' ευραξ συν δουρι, λαθων Αγαμεμνονα διον·
Νυξε δε μιν κατα χειρα μεσην, αγκωνος ενερθεν·
Αντικρυ δε διεσχε φαεινου δουρος ακωκη.
Ϝριγησεν τ' αρ επειτα ϝαναξ ανδρων Αγαμεμνων·
Αλλ' ουδ' ὡς απεϝληγε μαχης ηδε πτολεμοιο,
Αλλ' επορουσε Κοωνι, εχων ανεμοτρεφες εγχος.
Ητοι ὁ Ϝιφιδαμαντα κασιγνητον και οπατρον
Ἑλκε ποδος μεμαως, και αϋτει παντας αριστους·
Τον δ' ἑλκοντ' αν' ὁμιλον, ὑπ' ασπιδος ομφαλοεσσης,
Ουτησε ξυστῳ χαλκηρεϊ, λυσε δε γυια·
Του δ' επι Ϝιφιδαμαντι καρη απεκοψε παραστας.
Ενθ' Αντηνορος υἱες ὑπ' Ατρεϊδῃ βασιληϊ,
Ποτμον αναπλησαντες, εδυν δομον Αϝιδος εισω·
Αυταρ ὁ των αλλων επεπωλειτο στιχας ανδρων,
Εγχεϊ τ', αορι τε, ϝμεγαλοισι τε χερμαδιοισιν,
Ὀϝρα ϝοι αἱμ' ετι θερμον ανηνοθεν εξ ωτειλης·
Αυταρ επει το μεν ἑλκος ετερσετο, παυσατο δ' αἱμα,
Οξειαι οδυναι δυνον μενος Ατρεϊδαο.

---

246. Δη τοτε ϝε. Revera tunc eum: Vulgò, Δη τοτε γε.
251. ευραξ. a latere: Hesychius.
252. χειρα. brachium medium sub cubitu: Ita Φ. 166.
256. ανεμοτρεφες. vento nutrita: quo firmius fit lignum.
261. Του δ' επι Ϝιφιδαμαντι. Vulgò, Τοιο δ' επ' Ιφιδαμαντι· vide Α. 38.
266. ανηνοθεν. sursum trudebatur: ab ανα, εν, et οθω· vide Β. 219.

Ὡς δ' ὁτε κ' ωδινουσαν εχῃ βελος οξυ γυναικα,
Δριμυ, το τε προϊεισι μογοστοκοι Ειλειθυιαι,
Ἡρης θυγατερες, πικρας ωδινας εχουσαι·
Ὡς οξει' οδυναι δυνον μενος Ατρεϊδαο.
Ες διφρον δ' ανορουσε, και ἡνιοχῳ επετελλε
Νηυσιν επι γλαφυρῃσιν ελαυνεμεν· ηχθετο γαρ κῆρ.
Ηϋσεν δε διαπρυσιον Δαναοισι γεγωνως·
Ω φιλοι, Αργειων ἡγητορες, ηδε μεδοντες,
Ὑμεις μεν νυν νηυσιν αμυνετε ποντοποροισι
Φυλοπιν αργαλεην, επει ουκ εμε μητιετα Ζευς
Ειϝασε Τρωεσσι πανημεριον πολεμιζειν.
Ὡς εφαθ'· ἡνιοχος δ' ιϝμασεν καλλιτριχας ἱππους
Νηας επι γλαφυρας· τω δ' ουκ αϝεκοντε πετεσθην·
Αφρεον δε στηθεα· ϝραινοντο δε νερθε κονιῃ,
Τειρομενον βασιληα μαχης απανευθε φεροντε.
Ἑκτωρ δ', ὡς ενοησ' Αγαμεμνονα νοσφι κιοντα,
Τρωσι τε και Λυκιοισιν εκεκλετο, μακρον αϋσας·
Τρωες, και Λυκιοι, και Δαρδανοι αγχιμαχηται,
Ανερες εστε, φιλοι, μνησασθε δε θουριδος αλκης·
Οιχετ' ανηρ ὁς αριστος, εμοι δε ϝμεγ' ευχος εδωκε
Ζευς Κρονιδης· αλλ' ιθυς ελαυνετε μωνυχας ἱππους
Ιφθιμων Δαναων, ἱν' ὑπερτερον ευχος αρησθε.
Ὡς ϝειπων, ωτρυνε μενος και θυμον ἁπαντων.
Ὡς δ' ὁτε που τις θηρητηρ κυνας αργιοδοντας
Ϝσευῃ επ' αγροτερῳ συϊ καπριῳ, ηε λεοντι·
Ὡς επ' Αχαιοισι ϝσευε Τρωας ϝμεγαθυμους

---

282. Αφρεον δε στηθεα. Sudabant verò ad pectora: vox utraque non nisi duas syllabas habet. ϝραινοντο, aspergebantur: forma εϝραδατο, Μ. 431, digamma accipere indicat.

288. Οιχετ' ανηρ ὁς αριστος. Abit vir qui optimus: Ita, ὁς τις αριστος, Η. 50, ὁς αριστος Αχαιων, Ν. 313, et τον αριστον, et ὁσσοι αριστοι, passim. Vulgò, ωριστος pro ὁ αριστος, quod licere non opinor; formam igitur, quam Codex Harleianus exhibet, Π. 521, admisi. Knightius, οχ' αριστος, edidit.

291. ἁπαντων. omnium: Vulgò, ἑκαστου· vide Ε. 470.

298. ϝιοϝειδεα. violaceum, cæruleum: a ϝιον, viola.

Ἑκτωρ Πριαμιδης, βροτολοιγῳ ϝισος Αϝρηϊ·
Αυτος δ' εν πρωτοισι ϝμεγα φρονεων εβεβηκει·
Εν δ' επεσ' ὑσμινῃ, ὑπεραεϊ ϝισος αελλῃ,
Ἡ τε καθαλλομενη ϝιοϝειδεα ποντον ορινει.
Ενθα τινα πρωτον, τινα δ' ὑστατον εξεναριξεν
Ἑκτωρ Πριαμιδης, ὁτε ϝοι Ζευς κυδος εδωκεν;
Ασσαιον μεν πρωτα, και Αυτονοον, και Οπιτην,
Και Δολοπα Κλυτιδην, και Οφελτιον, ηδ' Αγελαον,
Αισυμνον τ', Ωρον τε, και Ἱππονοον μενεχαρμην·
Τους αρ ὁγ' ἡγεμονας Δαναων ϝελεν· αυταρ επειτα
Πληθυν· ὡς ὁποτε Ζεφυρος ϝνεφεα στυφελιξῃ
Αργεσταο Ϝνοτοιο, βαθειῃ λαιλαπι τυπτων·
Πολλον δε τροφι κυμα κυλινδεται, ὑψοσε δ' αχνη
Σκιδναται, εξ ανεμοιο πολυπλαγκτηφιν ιωης·
Ὡς αρα πυκνα καρηαθ' ὑφ' Ἑκτορι δαμνατο λαων.
Ενθα κε λοιγος εεν, και αμηχανα ϝεργα γενοντο,
Και νυ κεν εν νηεσσι πεσον φευγοντες Αχαιοι,
Ει μη Τυδειδῃ Διομηδεϊ κεκλετ' Οδυσσευς·
Τυδειδη, τι παθοντε λελασμεθα θουριδος αλκης;
Αλλ' αγε δευρο, πεπον, παρ' εμ' ἱστασο· δη γαρ ελεγχος
Εσσεται, ει κεν νηας εϝλῃ κορυθαιολος Ἑκτωρ.
Τον δ' απαμειβομενος προσεφη κρατερος Διομηδης·
Ητοι εγω μενεω και τλησομαι· αλλα μινυνθα
Ἡμεων εσται ϝηδος, επει ϝνεφεληγερετα Ζευς
Τρωσι κρατος δουναι πολυ βουλεται, ηε περ ἡμιν.
Η, και Θυμβραιον μεν αφ' ἱππων ωσε χαμαζε,

---

306. Αργεσταο. albi: Albus ut obscuro deterget nubila cœlo
Sæpe Notus. Horat. Carm. 1. 7. 15.

307. τροφι κυμα. magna unda: ita Hesychius, qui vocem præcisam pro τροφιμον esse ait. Ita, ϝλιπ' ελαιῳ, Κ. 577.

308. πολυπλαγκτηφιν ιωης. e venti multivago flatu: Vulgò, πολυπλαγκτοιο, contra metrum; sic, πολυφορβην, Ι. 564. Vide Δ. 276.

310. αμηχανα ϝεργα. inconsulta opera: irremediabilia.

318. εσται ϝηδος. erit gaudium: Vulgò, εσσεται ηδος· vide Α. 576.

319. Τρωσι κρατος δουναι πολυ βουλεται. Trojanis vim dare multò mavult: Vulgò, Τρωσιν δη βουλεται δουναι κρατος, quod βοϝλεται fuisse indicat, ut et, αλλα

Δουρι βαλων κατα μαζον αριστερον· αυταρ Οδυσσευς
Αντιθεον θεραποντα Μολιονα τοιο ϝανακτος.
Τους μεν επειτ' ειϝασαν, επει πολεμου απεπαυσαν.
Τω δ' αν' ὁμιλον ιοντε κυδοιμεον, ὡς ὁτε καπρω
Εν κυσι θηρευτῃσι ϝμεγα φρονεοντε πεσητον·
Ὡς ολεκον Τρωας παλινορμενω· αυταρ Αχαιοι
Ασπασιως φευγοντες ανεπνεον Ἑκτορα διον.
Ενθ' εϝλετην διφρον τε και ανερε, δημου αριστω,
Υἱε δυω Ϝμεροπος Περκωσιου, ὁς περι παντων
Ϝοιδεε μαντοσυνας· ουδ' αρ ϝους παιδας εϝασκε
Στειχειν ες πολεμον φθισηνορα· τω δε ϝοι ουτι
Πειθεσθην· κηρες γαρ αγον μελανος θανατοιο.
Τους μεν Τυδεΐδης δουρικλεῖτος Διομηδης,
Θυμου και ψυχης κεκαδων, κλυτα τευχε' απεϝρα·
Ἱπποδαμον δ' Οδυσευς και Ὑπειροχον εξεναριξεν.
Ενθα σφιν κατα ϝισα μαχην ετανυσσε Κρονιων,
Εξ Ιδης καθορῶν· οἱ δ' αλληλους εναριζον.
Ητοι Τυδεος υἱος Αγαστροφον ουτασε δουρι
Παιονιδην ἡρωα, κατ' ισχιον· ουδε ϝοι ἱπποι
Εγγυς εσαν προφυγειν· αϝασατο δε ϝμεγα θυμῳ·
Τους μεν γαρ θεραπων απανευθ' εχεν· αυταρ ὁ πεζος
Θυνε δια προμαχων, εἱος φιλον ωλεσε θυμον.
Ἑκτωρ δ' οξυ νοησε κατα στιχας, ωρτο δ' επ' αυτους
Κεκληγως· ἁμα δε Τρωων ἑσποντο φαλαγγες.
Τον δε ϝιδων ϝριγησε βοην αγαθος Διομηδης,
Αιψα δ' Οδυσσηα προσεφωνεεν εγγυς εοντα·

βολεσθε, Od. π. 387; alii βολεται scribunt. Satius tamen duxi verba transponere; vide P. 331, A. 112. Potuit etiam, Βουλετο Τρωεσσιν, scripsisse; K. 45. Knightius, τροϝεσι βουληται· A. 67.

339. ουδε ϝοι ἱπποι. neque ei equi: Ita Bentleius, ut M. 50. Vulgò, ου γαρ οἱ ἱπποι, quod forsitan ferri potest, ut sit articulus. Scholiastes, ουδε γαρ ἱπποι, habet, quod Heynius edidit.

340. αϝασσατο δε ϝμεγα θυμῳ· erravit verò multùm animo. Prima syllaba augmento producitur, ut I. 116. Forsitan etiam, προφυγεσθαι.

348. Αλλ' αγε δη στεομεν. Sed age revera stemus: Subjunctivus antiquus, ut, ιομεν, ἑομεν, ϝειδομεν, κιχειομεν· A. 62. Ita MSS. plerique; alii, στεωμεν, et unus, σταιωμεν· vide E. 598.

Νωϊν δη τοδε πημα κυλινδεται οβριμος Ἑκτωρ·
Αλλ᾽ αγε δη στεομεν, και αλεξωμεσθα μενοντες.
Η ϝρα, και αμπεπαλων προϊει δολιχοσκιον εγχος,
Και βαλεν, ουδ᾽ αφαμαρτε τιτυσκομενος κεφαληφιν,
Ακρην κακκορυθα· πλαγχθη δ᾽ απο χαλκοφι χαλκος,
Ουδ᾽ ἱκετο χροα καλον· εϝρυκακε γαρ τρυφαλεια
Τριπτυχος, αυλωπις, την ϝοι πορε Φοιβος Απολλων.
Ἑκτωρ δ᾽ ωκ᾽ απελεθρον ανεδραμε, μικτο δ᾽ ὁμιλῳ·
Στη δε γνυξ εριπων, και ερεισατο χειρι παχειῃ
Γαιης· αμφι δε ϝοσσε κελαινη νυξ εκαλυψεν.
Ὀϝρα δε Τυδεϊδης μετα δουρατος ῳχετ᾽ εϝρωην,
Τηλε δια προμαχων, ὁθι ϝοι κατεϝισατο γαιης·
Τοϝρ᾽ Ἑκτωρ αμπνυτο, και αψ ες διφρον ορουσας,
Εξελασ᾽ ες πληθυν, και αλευατο κηρα μελαιναν.
Δουρι δ᾽ επαϊσσων προσεφη κρατερος Διομηδης·
Εξ αυ νυν εφυγες θανατον, κυον· η τε τοι αγχι
Ηλθε κακον· νυν αυτε σ᾽ εϝρυσσατο Φοιβος Απολλων,
Ὡι μελλεις ευχεσθαι, ιων ες δουπον ακοντων.
Η θην σ᾽ εξανυω γε και ὑστερον αντιβολησας,
Ει που τις και εμοιγε Θεων επιταϝροθος εστι·
Νυν αυ τους αλλους επιϝισομαι, ὁν κε κιχειω.
Η, και Παιονιδην δουρικλυτον εξεναριξεν.
Αυταρ Αλεξανδρος, Ἑλενης ποσις ηϋκομοιο,
Τυδεϊδῃ επι τοξα τιταινετο, ποιμενι λαων,
Στηλῃ κεκλιμενος, ανδροκμητῳ επι τυμβῳ,
Fιλου Δαρδανιδαο, παλαιου δημογεροντος.

---

351. απο χαλκοφι χαλκος. ab ære æs: Forsitan, απο χαλκοθε· Λ. 44.

354. ωκ᾽ απελεθρον. citò immensùm: πελεθρον mensuræ genus est; Hesychius. Forsitan, ωκα πελεθρον, legi potest.

355. Στη δε γνυξ εριπων. Stetit verò in genu cadens: Knightius versus quatuordecim omittit, quia ex locis magis opportunis traducantur; Ε. 309, Υ. 449.

358. κατεϝισατο. deorsum ruebat: a καταϝιεμαι· Δ. 138.

362. η τε τοι αγχι. revera tibi prope: Forsitan, η σεθιν αγχι.

367. επιϝισομαι. irruam: ab επιϝιεμαι· Δ. 138.

371. Στηλῃ κεκλιμενος. columnæ innisus: vide Ν. 437, Π. 457, 675, Ρ. 434. Monumentum videtur columna unica fuisse.

Ητοι ὁ μεν θωρηκα παναιολον ιφθιμοιο
Αινυτ' απο στηθεσφιν Αγαστροφου, ασπιδα τ' ωμων,
Και κορυθα βριαρην· ὁ δε τοξου πηχυν ανελκε,
Και βαλεν, ουδε ϝεθιν ἁλιον βελος εκφυγε χειρος,
Ταρσον δεξιτεροιο ποδος· δια δ' αμπερες ιος
Εν γαιῃ κατεπηχθ'· ὁ δ' επ' αυτῳ ϝηδυ γελασσας,
Εκ λοχου αμπηδησε, και ευχομενος ϝεπος ηυδα·
Βεβλη', ουδ' ἁλιον βελος εκφυγεν· ὡς οφελον τοι,
Νειατον ες κενεωνα βαλων, εκ θυμον εϝλεσθαι·
Οὑτω κεν και Τρωες ανεπνευσαν κακοτητος,
Οἱ τε σε πεφρικασι, λεονθ' ὡς μηκαδες αιγες.
Τον δ' ου ταρβησας προσεφη κρατερος Διομηδης·
Τοξοτα, λωβητηρ, κεραακλαε, παρθενοπιπα·
Ει κε δη αντιβιον συν τευχεσι πειρηθειης,
Ου κεν τοι χραισμησι βιος και ταρφεες ιοι·
Νυν δε μ' επιγραψας ταρσον ποδος, ευχεαι αυτως.
Ουκ αλεγω, ὡς ει με γυνη βαλοι, η παϊς αφρων·
Κωφον γαρ βελος ανδρος αναλκιδος ουτιδανοιο.
Η τ' αλλως ὑπ' εμειο, και ει κ' ολιγον περ επαυρῃ,
Οξυ βελος πελεται, και ακηριον αιψα τιθησι·
Του δε, γυναικος μεν τ' αμφιδρυφοι εισι παρειαι,

---

373. θωρηκα παναιολον. thoracem variegatum: Vulgò, θωρηκα Αγαστροφου, et in versu sequenti, στηθεσφι παναιολον· verba transposui non modo ad hiatum tollendum, sed quòd locis aptiora sint. Heynius, θωρηκα τ'.

376. ουδε ϝεθιν. neque ei: Vulgò, ουδ' αρα μιν, quod in metrum peccat. Bentleius, ουδ' αρα ϝοι. Vide E. 270.

378. κατεπηχθ'· ὁ δ' επ' αυτῳ ϝηδυ γελασσας. figebatur; is vero in eum suave ridens: Ita B. 270, Ψ. 784. Vulgò, κατεπηκτο· ὁ δε μαλα ἡδυ γελασσας, quod ter in metrum peccat; numeros ex locis citatis supplevi.

380. Βεβλη'. Vulneraris: Ita Bentleius; alii, Βεβληαι, alii, Βεβλεαι.

385. κεραακλαε. arcubus insignis: Vulgò, divisim scribitur· παρθενοπιπα, virginum deceptor: ab οπιπευω· Hesychius.

386. Ει κε δη αντιβιον. Si tum revera adversus: Vulgò, Ει μεν δη, contra metrum; sed particula κε postulatur. πειρηθειης, experireris: Forsitan, πειρηθειῃς· sed similiter, Γ. 52, 54.

390. Κωφον. Vanum: αναισθητον, Hesychius. Barnesius κουφον edidit.

392. ακηριον. exanimum: a κῆρ.

403. προτι ϝμεγαλητορα θυμον. ad magnicordem animum: modò vocem fingere liceat. Vulgò, hic et in sex aliis locis, προς ὁν, quod in digamma

Παιδες δ' ορφανικοι· ὁ δε θ' αἱματι γαιαν ερευθων
Πυθεται· οιωνοι δε περι πλεες, ηε γυναικες.
  Ὡς φατο· του δ' Οδυσευς δουρικλυτος εγγυθεν ελθων
Εστη προσθ'· ὁ δ' οπισθε καθεζομενος, βελος ωκυ
Εκ ποδος ἑλκ'· οδυνη δε δια χροος ηλθ' αλεγεινη.
Ες διφρον δ' ανορουσε, και ἡνιοχῳ επετελλε
Νηυσιν επι γλαφυρῃσιν ελαυνεμεν· ηχθετο γαρ κῆρ.
Οιωθη δ' Οδυσευς δουρικλυτος, ουδε τις αυτῳ
Αργειων παρεμεινεν, επει φοβος ελλαβε παντας.
Οχθησας δ' αρα ϝειπε προτι ϝμεγαλητορα θυμον·
  Ω μοι εγω, τι παθω; ϝμεγα μεν κακον, αι κε φεβωμαι,
Πληθυν ταρβησας· το δε ϝριγιον, αι κε ϝαλωω
Μουνος· τους δ' αλλους Δαναους εφοβησε Κρονιων.
Αλλα τιη μοι ταυτα φιλος διελεξατο θυμος;
Ϝοιδα γαρ, ὁϝρα κακοι μεν αποιχονται πολεμοιο·
Ὁς δε κ' αριστευῃσι μαχῃ ενι, τονδε μαλα χρεῖ
Ἑσταμεναι κρατερως, ητ' εβλητ', ητ' εβαλ' αλλον.
  Εἱος ὁ ταυθ' ὡρμαινε κατα φρενα και κατα θυμον,
Τοϝρα δ' επι Τρωων στιχες ηλυθον ασπισταων·
Ϝελσαν δ' εν μεσσοισι, μετα σφισι πημα τιθεντες.
Ὡς δ' ὁτε καπριον αμφι κυνες θαλεροι τ' αιζηοι

---

peccat; A. 72; ϝον tamen omittitur, I. 255, 671, Od. ι. 299. Bentleius, ϝειπεν εϝον, vel, αρ εφη ποτι ϝον, proposuit.

404. Ω μοι εγω, τι παθω; Hei mihi, quid faciam? propriè, quid patiar?

409. χρεῖ. opus est: Vulgò, χρεω· vide I. 75.

410. ητ' εβλητ', ητ' εβαλ' αλλον. utrùm vulneretur, an vulneret alium: pro εβεβλητο, reduplicatione omissâ; ita βλησθαι, et βλημενος.

413. Ϝελσαν. Cogebant: A. 409. μετα σφισιν. inter se damnum ponentes: multos enim eorum interfecturus erat.

414. Ὡς δ' ὁτε καπριον αμφι.

Ac velut ille canum morsu de montibus altis
Actus aper, multos Vesulus quem pinifer annos
Defendit, multosque palus Laurentia, sylvâ
Pastus arundineâ; postquam inter retia ventum est,
Substitit, infremuitque ferox, et inhorruit armos;
Nec cuiquam irasci, propriùsve accedere virtus,
Sed jaculis, tutisque procul clamoribus instant;
Ille autem impavidus partes cunctatur in omnes
Dentibus infrendens, et tergo decutit hastas. Æn. x. 707.

Ϝσευονται· ὁ δε τ' εισι βαθειης εκ ξυλοχοιο,
Θηγων λευκον οδοντα μετα γναμπτῃσι γενυσσιν·
Αμφι δε ϝ' αΐσσονται· ὑπαι δε τε κομπος οδοντων
Γιγνεται· οἱ δε μενουσιν αφαρ δεινον περ εοντα·
Ὡς ϝρα τοτ' αμφ' Οδυσηα, Διϊ φιλον, εϝσευοντο
Τρωες· ὁ δε πρωτον μεν αμυμονα Δηϊοπιτην
Ουτασεν, ωμον ὑπερθεν, επαλμενος οξεϊ δουρι·
Αυταρ επειτα Θοωνα, και Εννομον εξεναριξε·
Χερσιδαμαντα δ' επειτα, καθ' ἱππων αΐξαντα,
Δουρι κατα προτμησιν, ὑπ' ασπιδος ομφαλοεσσης,
Νυξεν· ὁ δ' εν κονιηθι πεσων, ϝελε γαιαν αγοστῳ.
Τους μεν εϝασ'· ὁ δ' αρ Ἱππασιδην Χαροπ' ουτασε δουρι,
Αυτοκασιγνητον ευηγενεος Σωκοιο.
Τῳ δ' επαλεξησων Σωκος κιε, ϝισοθεος φως·
Στη δε μαλ' εγγυς ιων, και μιν προς μυθον εϝειπεν·
Ω Οδυσευ πολυαινε, δολων αϝατ', ηδε πονοιο,
Σημερον η δοιοισιν επευξεαι Ἱππασιδῃσι,
Τοιωδ' ανδρε κατακτεινας, και τευχε' αποϝρας,
Η κεν εμῳ ὑπο δουρι τυπεις απο θυμον ολεσσεις.
Ὡς ϝειπων, ουτησε κατ' ασπιδα παντοσε ϝισην·
Το ϝρα δι' ασπιδος ηλθε φαεινης οβριμον εγχος,
Και δια θωρηκος πολυδαιδαλου ηρηρειστο·
Παντα δ' απο πλευρων χρο' εεργαθεν· ουδε ϝ' εϝασε
Παλλας Αθηναιη μιχθημεναι εγκασι φωτος.
Γνω δ' Οδυσευς, ὁ ϝοι ουτι βελος κατακαιριον ηλθεν·
Αψ δ' αναχωρησας Σωκον προς μυθον εϝειπεν·
Α δειλ', η μαλα δη σε κιχανεται αιπυς ολεθρος·
Ητοι μεν ϝρ' εμ' επαυσας επι Τρωεσσι μαχεσθαι·
Σοι δ' εγω ενθαδε φημι φονον και κηρα μελαιναν

---

417. ϝε. eum: Vulgò, τε, et similiter Λ. 437.

427. ευηγενεος. bene nati: Ita MSS. omnes, et ita Hesychius; ita etiam ὑπερηφανος, et επηϝετανος. Heynius εὐγενεος proposuit, Knightius ηΰγενεος edidit. Iterum occurrit, Ψ. 81.

454. ϝερυουσι. trahunt: Vulturum mos est exercitus sequi, et præliis

Ηματι τῳδ' εσσεσθαι· εμῳ δ' ὑπο δουρι δαμεντα,
Ευχος εμοι δωσειν, ψυχην δ' Αϝιδι κλυτοπωλῳ.
Η· και ὁ μεν φυγαδ' αυτις ὑποστρεψας εβεβηκει·
Τῳ δε μεταστρεφθεντι μεταφρενῳ εν δορυ πηξεν
Ωμων μεσσηγυς, δια δε στηθεσφιν ελασσε·
Δουπησεν δε πεσων· ὁ δ' επευξατο διος Οδυσσευς·
Ω Σωχ', Ἱππασου υἱε δαΐφρονος ἱπποδαμοιο,
Φθη σε τελος θανατοιο κιχημενον, ουδ' ὑπαλυξας.
Α δειλ', ου μεν σοιγε πατηρ και ποτνια μητηρ
Οσσε καθαιρησουσι, θανοντι περ, αλλ' οιωνοι
Ωμησται ϝερυουσι, περι πτερα πυκνα βαλοντες·
Αυταρ επει κε θανω, κτεριουσι με διοι Αχαιοι.
Ὡς ϝειπων, Σωκοιο δαΐφρονος οβριμον εγχος
Εξω τε χροος ἑλκε, και ασπιδος ομφαλοεσσης·
Αἱμα δε ϝοι σπασθεντος ανεϝσυτο, κηδε δε θυμον.
Τρωες δε ϝμεγαθυμοι, επει ϝιδον αἱμ' Οδυσηος,
Κεκλομενοι καθ' ὁμιλον επ' αυτῳ παντες εβησαν.
Αυταρ ὁγ' εξοπισω ανεχαζετ', αΰσε δ' ἑταϝρους·
Τρις μεν επειτ' ηϋσεν, ὁσον κεφαλη χαδε φωτος·
Τρις δ' αΐεν ιαχοντος Αϝρηΐφιλος Μενελαος·
Αιψα δ' αρ Αιαντα προσεφωνεεν, εγγυς εοντα·
Αιαν Διογενες, Τελαμωνιε, κοιρανε λαων,
Αμφι μ' Οδυσσηος ταλασιφρονος ἱκετ' αΰτη,
Τῳ ϝικελη, ὡς ει ϝε βιῳατο μουνον εοντα
Τρωες, αποτμηξαντες ενι κρατερῃ ὑσμινῃ.
Αλλ' ιομεν καθ' ὁμιλον· αλεξεμεναι γαρ αμεινον·
Δειδω, μη τι παθησιν ενι Τρωεσσι μονωθεις,
Εσθλος εων, ϝμεγαλη δε ποθη Δαναοισι γενηται.
Ὡς ϝειπων, ὁ μεν ηρχ', ὁ δ' ἁμ' ἑσπετο ϝισοθεος φως·

---

interesse. Barnesius σ' ερυσουσι induxit; MSS. ερυουσι. Knightius versum sequentem damnat, et versum 432 sine monitu omittit.

461. ανεχαζετ', αΰσε δ' ἑταϝρους. recessit, vocavit verò socios: Vulgò, ανεχαζετο, αυε δ' ἑταιρους· quod in metrum peccat.

467. ὡς ει ϝε βιῳατο. ut si eum urgerent: pro βιαοιντο.

Εὑρον επειτ᾽ Οδυσηα, Διϊ φιλον· αμφι δ᾽ αρ αυτον
Τρωες ἑπον, ὡς ει τε δαφοινοι θωες ορεσσιν
Αμφ᾽ ελαφον κεραον βεβλημενον, ὁν τ᾽ εβαλ᾽ ανηρ
Ιῳ απο νευρης· τον μεν τ᾽ ηλυξε ποδεσσι
Φευγων, ὁϝρ᾽ αἱμα χλιαρον, και γουνατ᾽ ορωρῃ·
Αυταρ επει δη τονγε δαμασσεται ωκυς οϊστος,
Ωμοφαγοι μιν θωες εν ουρεσι δαρδαπτουσιν,
Εν νεμεϊ σκιερῳ· επι τε ϝλιν ηγαγε δαιμων
Σιντην· θωες μεν τε διετρεσαν, αυταρ ὁ δαπτει·
Ὡς ϝρα τοτ᾽ αμφ᾽ Οδυσηα δαϊφρονα ποικιλομητην
Τρωες ἑπον πολλοι τε και αλκιμοι· αυταρ ὁγ᾽ ἡρως
Αϊσσων, ϝεθεν εγχει αμυνετο νηλεες ημαρ.
Αιας δ᾽ εγγυθεν ηλθε, φερων σακος, ηϋτε πυργον,
Στη δε παρεξ· Τρωες δε διετρεσαν αλλυδις αλλος.
Ητοι τον Μενελαος Αϝρηϊος εξαγ᾽ ὁμιλου,
Χειρος εχων, εἱος θεραπων σχεδον ηλασεν ἱππους.
Αιας δε, Τρωεσσιν επαλμενος, εϝλε Δορυκλον
Πριαμιδην, νοθον υἱον· επειτα δε Πανδοκον ουτα·
Ουτα δε Λυσανδρον, και Πυρασον, ηδε Πυλαρτην.
Ὡς δ᾽ ὁποτε πληθων ποταμος πεδιονδε κατεισι
Χειμαϝροος κατ᾽ ορεσφιν, οπαζομενος Διος ομβρῳ·
Πολλας δε δρυς αζαλεας, πολλας δε τε πευκας
Εσφερεται, πολλον δε τ᾽ αφυσγετον εις ἁλα βαλλει·
Ὡς εφεπε κλονεων πεδιον τοτε φαιδιμος Αιας,
Δηϊοων ἱππους τε και ανερας· ουδε πω Ἑκτωρ
Πευθετ᾽· επει ϝρα μαχης επ᾽ αριστερα μαρνατο πασης,

---

474. Τρωες ἑπον. Trojani insectabantur: Ita Eustathius, et ita Λ. 483. Vulgò, ἑπονθ᾽, pro ἑποντο, quod forsitan ferri potest; sed αμφις ἑπομαι nusquam occurrit. Vide Β. 525, Λ. 483.

474. δαφοινοι θωες. fulvi lupi: vulpis genus, quorum magnus in omni Oriente numerus; semper catervatim eunt. Anglicè, *jackalls*.

477. αἱμα χλιαρον. sanguis calidus: Vulgò, λιαρον· sed duplicem consonantem postulat, Ξ. 164, Od. ε. 268, et sæpe vocales breves producit. Formam igitur usitatam admisi.

480. επι τε ϝλιν ηγαγε Δαιμων. leonemque adduxit Deus: Locus digamma postulat; vide Λ. 239, Ε. 782. σιντης, rapax, a σινω, lædo.

483. Τρωες ἑπον πολλοι τε. Trojani insectabantur multique: Ita MSS.

Οχθας παρ ποταμοιο Σκαμανδρου· τῃ ϝρα μαλιστα
Ανδρων πιπτε καρηνα, βοη δ' ασβεστος ορωρει,
Νεστορα τ' αμφι ϝμεγαν, και Αϝρηϊον Ιδομενηα·
Ἑκτωρ μεν μετα τοισιν ὁμιλει, μερμερα ϝρεζων
Εγχεϊ θ', ἱπποσυνῃ τε· νεων δ' αλαπαζε φαλαγγας.
Ουδε κε πω χαζοντο κελευθου διοι Αχαιοι,
Ει μη Αλεξανδρος, Ἑλενης ποσις ηϋκομοιο,
Παυσεν αριστευοντα Μαχαονα, ποιμενα λαων,
Ιῳ τριγλωχινι βαλων κατα δεξιον ωμον.
Τῳ ϝρα περιδδεισαν μενεα πνειοντες Αχαιοι,
Μη πως μιν, πολεμοιο μετακλινθεντος, εϝλοιεν.
Αυτικα δ' Ιδομενευς προσεφωνεε Νεστορα διον·
  Ω Νεστορ Νηληϊαδη, ϝμεγα κυδος Αχαιων,
Αγρει, σων οχεων επιβησεο· παρ δε Μαχαων
Βαινετω· ες νηας δε ταχιστ' εχε μωνυχας ἱππους·
Ιητρος γαρ ανηρ πολλων ανταξιος αλλων,
Ιους τ' εκταμνειν, επι τ' ηπια φαρμακα πασσειν.
  Ὡς εφατ'· ουδ' απιθησε Γερηνιος ἱπποτα Νεστωρ·
Αυτικα ϝων οχεων επεβησατο· παρ δε Μαχαων
Βαιν', Ασκληπιου υἱος αμυμονος ιητηρος·
Fμαστιξεν δ' ἱππους, τω δ' ουκ αϝεκοντε πετεσθην,
Νηας επι γλαφυρας· τῃ γαρ φιλον επλετο θυμῳ.
  Κεβριονης δε Τρωας ορινομενους ενοησεν,
Ἑκτορι παρβεβαως, και μιν προς μυθον εϝειπεν·
  Ἑκτορ, νωϊ μεν ενθαδ' ὁμιλεομεν Δαναοισιν,
Εσχατιῃ πολεμοιο δυσηχεος· οἱ δε δη αλλοι

---

plerique et editiones; alii ἑποντο, contra metrum; Bentleius, πολεις τε, voluit. Hesychius, Ἑπουσιν, ενεργουσιν, ακολουθουσιν. Ἑπω plerumque ministrandi, ἑπομαι sequendi, vim habent; idem tamen verbum sunt, et sensum quendam mixtum habent. Confer Κ. 516, Ο. 555, Ζ. 321, Δ. 202, Λ. 474.

484. ϝεθεν. a se: Vulgò, ᾧ εγχει· vide Λ. 180, 208, Λ. 587.

495. αφυσγετον. aquam turbidam: ab αφυσσω, haurio.

497. Δηϊοων. Vastans: Vulgò, Δαϊζων, contra metrum.

515. Ιους. Grammatici damnant, Knightio, quod mirum est, renuente.

517. Αυτικα ϝων οχεων. Statim suum currum: Vulgò, Αυτικα δ' ὡν οχεων· αυτικα tamen per se nectit; ut Λ. 539.

Τρωες ορινονται επιμιξ ἱπποι τε και αυτοι.
Αιας δε κλονεει Τελαμωνιος· ευ δε μιν εγνων·
Ευρυ γαρ αμφ' ωμοισιν εχει σακος· αλλα και ἡμεις
Κεισ' ἱππους τε και ἁρμ' ιθυνομεν, ενθα μαλιστα
Ἱππηες πεζοι τε, κακην εριδα προβαλοντες,
Αλληλους ολεκουσι· βοη δ' ασβεστος ορωρεν.
Ὡς αρα φωνησας, ιϝμασεν καλλιτριχας ἱππους
Ϝμαστιγι ϝλιγυρῃ· τοι δε, πληγης αϊοντες,
Ϝριμφ' εφερον θοον ἁρμα μετα Τρωας και Αχαιους,
Στειβοντες νεκυας τε και ασπιδας· αἱματι δ' αξων
Νερθεν ἁπας πεπαλακτο, και αντυγες αἱ περι διφρον,
Ἁς αρ αφ' ἱππειων ὁπλεων ϝραθαμιγγες εβαλλον,
Αἱ τ' απ' επισσωτρων· ὁ δε ϝιετο δυναι ὁμιλον
Ανδρομεον, ϝρηξαι τε, μεταλμενος· εν δε κυδοιμον
Ἡκε κακον Δαναοισι, μινυνθα δε χαζετο δουρος.
Αυταρ ὁ των αλλων επεπωλειτο στιχας ανδρων,
Εγχεϊ τ', αορι τε, ϝμεγαλοισι τε χερμαδιοισιν·
Αιαντος δ' αλεεινε μαχην Τελαμωνιαδαο.
Ζευς δ' Αιαντι πατηρ ὑψιζυγος εν φοβον ωρσε·
Στη δε ταφων, οπιθεν δε βαλεν σακος ἑπταβοειον,
Τρεσσε δε παπτηνας εφ' ὁμιλῳ, θηρι ϝεϝοικως,
Εντροπαλιζομενος, ολιγον γονυ γουνος αμειβων.
Ὡς δ' αιθωνα λεοντα βοων απο μεσσαυλοιο
Εϝσευοντο κυνες τε και ανερες αγροιωται·
Οἱ τε μιν ουκ εϝοωσι βοων εκ πιαρ εϝλεσθαι,

---

534. Στειβοντες νεκυας τε. Calcantes cadaveraque:
Talis equos alacer media inter prœlia Turnus
Fumantes sudore quatit, miserabile cæsis
Hostibus insultans; spargit rapida ungula rores
Sanguineos, mixtâque cruor calcatur arenâ. Æn. xii. 337.

536. Ἁς αρ αφ' ἱππειων ὁπλεων ϝραθαμιγγες εβαλλον. Quas sanè ab equestribus ungulis guttæ feriebant, eæque a canthis: id est, guttæ.

546. Εντροπαλιζομενος. Sæpe se convertens: Z. 496.

547. Ὡς αιθωνα λεοντα. Ceu sævum turba leonem
Cùm telis premit infensis; at territus ille,
Asper, acerba tuens, retro dedit; et neque terga
Ira dare aut virtus patitur; nec tendere contrà

Παννυχοι εγρησσοντες· ὁ δε κρεατων ερατιζων,
Ιθυει· αλλ᾽ ουτι πρησσει· θαμεες γαρ ακοντες
Αντιοι αϊσσουσι θρασειαων απο χειρων,
Καιομεναι τε δεται, τας τε τρεει, εϝσυμενος περ·
Ηοοθεν δ᾽ απονοσφιν εβη τετιηοτι θυμῳ·
Ὡς Αιας τοτ᾽ απο Τρωων τετιημενος ητορ
Ηϊε πολλ᾽ αϝεκων· περι γαρ διε νηυσιν Αχαιων.
Ὡς δ᾽ ὁτ᾽ ονος παρ᾽ αρουραν ιων εβιησατο παιδας
Νωθης, ᾧ δη πολλα περι ϝροπαλ᾽ αμφι ϝαγησαν,
Κειρει τ᾽ εισελθων βαθυ λῃϊον· οἱ δε τε παιδες
Τυπτουσι ϝροπαλοισι· βιη δε τε νηπιη αυτων·
Σπουδῃ τ᾽ εξηλασσαν, επει κ᾽ εκορεσσατο φορβης·
Ὡς τοτ᾽ επειτ᾽ Αιαντα ϝμεγαν, Τελαμωνιον υἱον,
Τρωες ὑπερθυμοι, τηλεκλεϊτοι τ᾽ επικουροι,
Νυσσοντες ξυστοισι μεσον σακος, αιεν ἑποντο.
Αιας δ᾽ αλλοτε μεν μνησασκετο θουριδος αλκης,
Αυτις ὑποστρεφθεις, και εϝρητυσασκε φαλαγγας
Τρωων ἱπποδαμων· ὁτε δε τρωπασκετο φευγειν·
Παντας δε προεεργε θοας επι νηας ὁδευειν·
Αυτος δε Τρωων και Αχαιων θυνε μεσηγυ
Ἱσταμενος· τα δε δουρα θρασειαων απο χειρων,
Αλλα μεν εν σακεϊ ϝμεγαλῳ παγεν, ορμενα προσσω·
Πολλα δε και μεσσηγυ, παρος χροα λευκον επαυρειν,
Εν γαιῃ ἱσταντο, λιλαιομενα χροος ασαι.
Τον δ᾽ ὡς ουν ενοησ᾽ Ευαιμονος αγλαος υἱος,

Ille quidem hoc cupiens potis est per tela virosque;
Haud aliter retro dubius vestigia Turnus
Improperata refert, et mens exæstuat irâ. Æn. ix. 792.

550. κρεατων. carnium: Vulgò, κρειων, quod sæpe occurrit, sed nusquam, nisi ubi tres syllabas admittat, et thema est κρεας.

553. τας τε τρεει. quas etiam pavet: Vulgò, τας τε τρεῖ.

558. Νωθης. Tardus, quem revera multi circum baculi undique fracti sunt: Vulgò, αμφις εαγη, contra metrum; Γ. 367. Potuit etiam αμφις εϝαξαν scripsisse. Knightius εϝανχθη edidit.

561. επει κε. postquam: ut passim. Vulgò malè, επει τε.

573. λιλαιομενα χροος ασαι. cupientes cute satiare: Durus admodum est vocis activæ sine casu usus; vide Ε. 289; forsitan ἁψαι, attingere, legendum. Sæpe anima quædam telis inesse fingitur.

Ευρυπυλος, πυκινοισι βιαζομενον βελεεσσι,
Στη ϝρα παρ' αυτον ιων, και ακοντισε δουρι φαεινῳ,
Και βαλε Φαυσιαδην Απισαονα, ποιμενα λαων,
Ἡπαρ ὑπο πραπιδων, ειθαρ δ' ὑπο γουνατ' ελυσεν·
Ευρυπυλος δ' επορουσε, και αινυτο τευχε' απ' ωμων.
Τον δ' ὡς ουν ενοησεν Αλεξανδρος θεοϝειδης
Τευχε' απαινυμενον Απισαονος, αυτικα τοξον
Ἑλκεν επ' Ευρυπυλῳ, και μιν βαλε μηρον οϊστῳ
Δεξιον· εκλασθη δε δοναξ, εβαρυνε δε μηρον.
Αψ δ' ἑταϝρων ες ϝεθνος εχαζετο, κηρ' αλεεινων,
Ηϋσεν δε διαπρυσιον Δαναοισι γεγωνως·
Ω φιλοι Αργειων ἡγητορες, ηδε μεδοντες,
Στητε ϝελιχθεντες, και αμυνετε νηλεες ημαρ
Αιαντος, ὁ βελεσσι βιαζεται, ουδε ϝε φημι
Φευξεσθ' εκ πολεμοιο δυσηχεος· αλλα μαλ' αντην
Ἱστασθ' αμφ' Αιαντα ϝμεγαν, Τελαμωνιον υἱον.
Ὡς εφατ' Ευρυπυλος βεβλημενος· οἱ δε παρ' αυτον
Πλησιοι εστησαν σακε' ωμοισι κλιναντες,
Δουρατ' ανασχομενοι· των δ' αντιος ηλυθεν Αιας·
Στη δε μεταστρεφθεις, επει ἱκετο ϝεθνος ἑταϝρων·
Ὡς οἱ μεν μαρναντο, δεμας πυρος αιθομενοιο.
Νεστορα δ' εκ πολεμοιο φερον Νηληϊαι ἱπποι
Ἱδρωουσαι, αγον δε Μαχαονα, ποιμενα λαων.
Τον δε ϝιδων ενοησε ποδαρκης διος Αχιλλευς·
Ἑστηκει γαρ επι πρυμνῃ ϝμεγακητεϊ νηϊ,
Εισορoων πονον αιπυν, ιωχην τε κρυοεσσαν·
Αιψα δ' ἑταϝρον εϝον Πατροκλεεα προσεϝειπε,

---

583. εκλασθη δε δοναξ. hæret lateri lethalis *arundo*. Æn. iv. 73.

587. Στητε ϝελιχθεντες. State conversi: Vulgò, ελελιχθεντες· Λ. 317, 530.

588. Αιαντος, ὁ βελεσσι βιαζεται. Ab Ajace, qui telis urgetur: Vulgò, Αιανθ', ὁς βελεεσσι βιαζεται· sed dativus in ι elidi nequit. Zenodotus Αιαντι unâ voce legebat, et αμυνω cum accusativo genitivum regit, Μ. 155, 403, Δ. 11.

595. δεμας πυρος αιθομενοιο. corpus ignis ardentis; Ita σελας, Θ. 559.

Φθεγξαμενος παρα νηος· ὁ δε κλισιηθεν ακουσας
Εκμολε ϝισος Αϝρηϊ· κακου δ᾽ αρα ϝοι πελεν αρχη.
Τον προτερος προσεϝειπε Μενοιτιου αλκιμος υἱος·
Τιπτε με κικλησκεις, Αχιλευ, τι δε σε χρεῖ εμειο;
Τον δ᾽ απαμειβομενος προσεφη ποδας ωκυς Αχιλλευς·
Διε Μενοιτιαδη, εμεθιν κεχαρισμενε θυμῳ,
Νυν οἴω περι γουνατ᾽ εμα στησεσθαι Αχαιους
Ϝλισσομενους· χρειω γαρ ἱκανεται ουκ ετ᾽ ανεκτος.
Αλλ᾽ ιθι νυν, Πατροκλε, Διϊ φιλε, Νεστορ᾽ εϝρεσθαι,
Ὁν τινα τουτον αγει βεβλημενον εκ πολεμοιο·
Ητοι μεν ταγ᾽ οπισθε Μαχαονι παντα ϝεϝοικε
Τῳ Ασκληπιαδῃ, αϝαρ ου ϝιδον ομματα φωτος·
Ἱπποι γαρ με παρηϊξαν, προσσω μεμαυιαι.
Ὡς φατο· Πατροκλος δε φιλῳ επεπειθεθ᾽ ἑταϝρῳ·
Βη δε θεειν παρα τε κλισιας και νηας Αχαιων.
Οἱ δ᾽ ὁτε δη κλισιην Νηληϊαδεω αφικοντο,
Αυτοι μεν ϝρ᾽ απεβησαν επι χθονα πουλυβοτειραν·
Ἱππους δ᾽ Ευρυμεδων θεραπων λυε τοιο γεροντος
Εξ οχεων· οἱ δ᾽ ἱδρο᾽ απεψυχοντο χιτωνων,
Σταντε ποτι πνοιην παρα θιν᾽ ἁλος· αυταρ επειτα
Ες κλισιην ελθοντες, επι κλισμοισι καθιζον.
Τοισι δε τευχε κυκειω εϋπλοκαμος Ἑκαμηδη,
Την αρετ᾽ εκ Τενεδοιο γερων, ὁτε περσεν Αχιλλευς,
Θυγατερ᾽ Αρσινοου ϝμεγαλητορος, ἡν ϝοι Αχαιοι
Εκϝελον, οὑνεκα βουλῃ αριστευεσκεν ἁπαντων·
Ἡ σφωϊν πρωτον μεν επιπροϊηλε τραπεζαν
Καλην, κυανοπεζαν, εϋξοον· αυταρ επ᾽ αυτῃ

597. Ἱδρωουσαι. Sudantes: Vulgò, Ἱδρωσαι· sed verbum est ἱδρωω, et contrahi nequit; Θ. 543, Λ. 119. Miror hoc Knightium fugisse.

600. ιωχην τε κρυοεσσαν. clamoremque horrificum: ita Ε. 740. Vulgò, ιωκα τε δακρυοεσσαν· sed forma ιωξ non alibi occurrit.

607. εμεθιν κεχαρισμενε θυμῳ· mihi carissime animo: Pars et persona in eodem casu, ut Α. 24; εμεθιν dativus est, ut σεθιν, Λ. 201. Vulgò, τῳ᾽ μῳ· sed Homerus vocales non ita abscindit. Knightius, μαλ᾽ εμῳ.

610. εϝρεσθαι. percunctari: Infinitivus passim verba motûs sequitur, ut Β. 10. Vulgò, ερειο· sed hæc forma non alibi occurrit. Potuit etiam scripsisse, και εϝρεο Νεστορα διον.

Χαλκειον κανεον· επι δε, κρομυον ποτῳ οψον,
Ηδε μελι χλωρον, παρ δ' αλφιτου ἱερου ακτην·
Παρ δε δεπας περικαλλες, ὁ ϝοικοθεν ηγ' ὁ γεραιος,
Χρυσειοις ἡλοισι πεπαρμενον· ουατα δ' αυτου
Τεσσαρ' εσαν, δοιαι δε πελειαδες αμφι ϝεκαστον
Χρυσειαι νεμεθοντο, δυω δ' ὑπο πυθμενες ησαν.
Αλλος μεν μογεων αποκινησασκε τραπεζης,
Πλειον εον· Νεστωρ δ' ὁ γερων αμογητις αειρεν.
Εν τῳ ϝρα σφι κυκησε γυνη, ϝεϝικυια Θεῃσιν,
Ϝοινῳ Πραμνειῳ, επι δ' αιγειον κνεε τυρον
Κνηστιϊ χαλκειῃ, επι δ' αλφιτα λευκα παλυνε·
Πινεμεναι δ' εκελευσεν, επει ϝρ' ὡπλισσε κυκειω.
Τω δ' επει ουν πινοντ' αφετην πολυκαγκεα διψαν,
Μυθοισιν τερποντο προς αλληλους ϝενεποντες·
Πατροκλος δε θυρῃσιν εφιστατο, ϝισοθεος φως.
Τον δε ϝιδων ὁ γεραιος απο θρονου ωρτο φαεινου,
Ες δ' αγε χειρος εϝλων, κατα δ' ἑδριαασθαι ανωγε·
Πατροκλος δ' ἑτερωθεν αναινετο, ϝειπε τε μυθον·
Ουχ ἑδος εστι, γεραιε Διοτρεφες, ουδε με πεισεις.
Αιδοιος, νεμεσητος, ὁ με προεηκε πυθεσθαι,
Ὁν τινα τουτον αγεις βεβλημενον· αλλα και αυτος
Γιγνωσκω· ὁροω δε Μαχαονα, ποιμενα λαων.
Νυν δε, ϝεπος ϝερεων, παλιν αγγελος ειμ' Αχιληϊ·
Ευ δε συ ϝοισθα, γεραιε Διοτρεφες, οἱος εκεινος
Δεινος ανηρ· ταχα κεν και αναιτιον αιτιοῳτο.

---

629. χαλκειον κανεον. Æream patinam: κρομυον ποτῳ οψον. cepam, quæ potui gustum præbet:

630. παρ δ' αλφιτου ἱερου ακτην. juxta verò farinæ sacræ pollen: id est, partem optimam, furfure remoto. Hesychius.

634. δυω δ' ὑπο πυθμενες ησαν. duo verò subter fundi erant: Non αμφικυπελλον fuisse intelligo, sed duo fulcra habuisse; non nisi δεπας duos fundos habebat, ita ut ex utrovis bibere liceret. Athenæus ὑποπυθμενες unâ voce legit, et duas fuisse subter columbas censet.

636. αμογητις αειρεν. sine labore sustulit: Ita Knightius; vulgò, αμογητι.

638. επι δ' αιγειον κνεε τυρον. super verò caprinum rasit caseum: Vulgò, κνη, a κνημι.

Τον δ' ημειβετ' επειτα Γερηνιος ἱπποτα Νεστωρ·
Τιπτε ϝρ' ὡδ' Αχιλευς ολοφυρεται υἱας Αχαιων,
Ὁσσοι δη βελεεσσι βεβληαται; ουδε τι ϝοιδε,
Πενθεος ὁσσον ορωρε κατα στρατον· οἱ γαρ αριστοι
Εν νηυσιν κεαται βεβλημενοι, ουταμενοι τε.
Βεβληται μεν ὁ Τυδεϊδης κρατερος Διομηδης·
Ουτασται δ' Οδυσευς δουρικλυτος, ηδ' Αγαμεμνων·
Βεβληται δε και Ευρυπυλος κατα μηρον οϊστῳ·
Τουτον δ' αλλον εγω νεον ηγαγον εκ πολεμοιο,
Ιῳ απο νευρης βεβλημενον· αυταρ Αχιλλευς,
Εσθλος εων, Δαναων ου κηδεται, ουδ' ελεαιρει.
Η μενει, εισοκε δη νηες θοαι αγχι θαλασσης,
Αργειων αϝεκητι, πυρος δαϊοιο θερωνται,
Αυτοι τε κτεινωμεθ' επισχερω; ου γαρ εμη ϝις
Εσθ', οἱη παρος εσκεν ενι γναμπτοισι μελεσσιν.
Ειθ' ὡς ἡβαοιμι, βιη δε μοι εμπεδος ειη,
Ὡς ὁποτ' Ηλειοισι και ἡμιν νεικος ετυχθη
Αμφι βοηλασιην, ὁτ' εγω κτανον Ιτυμονηα,
Εσθλον Ὑπειροχιδην, ὁς εν Ηλιδι ναιεταασκε,
Ϝρυσι' ελαυνομενος· ὁ δ' αμυνων ϝῃσι βοεσσιν,
Εβλητ' εν πρωτοισιν εμης απο χειρος ακοντι,
Καδδ' επεσεν, λαοι δε περιτρεσαν αγροιωται.
Ληϊδα δ' εκ πεδιου συνελασσαμεν ηλιθα πολλην,
Πεντηκοντα βοων αγελας, τοσα πωεα μηλων,
Τοσσα συων συβοσεια, τοσ' αιπολια πλατε' αιγων·

---

641. πολυκαγκεα διψαν. peraridam sitim: Ita, ζυλα καγκανα, ligna arida.
656. Ὁσσοι δη βελεεσσι βεβληαται. Quot revera telis vulnerantur: βελεσιν Barnesius, Knightius, et Codex Harleianus. Εβλημαι tamen formaret, si primam corripere non potuit.
661. Ευρυπυλος. Knightius versum damnat, quia Nestor hunc vulneratum esse non novit.
667. επισχερω. seriatim: εφεξης, Hesychius. Ita, εν σχερῳ, Pindar. Nem. 11. 50. Σχερος, ακτη, αιγιαλη, in Hesychio, videtur pro χερσος esse.
676. ηλιθα. valde: ter in Odysseâ legitur, sed nusquam nisi ante vocem πολλη.
677. Πεντηκοντα βοων. Knightius totum locum damnat usque ad versum 760, et iterum a 766 ad 784, et a 791 ad 802; nonnulla quidem emen-

Ἱππους δε ξανθας ἑκατον και πεντηκοντα,
Πασας θηλειας· πολλῃσι δε πωλοι ὑπησαν.
Και τα μεν ηλασαμεσθα Πυλον Νηληϊον εισω,
Εννυχιοι προτι ϝαστυ· γεγηθει δε φρενα Νηλευς,
Οὑνεκα μοι τυχε πολλα νεῳ πολεμονδε κιοντι.
Κηρυκες δ᾽ εϝλιγαινον, ἁμ᾽ Ηοϊ φαινομενηθι,
Τους ιμεν, οἱσι χρειος οφειλετ᾽ εν Ηλιδι διῃ.
Οἱ δε συναγρομενοι Πυλιων ἡγητορες ανδρες
Δαιτρευον· πολεσιν γαρ Επειοι χρειος οφειλον·
Ὡς ἡμεις παυροι κεκακωμενοι εν Πυλῳ ημεν.
Ελθων γεϝρ᾽ εκακωσε βιη Ἡρακλεεειη,
Των προτερων ϝετεων· κατα δ᾽ εκταθεν ὁσσοι αριστοι.
Δωδεκα γαρ Νηληος αμυμονες ὑϊες ημεν,
Των οιος λιπομην, οἱ δ᾽ αλλοι παντες ολοντο.
Ταυθ᾽ ὑπερηφανεοντες Επειοι χαλκοχιτωνες,
Ἡμεας ὑβριζοντες, ατασθαλα μηχανοωντο.
Εκ δ᾽ ὁ γερων αγελην τε βοων και πωϋ ϝμεγ᾽ οιων
Εϝλετο, κριναμενος τε τριηκοσι᾽, ηδε νομηας.
Και γαρ τῳ χρειος ϝμεγ᾽ οφειλετ᾽ εν Ηλιδι διῃ,
Τεσσαρες ἱπποι αεθλοφοροι αυτοισιν οχεσσιν,
Ελθοντες μετ᾽ αεθλα· περι τριποδος γαρ εμελλον
Θευσεσθαι· τους δ᾽ αυθι ϝαναξ ανδρων Αυγειας
Κασχεθε· τον δ᾽ ελατηρ᾽ αφιει ακαχημενον ἱππων.
Των ὁ γερων ϝεπεων κεχολωμενος ηδε τε ϝεργων,
Εκϝελετ᾽ ασπετα πολλα, τα δ᾽ αλλ᾽ ες δημον εδωκε

---

datione egent, et alio stylo scripta videntur. Similia tamen in Odyssea leguntur. Forsitan poeta hæc jam senior, inque aliâ civitate degens, in posteriore quâdam editione inseruit. Vide Θ. 350.

677. τοσα πωεα μηλων. tot greges ovium: Ita Bentleius; vulgò, οιων, ut et Od. ξ. 100, ubi eadem hæc leguntur.

678. συων συβοσεια. suum greges: Alii, συβοσια.

684. εϝλιγαινον. clarè clamabant: a ϝλιγυς· verbum non alibi occurrit.

696. κριναμενος τε τριηκοσι᾽, ηδε νομηας. seligensque trecentos, atque pastores: Sic, παρα τε κλισιῃ και νηϊ μελαινῃ, Λ. 329, 307. Vulgò τε omittitur, metro imperfecto; malè Clarkius κε inseruit; Bentleius, κρινας μηλα, ex Od. φ. 18.

Δαιτρευειν, μη τις ϝοι ατεμβομενος κιοι αισης.
Ἡμεις μεν τα ϝεκαστα διειπομεν, αμφι τε ϝαστυ
Ϝερδομεν ἱρα Θεοις· οἱ δε τριτῳ ηματι παντες
Ηλθον ὁμως αυτοι τε πολεις και μωνυχες ἱπποι
Πανσυδιῃ· μετα δε σφι Μολιονε θωρησσοντο,
Παιδ' ετ' εοντ', ουπω μαλα ϝειδοτε θουριδος αλκης.
Εστι δε τις Θρυοεσσα πολις, αιπεια κολωνη,
Τηλοθ' επ' Αλφειῳ, νεατη Πυλου ημαθοεντος·
Την αμφεστρατοωντο, διαϝραισαι μεμαωτες·
Αλλ' ὁτε παν πεδιον μετεκιαθον, αμμι δ' Αθηνη
Αγγελος ηλθε θεουσ' απ' Ολυμπου θωρησσεσθαι
Εννυχος· ουδ' αϝεκοντα Πυλον κατα λαον αγειρεν,
Αλλα μαλ' εϝσυμενους πολεμιζειν· ουδε με Νηλευς
Ειϝα θωρησσεσθαι· απεκρυψεν δε μοι ἱππους·
Ου γαρ πω τι μ' εφη ϝιδμεν πολεμηϊα ϝεργα·
Αλλα και ὡς ἱππευσι μετεπρεπον ἡμετεροισι,
Και πεζος περ εων, επει ὡς αγε νεικος Αθηνη.
Εστι δε τις ποταμος Μινυηϊος εις ἁλα βαλλων,
Εγγυθεν Αρηνης, ὁθι μειναμεν Ηοα διαν
Ἱππηες Πυλιων, τα δ' επεϝρεε ϝεθνεα πεζων.
Ενθεν πανσυδιῃ συν τευχεσι θωρηχθεντες,
Ενδιοι ἱκομεσθ' ἱερον ϝροον Αλφειοιο·
Ενθα Διϊ ϝρεξαντες ὑπερμενει ἱερα καλα,
Ταυρον δ' Αλφειῳ, ταυρον δε Ποσειδαωνι,
Αυταρ Αθηναιῃ γλαυκωπιδι βουν αγελαιην,

---

698. Τεσσαρες ἱπποι αεθλοφοροι. Quatuor equi certaminum victores: Vulgò, Τεσσαρες αθλοφοροι ἱπποι· sed αεθλον in Homero non contrahitur.

700. Θευσεσθαι. Currere: futurum a θεω, curro, Ψ. 623, unde videtur θεϝω fuisse, Γ. 270.

702. ηδε τε ϝεργων. atque etiam facta: Vulgò, ηδε και εργων, ut Α. 395.

704. μη τις ϝοι ατεμβομενος κιοι αισης. ne quis ei carens iret portione: Ita Bentleius, ut, λαχων απο ληϊδος αισαν, Od. ε. 40, ν. 138. Vulgò, ισης, sed ϝισης esset. Idem versus occurrit, Od. ι. 42, 549, et ατεμβομαι, Ψ. 445, 834.

725. Ενδιοι. Meridiani: Ita Hesychius, et Od. δ. 450.

727. Ταυρον. Taurum Neptuno, taurum tibi, pulcher Apollo. Æn. iii. 119.

Δορπον επειτ' εϝλομεσθα κατα στρατον εν τελεεσσι·
Και κατεκοιμηθημεν εν εντεσι ϝοισι ϝεκαστος
Αμφι ϝροας ποταμωφιν· αϝαρ ϝμεγαθυμοι Επειοι
Ϝαστυ δη αμφισταντο, διαπραθεειν μεμαωτες·
Αλλα σφιν προπαροιθε φανη ϝμεγα ϝεργον Αϝρηος·
Ευτε γαρ Ηελιος φαεθων ὑπερεσχεθε γαιης,
Συμφερομεσθα μαχῃ, Διϊ τ' ευχομενοι και Αθηνῃ·
Αλλ' ὁτε δη Πυλιων και Επειων επλετο νεικος,
Πρωτος εγω ϝελον ανδρα, κομισσα δε μωνυχας ἱππους,
Μουλιον αιχμητην· γαμβρος δ' ην Αυγειαο,
Πρεσβυτατην δε θυγατρ' ειχε ξανθην Αγαμηδην,
Ἡ τοσα φαρμακα ϝοιδε', ὁσα τρεφει ευρεια χθων.
Τον μεν εγω προσιοντα βαλον χαλκηρεϊ δουρι·
Ηριπε δ' εν κονιηθιν· εγω δ' ες διφρον ορουσας,
Στην ϝρα μετα προμαχοισιν· αϝαρ ϝμεγαθυμοι Επειοι
Ετρεσαν αλλυδις αλλος, επει ϝιδον ανδρα πεσοντα,
Ἡγεμον' ἱππηων, ὁς αριστευεσκε μαχεσθαι.
Αυταρ εγων ενορουσα, κελαινῃ λαιλαπι ϝισος·
Πεντηκοντα δ' εϝλον διφρους, δυο δ' αμφι ϝεκαστον
Φωτες οδαξ ϝελον ουδας, εμῳ ὑπο δουρι δαμεντες.
Και νυ κεν Ακτοριωνε Μολιονε παιδ' αλαπαξα,
Ει μη σφωε πατηρ ευρυκρειων Ενοσιχθων
Εκ πολεμου εσαωσε, καλυψας ηερι πολλῃ.
Ενθα Ζευς Πυλιοισι ϝμεγα κρατος εγγυαλιξε·
Τοϝρα γαρ ουν ἑπομεσθα δι' Ασπιδεος πεδιοιο,
Κτεινοντες τ' αυτους, ανα τ' εντεα καλα λεγοντες,
Ὀϝρ' επι Βουπρασιου πολυπυρου βησαμεν ἱππους,
Πετρης τ' Ωλενιης, και Αλησιου, ενθα Κολωνη
Κεκληται· ὁθεν αυτις απετραπε λαον Αθηνη.

---

731. ποταμωφιν' αϝαρ. Vulgò, ποταμοιο' αταρ· vide Β. 621, Λ. 166.

732. Ϝαστυ. Urbem: Vulgò, Αμφισταντο δη αστυ.

753. δι' Ασπιδεος πεδιοιο. per Aspideum campum: Videtur nomen proprium fuisse; alii, rotundum, explicant, ut scutum.

761. Ὡς εον, ει ποτ' εεν γε. Ita eram, si unquam erat quidem: id est, si

Ενθ' ανδρα κτεινας πυματον λιπον· αυταρ Αχαιοι
Αψ απο Βουπρασιοιο Πυλονδ' εχον ωκεας ἱππους·
Παντες δ' ευχετοωντο Θεων Διϊ, Νεστορι τ' ανδρων.
Ὡς εον, ει ποτ' εεν γε, μετ' ανδρασιν· αυταρ Αχιλλευς
Οιος ϝης αρετης απονησεται· η τε μιν οιω
Πολλα μετακλαυσεσθαι, επει κ' απο λαος οληται.
Ω πεπον, η μεν σοιγε Μενοιτιος ὡδ' επετελλεν
Ηματι τῳ, ὁτε σ' εκ Φθιης Αγαμεμνονι πεμπε.
Νωϊ δε τ' ενδον εοντες, εγω και διος Οδυσσευς,
Παντα μαλ' εν ϝμεγαροις ηκουομεν, ὡς επετελλε·
Πηλεος δ' ἱκομεσθα δομους ευ ναιεταοντας,
Λαον αγειροντες κατ' Αχαιϊδα πουλυβοτειραν.
Ενθαδ' επειθ' ἡρωα Μενοιτιον εὑρομεν ενδον,
Ηδε σε, παρ δ' Αχιληα· γερων δ' ἱππηλατα Πηλευς
Πιονα μηρι' εκηε βοος Διϊ τερπικεραυνῳ,
Αυλης εν χορτῳ· εχε δε χρυσειον αλεισον,
Σπενδων αιθοπα ϝοινον επ' αιθομενοις ἱεροισι.
Σφωϊ μεν αμφι βοος ἑπετον κρεα, νωϊ δ' επειτα
Στημεν ενι προθυροισι· ταφων δ' ανορουσεν Αχιλλευς,
Ες δ' αγε, χειρος εϝλων, κατα δ' ἑδριαασθαι ανωγε,
Ξεινια τ' ευ παρεθηκεν, ἁ τε ξεινοις θεμις εστιν.
Αυταρ επει ταρπημεν εδητυος ηδε ποτητος,
Ηρχον εγω μυθοιο, κελευων υμμ' ἁμ' ἑπεσθαι·
Σφωϊ μεν ηθελετην, τω δ' αμφω πολλ' επετελλον·
Πηλευς μεν ϝῳ παιδι γερων επετελλ' Αχιληϊ
Αιεν αριστευειν, και ὑπειροχον εμμεναι αλλων.
Σοι δ' αυθ' ὡδ' επετελλε Μενοιτιος, Ακτορος υἱος·
Τεκνον εμον, γενεῃ μεν ὑπερτερος εστιν Αχιλλευς,
Πρεσβυτερος δε συ εσσι· βιῃ δ' ὁγε πολλον αμεινων.

---

modò hoc unquam ita erat; usitata est loquendi formula, ut Γ. 180, Ω. 426. Vulgò, εην. Forsitan etiam, ει ποτ' εον γε.

762. Οιος ϝης αρετης απονησεται. Solus suâ virtute seorsum fruetur: Ita Bentleius; Vulgò, της.

781. Σφωϊ μεν ηθελετην. Vos quidem voluistis: Vulgò, Σφω δε μαλ' ηθελετην· sed Σφωϊ rarò contrahitur, et μεν desideratur. Confer Α. 574, Ν. 47, Ο. 146.

Αλλ' ευ ϝοι φασθαι πυκινον ϝεπος, ηδ' ὑποθεσθαι,
Και ϝοι σημαινειν· ὁ δε πεισεται εις αγαθον περ.
Ὡς επετελλ' ὁ γερων· συ δε ληθεαι· αλλ' ετι και νυν
Ταυτα συ ϝειπ' Αχιληϊ δαϊφρονιν, αι κε πιθηται.
Τις ϝοιδ', ει κεν ϝοι, συν Δαιμονι, θυμον ορινаις,
Παρϝειπων; αγαθη δε παραιφασις εστιν ἑταϝρου.
Ει δε τινα φρεσι ϝῃσι θεοπροπιην αλεεινει,
Και τι ϝεθιν παρ Ζηνος επεφραδε ποτνια μητηρ·
Αλλα σε περ προετω· ἁμα δ' αλλος λαος ἑπεσθω
Μυρμιδονων, αι κεν τι φαος Δαναοισι γενηαι·
Και τοι τευχεα καλα δοτω πολεμονδε φερεσθαι,
Αι κε σε τῳ ϝισχοντες, αποσχωνται πολεμοιο
Τρωες, αναπνευσωσι δ' Αϝρηϊοι υἱες Αχαιων
Τειρομενοι· ολιγη δε τ' αναπνευσις πολεμοιο.
Ϝρεια δε κ' ακμητες κεκμηοτας ανδρας αϋτῃ
Ωσαισθε προτι ϝαστυ, νεων απο και κλισιαων.
Ὡς φατο· τῳ δ' αρα θυμον ενι στηθεσσιν ορινε·
Βη δε θεειν παρα νηας επ' Αιακιδην Αχιληα·
Αλλ' ὁτε δη κατα νηας Οδυσσηος θειοιο
Ἱξε θεων Πατροκλος, ἱνα ϝρ' αγορη τε θεμις τε
Ηεν, τῃ δη και σφι Θεων ετετευχατο βωμοι·
Ενθα ϝοι Ευρυπυλος βεβλημενος αντιβολησε,
Διογενης Ευαιμονιδης, κατα μηρον οϊστῳ,
Σκαζων εκ πολεμου· κατα δε ϝνοτιος ϝρεεν ἱδρως
Ωμων και κεφαλης· απο δ' ἑλκεος αργαλεοιο
Αἱμα μελαν κελαρυζε· νοος γε μεν εμπεδος ηεν.
Τον δε ϝιδων ῳκτειρε Μενοιτιου αλκιμος υἱος,

---

790. Ταυτα συ ϝειπ' Αχιληϊ. Hæc tu dic Achilli: Vulgò, Ταυτ' ειπε; Bentleius, Ϝειποις ταυτ'· Knightius, ταυτα ϝεποις· sed imperativus præstat.
791. Τις ϝοιδ', ει κεν ϝοι. Quis scit, si tum ei: Vulgò, Τις τ' οιδ', ει κεν οἱ.
794. Και τι ϝεθιν. Et quid ei: Ita, Ουτε τι μοι, Π. 51, quod huic loco respondet. Vulgò, Και τινα οἱ. Ε. 270.
798. Αι κε σε τῳ ϝισκοντες. Si tum te ei assimilantes: Ita Π. 41, Od. Ι. 279, Τ. 203, Χ. 31. ϝεϊσκω forma est usitatior; Γ. 197. Scripsisse potuit, Αι κε σ' ὑποδδεισαντες, ut Σ. 199.

Και ϝ' ολοφυρομενος ϝεπεα πτεροεντα προσηυδα·
 Α δειλοι, Δαναων ἡγητορες ηδε μεδοντες·
Ὡς αρ εμελλετε τηλε φιλων και πατριδος αιης
Ασειν εν Τροΐῃ ταχεας κυνας αργετι δημῳ;
Αλλ' αγε μοι τοδε ϝειπε, Διοτρεφες Ευρυπυλ' ἡρως,
Η ϝρ' ετι που σχησουσι πελωριον Ἑκτορ' Αχαιοι,
Η ηδη φθισονται ὑπ' αυτου δουρι δαμεντες;
 Τον δ' αυτ' Ευρυπυλος πεπνυμενος αντιον ηυδα·
Ουκετι, Διογενες Πατροκλεες, αλκαρ Αχαιων
Εσσεται, αλλ' εν νηυσι μελαινῃσιν πεσεονται·
Οἱ μεν γαρ δη παντες, ὁσοι παρος ησαν αριστοι,
Εν νηυσιν κεαται βεβλημενοι, ουταμενοι τε,
Χερσιν ὑπο Τρωων· των δε σθενος ορνυται αιεν.
Αλλ' εμε μεν συ σαωσον, αγων επι νηα μελαιναν·
Μηρου δ' εκταμ' οϊστον, απ' αυτου δ' αἱμα κελαινον
Fνιζ' ὑδατι χλιαρῳ· επι δ' ηπια φαρμακα πασσε,
Εσθλα, τα σε προτι φασιν Αχιλληος δεδιδαχθαι,
Ον Χειρων εδιδαξε, δικαιοτατος Κενταυρων.
Ιητροι μεν γαρ, Ποδαλειριος, ηδε Μαχαων,
Τον μεν ενι κλισιηθιν οϊομαι ἑλκος εχοντα,
Χρηΐζοντα και αυτον αμυμονος ιητηρος,
Κεισθαι· ὁ δ' εν πεδιῳ Τρωων μενει οξυν Aϝρηα.
 Τον δ' αυτε προσεϝειπε Μενοιτιου αλκιμος υἱος·
Πως τ' αρ εοι ταδε ϝεργα; τι ϝρεξομεν, Ευρυπυλ' ἡρως;
Ερχομαι, ὁϝρ' Αχιληϊ δαϊφρονι μυθον ενισπω,
Ὁν Νεστωρ επετελλε Γερηνιος, ουρος Αχαιων·
Αλλ' ουδ' ὡς περ σειο μεθησω τειρομενοιο.

---

806. ἱνα ϝρ' αγορη τε θεμις τε Hεν. ubi sanè concioque jusque erat: Vulgò, ἱνα σφ' αγορη τε θεμις τε Hην· sed Hην forma nihili est, et σφι elidi nequit; vide Γ. 300.

810. κατα δε ϝνοτιος ϝρεεν ἱδρως. humidus verò defluebat sudor: Hinc constat vocem ϝνοτιος, et deinde Fνοτος, unde derivatur, digamma adsciscere; sin non, νοτιος δε κατεϝρεεν ἱδρως, scripsisset. Sic Ψ. 715, et vide B. 145, 196.

814. Και ϝε. Et eum: Vulgò, ῥα· vide E. 871.

Η, και ὑπο στερνοιο ϝλαβων αγε ποιμενα λαων
Ες κλισιην· θεραπων δε ϝιδων ὑπεχευε βοειας.
Ενθα μιν εκτανυσας, εκ μηρου ταμνε μαχαιρῃ
Οξυ βελος περιπευκες· απ᾽ αυτου δ᾽ αἱμα κελαινον
Ϝνιζ᾽ ὑδατι χλιαρῳ· επι δε ϝριζαν βαλε πικρην,
Χερσι διατριψας, οδυνηφατον, ἡ ϝοι ἁπασας
Εσχ᾽ οδυνας· το μεν ἑλκος ετερσετο, παυσατο δ᾽ αἱμα.

---

847. *αἱμα.* Patroclus in tentorio Eurypyli manet usque ad o. 390, dum variâ fortunâ pugnatur.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

M.

ARGUMENTA.

Τειχομαχια.

Μυ, επι τειχος ορουσε, και εσθορε φαιδιμος Ἑκτωρ.

1. Patroclo apud Eurypylum manente, Græci et Trojani ad murum pugnant.—5. Futura a Diis muri eversio narratur.—40. Hector suos excitat:—60. Polydamantis consilio, principes e curribus descendunt.—86. Quinque turmis factis, Trojani murum invadunt.—110. Asius unus curru invehitur, cui obsistunt Polypœtes, et Leonteus.—200. Jupiter aquilæ et serpentis signum mittit.—210. Polydamas Hectorem retrocedere suadet.—230. Hector ei ferociter respondet.—265. Ajaces Græcos hortantur.—292. Jupiter filium suum Sarpedonem contra Menestheum incitat.—343. Menestheus Ajacem et Teucrum auxilio vocat.—387. Teucer Glaucum vulnerat.—437. Ajace et Teucro remotis, Hector portas perfringit, et in castra irrumpit.

ʽΟΜΗΡΟΥ ϜΙΛΙΑΣ.

Μ.

ʽΩΣ ὁ μεν εν κλισιηθι Μενοιτιου αλκιμος ὑιος
Ιᾶτ᾽ Ευρυπυλον βεβλημενον· οἱ δ᾽ εμαχοντο
Αργειοι και Τρωες ὁμιλαδον, ουδ᾽ αρ εμελλε
Ταφρος ετι σχησειν Δαναων, και τειχος ὑπερθεν
Ευρυ, το ποιησαντο νεων ὑπερ, αμφι δε ταφρον
Ηλασαν, ουδε Θεοισι δοσαν κλεϊτας ἑκατομβας,
ʽΟϝρα σφιν νηας τε θοας και ληϊδα πολλην
Εντος εχον ϝερυοιτο· Θεων δ᾽ αϝεκητι τετυκτο
Αθανατων· τῳ κ᾽ ουτι πολυν χρονον εμπεδον ηεν.
ʽΟϝρα μεν ʽΕκτωρ ζωος εεν, και μηνι᾽ Αχιλλευς,
Και Πριαμοιο ϝανακτος απορθητος πολις ηεν,
Τοϝρα δε και ϝμεγα τειχος Αχαιων εμπεδον ηεν·
Αυταρ επει κατα μεν Τρωων θανον ὁσσοι αριστοι,
Πολλοι δ᾽ Αργειων, οἱ μεν δαμεν, οἱ δ᾽ ελιποντο,
Περθετο δε Πριαμοιο πολις δεκατῳ ενιαυτῳ,
Αργειοι δ᾽ εν νηυσι φιλην ες πατριδ᾽ εβησαν,
Δη τοτε μητιοωντο Ποσειδαων και Απολλων
Τειχος ἀμαλδυναι, ποταμων μενος εισαγαγοντες,

---

1. εν κλισιηθι. in tentorio: Vulgò, εν κλισιῃσι. Β. 418.

5. Ευρυ. Heynius et Knightius versus sex et triginta damnant; sunt tamen pulcherrimi. Similes leguntur, Η. 443.

8. ϝερυοιτο. tutaretur: Ita Ι. 248, Κ. 44; vulgò, ῥυοιτο.

8. Θεων αϝεκητι τετυκτο.

Heu nihil invitis fas quenquam fidere Divis. Æn. ii. 402.

9. τῳ κ᾽ ουτι. quare tum nequaquam: Ita Barnesius, ut passim; vulgò, τῳ και ουτι, contra metrum; alii, το και.

11. απορθητος πολις ηεν. non eversa urbs erat: Vulgò, επλε· sed hæc forma non alibi occurrit, et Scholiastes Aristarcho deberi testatur, ne eadem vox tres versus propinquos terminet.

18. ἀμαλδυναι. solo æquare: Η. 463.

῾Οσσοι απ' Ιδαιων ορεων ἁλαδε προϝρεουσι,
Fρησος θ', ῾Επταπορος τε, Καρησος τε, Fροδιος τε,
Γρηνικος τε, και Αισηπος, διος τε Σκαμανδρος,
Και Σιμοεις, ὁθι πολλα βοαγρια και τρυφαλειαι
Καππεσον εν κονιηθι, και ἡμιθεων γενος ανδρων·
Των παντων ὁμοσε στοματ' ετραπε Φοιβος Απολλων,
Εννημαρ δ' ες τειχος ἱει ϝροον· ὑε δ' αρα Ζευς
Νωλεμες, ὁϝρα κε θασσον ἁλιπλοα τειχεα θειη.
Αυτος δ' Εννοσιγαιος, εχων χειρεσσι τριαιναν,
῾Ηγειτ'· εκ δ' αρα παντα θεμειλια κυμασι πεμπε
Φιτρων και λαων, τα θεσαν μογεοντες Αχαιοι·
Λεια δ' εποιησεν παρ' αγαϝροον ῾Ελλησποντον·
Αυτις δ' ηϊονα ϝμεγαλην ψαμαθοισι καλυψε,
Τειχος ἁμαλδυνας· ποταμους δ' ετρεψε νεεσθαι
Καϝροον, ᾗ περ προσθεν ἱεν καλλιϝροον ὑδωρ.
῾Ως αρ εμελλον οπισθε Ποσειδαων και Απολλων
Θησεμεναι· τοτε δ' αμφι μαχη ενοπη τε δεδηει
Τειχος εϋδμητον, καναχιζε δε δουρατα πυργων
Βαλλομεν'· Αργειοι δε Διος ϝμαστιγι δαμεντες,
Νηυσιν επι γλαφυρῃσι ϝεϝελμενοι ισχανοωντο,

---

22. Και Σιμοεις. ubi tot Simois correpta sub undis
Scuta virûm, galeasque et fortia corpora volvit. Æn. i. 104.

23. ἡμιθεων. semideorum: Vox non alibi in Homero occurrit.

26. Νωλεμες. Continenter: Vulgò, Συνεχες, contra metrum; synonymum igitur substitui.

27. Αυτος δ' Εννοσιγαιος. Neptuni tridens non alibi ab Homero memoratur.

Neptunus muros, magnoque emota tridenti
Fundamenta quatit, totamque e sedibus urbem
Eruit. Æn. ii. 610.

28. θεμειλια. fundamenta: ita Ψ. 255; usitatius est θεμεθλα.

29. Φιτρων. Truncorum arborum: Φ. 314.

33. ἱεν. miserunt: pro ἱεσαν ab ἱημι· Β. 752, Φ. 158; alii ιεν, ibat.

35. τοτε δ' αμφι μαχη.

Interea Rutuli portis circùm omnibus instant
Sternere cæde viros, et mœnia cingere flammâ. Æn. x. 118.

38. ϝεϝελμενοι. coarctati: a ϝειλεω, Α. 409.

41. ῾Ως δ' ὁτε κ' εν τε κυνεσσι. Vulgò, ὁταν· potuit etiam ὁκεν, vel ὁτινι, scripsisse; verbum in indicativo sequitur.

Ut fera quæ densâ venantum septa coronâ

Ἑκτορα δειδιοτες, κρατερον μηστωρα φοβοιο·
Αυταρ ὁγ', ὡς το προσθεν, εμαρνατο ϝισος αελλῃ.
Ὡς δ' ὁτε κ' εν τε κυνεσσι και ανδρασι θηρευτῃσι,
Καπριος, ηε λεων στρεφεται, σθενεϊ βλεμεαινων,
Οἱ δε τε πυργηδον σφεας αυτους αρτυναντες,
Αντιοι ἱστανται, και ακοντιζουσι θαμειας
Αιχμας εκ χειρων· του δ' ουποτε κυδαλιμον κῆρ
Ταρβεει, ουδε φοβειται· αγηνοριη δε μιν εκτα·
Ταρφεα τε στρεφεται, στιχας ανδρων πειρητιζων·
Ὁππῃ τ' ιθυσει, τῃ ϝεικουσι στιχες ανδρων·
Ὡς Ἑκτωρ αν' ὁμιλον ιων εϝελισσεθ', ἑταϝρους
Ταφρον εποτρυνων διαβαινεμεν· ουδε ϝοι ἱπποι
Τολμων ωκυποδες· μαλα δε χρεμετιζον, επ' ακρῳ
Χειλεϊν ἑσταοτες· απο γαρ δειδισσετο ταφρος
Ευρει', ουτ' αρ ὑπερθορεειν σχεδον, ουτε περησαι
Ϝρηϊδιη· κρημνοι γαρ επηρεφεες περι πασαν
Ἑστασαν αμφοτερωθεν· ὑπερθεν δε σκολοπεσσιν
Οξεσιν ηρηρει, τους ἱστασαν υἱες Αχαιων
Πυκνους και ϝμεγαλους, δαϊων ανδρων αλεωρην.
Ενθ' ου ϝρεια κεν ἱππος εϋτροχον ἁρμα τιταινων

Contra tela furit, seseque haud nescia morti
Injicit, et saltu contra venabula fertur. Æn. ix. 551.

43. σφεας αυτους. seipsos: In quatuor locis duas syllabas habet.

46. αγηνοριη δε μιν εκτα. virtus vero eum occidit: εκτα a κτημι est, ut ουτα ab ουτημι· aliæ formæ sunt κταμεναι, κταμενος, et κτας, Ω. 570.

48. Ὁππη τ' ιθυσει. Quàque irruet: Forsitan, Ἡι περ· ὁππη enim non alibi occurrit, nisi Ν. 784, et ῃ meliùs voci τῃ respondet. Vulgò etiam, τῃ τ' εικουσι. Knightius versum damnat, ut et 104, 116, 117, 128.

49. εϝελισσετο. vertebatur: a ϝελισσω, Α. 317; vulgò, ειλισσετο.

51. χρεμετιζον, επ' ακρῳ χειλεϊν ἑσταοτες. hinniebant, ad summum Labrum stantes: Vulgò, Χειλει εφεσταοτες· sed Homerus præpositionem non duplicat. Verbum χρεμετιζω non alibi occurrit.

55. Ἑστασαν. Stabant: pro ἑστηκεισαν· ita semper εφεστασαν, et sic μεμασαν· leguntur et ἑστατον, Ψ. 284, ἑστατε, Υ. 354, et ἑσταμεν et ἑσταοτες, passim. Aoristus, εστη, εστησαν, εσταν, aspirationem non adsciscit. Confer Μ. 56, 64.

56. ἱστασαν. collocabant: ita Β. 525, Σ. 346. Vulgò, ἑστασαν, quod alibi semper sensum neutralem habet; ἱστημι contra activum, ut Ν. 336, Φ. 313, Od. τ. 574; distinctionem igitur commodam cum Knightio admisi.

58. Ενθ' ου ϝρεια κεν ἱππος. Illic non facilè tum equus: Vulgò, Ενθ' ου κεν ῥεα ἱππος· sed ἱππος digamma non habet.

Εσβαιη, πεζοι δε μενοινων, ει τελεουσι.
Δη τοτε Πουλυδαμας θρασυν Ἑκτορα ϝειπε παραστας·
Ἑκτορ τ', ηδ' αλλοι Τρωων αγοι, ηδ' επικουρων·
Αφραδεως δια ταφρον ελαυνομεν ωκεας ἱππους·
Ἡ δε μαλ' αργαλεη περααν· σκολοπες γαρ εν αυτῃ
Οξεες ἑστᾶσιν, προτι δ' αυτους τειχος Αχαιων·
Ενθ' ουπως εστιν καταβημεναι, ουδε μαχεσθαι
Ἱππευσι· στεινος γαρ, ὁθι τρωσεσθαι οϊω.
Ει μεν γαρ δη παγχυ κακα φρονεων αλαπαζει
Ζευς ὑψιβρεμετης, Τρωεσσι δε βουλετ' αρηγειν,
Η τε κ' εγωγ' εθελοιμι και αυτικα τουτο γενεσθαι,
Νωνυμους απολεσθαι απ' Αργεος ενθαδ' Αχαιους·
Ει δε χ' ὑποστρεψωσι, παλιωξις δε γενηται
Εκ νηων, και ταφρῳ ενιπληξωμεν οϝρυκτῃ,
Ουκετ' επειτ' οϊω ουδ' αγγελον απονεεσθαι
Αψοϝροον προτι ϝαστυ, ϝελιχθεντων ὑπ' Αχαιων.
Αλλ' αγεθ', ὡς αρ εγω ϝειπω, πειθωμεθα παντες·
Ἱππους μεν θεραποντες εϝρυκοντων επι ταφρῳ,
Αυτοι δε πρυλεες, συν τευχεσι θωρηχθεντες,
Ἑκτορι παντες ἑπωμεθ' αολλεες· αυταρ Αχαιοι
Ου μενεουσ', ει δη σφιν ολεθρου πειρατ' εφηπται.
Ὡς φατο Πουλυδαμας· ϝαδε δ' Ἑκτορι μυθος απημων,
Αυτικα δ' εξ οχεων συν τευχεσιν αλτο χαμαζε·
Ουδε μεν αλλοι Τρωες εφ' ἱππων ηγερεθοντο,
Αλλ' αποβαντες ορουσαν, επει ϝιδον Ἑκτορα διον.
Ἡνιοχῳ μεν επειτα ϝεῳ επετελλε ϝεκαστος,
Ἱππους ευ κατα κοσμον εϝρυκεμεν αυθ' επι ταφρῳ·
Οἱ δε διασταντες, σφεας αυτους αρτυναντες,

59. μενοινων, ει τελεουσι. cogitabant, si perficiunt: id est, si transire possint. Vulgò, μενοινεον, sed verbum μενοιναω est; forsitan etiam μενοιναν, ut περαον, Π. 367.

63. περααν. transire: pro περαειν, quod etiam ferri potest; Π. 367.

64. ἑστᾶσιν. stant: pro ἑστηκασι, ut ἑστασαν pro ἑστηκεισαν, M. 55.

70. Νωνυμους. Innominatos: a νη, et ονομα. Forsitan Νωνοϝμους, ab οϝνομα, digamma transposito legendum, cùm penultimam ancipitem habeat; Od.

Πενταχα κοσμηθεντες, ἁμ' ἡγεμονεσσιν ἑποντο.
Οἱ μεν ἁμ' Ἑκτορι βαν και αμυμονι Πουλυδαμαντι,
Οἱ πλειστοι και αριστοι εσαν, μεμασαν δε μαλιστα
Τειχος ϝρηξαμενοι κοιλῃς επι νηυσι μαχεσθαι.
Και σφιν Κεβριονης τριτος ἑσπετο· παρ δ' αρ οχεσσιν
Αλλον, Κεβριοναο χερειονα, καλλιπεν Ἑκτωρ.
Των δ' ἑτερων Παρις ηρχε, και Αλκαθοος, και Αγηνωρ·
Των δε τριτων Ἑλενος, και Δηϊφοβος θεοϝειδης,
Υἱε δυω Πριαμοιο, τριτος δ' ην Ασιος ἡρως,
Ασιος Ὑρτακιδης, ὁν Αρισβηθεν φερον ἱπποι
Αιθωνες, ϝμεγαλοι, ποταμου απο Σελληεντος.
Των δε τεταρτων ηρχεν εϋς παϊς Αγχισαο
Αινειας· ἁμα τωγε δυω Αντηνορος υἱε,
Αρχελοχος τ', Ακαμας τε, μαχης ευ ϝειδοτε πασης.
Σαρπηδων δ' ἡγησατ' αγακλεϊτων επικουρων,
Προς δ' εϝλετο Γλαυκον, και Αϝρηϊον Αστεροπαιον·
Οἱ γαρ ϝοι ϝεισαντο διακριδον ειναι αριστοι
Των αλλων μετα γ' αυτον· ὁ δ' επρεπε και δια παντων.
Οἱ δ' επει αλληλους αραρον τυκτησι βοεσσι,
Βαν ϝρ' ιθυς Δαναων λελιημενοι, ουδ' ετ' εφαντο
Σχησεσθ', αλλ' εν νηυσι μελαινῃσιν πεσεεσθαι.
 Ενθ' αλλοι Τρωες, τηλεκλεϊτοι τ' επικουροι,
Βουλῃ Πουλυδαμαντος αμωμητοιο πιθοντο·
Αλλ' ουχ Ὑρτακιδης εθελ' Ασιος, ορχαμος ανδρων,
Αυθι λιπειν ἱππους τε και ἡνιοχον θεραποντα,
Αλλα συν αυτοισιν πελασεν νηεσσι θοῃσι,
Νηπιος, ουδ' αρ εμελλε κακας ὑπο κηρας αλυξας,
Ἱπποισιν και οχεσσιν αγαλλομενος παρα νηων

α. 222, ν. 239, ξ. 182; contrà in εποϝνομος, et δυσοϝνομος sedem retinet; Ι. 558. Vocalis υ digamma indicat.

80. ϝαδε δ' Ἑκτορι. placuit verò Hectori: a ϝανδανω, Α. 24.

88. Οἱ μεν ἀμ' Ἑκτορι βαν. Illi quidem cum Hectore ibant: Vulgò, ἀμ' Εκτορ' ισαν· cùm tamen dativus in ι raro elidatur, unam litteram mutavi; vide Δ. 259.

108. τηλεκλεϊτοι. procul celebres: alii τηλεκλητοι· vide Ε. 491.

Αψ απονοστησειν προτι Fιλιον ηνεμοεσσαν·
Προσθεν γαρ μιν ϝμοιρα δυσωνυμος αμφεκαλυψεν
Εγχεϊ Ιδομενηος αγαυου Δευκαλιδαο.
Εισατο γαρ νηων επ' αριστερα, τῃ περ Αχαιοι
Εκ πεδιου νισσοντο συν ἱπποισιν και οχεσσι·
Τῃ ϝρ' ἱππους τε και ἁρμα διηλασεν, ουδε πυλῃσιν
Εὑρ' επικεκλιμενας σανιδας και μακρον οχηα·
Αλλ' αναπεπταμενας εχον ανερες, ει τιν' ἑταϝρων
Εκ πολεμου φευγοντα σαωσειαν μετα νηας.
Τῃ ϝρ' ιθυς φρονεων ἱππους εχε· τοι δ' ἁμ' ἑποντο
Οξεα κεκληγοντες· εφαντο γαρ ουκετ' Αχαιους
Σχησεσθ', αλλ' εν νηυσι μελαινῃσιν πεσεεσθαι,
Νηπιοι· εν δε πυλῃσι δυ' ανερας εὑρον αριστους,
Υἱας ὑπερθυμους Λαπιθαων αιχμηταων,
Τον μεν, Περιθοου υἱα, κρατερον Πολυποιτην,
Τον δε, Λεοντηα, βροτολοιγῳ ϝισον Αϝρηϊ·
Τω μεν αρα προπαροιθε πυλαων ὑψηλαων
Ἑστασαν, ὡς ὁτε κε δρυες ουρεσιν ὑψικαρηνοι,
Αἱ τ' ανεμον μιμνουσι και ὑετον ηματα παντα,
Fριζῃσι ϝμεγαλῃσι διηνεκεεσσ' αραρυιαι.
Ὡς αρα τω χειρεσσι πεποιθοτες, ηδε βιηφι,
Μιμνον επερχομενον ϝμεγαν Ασιον, ουδ' εφεβοντο.
Οἱ δ' ιθυς προς τειχος εϋδμητον, βοας αυας
Ὑψοσ' ανασχομενοι, εκιον ϝμεγαλῳ αλαλητῳ,
Ασιον αμφι ϝανακτα, και Ιαμενον, και Ορεστην,
Ασιαδην τ' Ακαμαντα, Θοωνα τε, Fοινομαον τε.

---

118. Εισατο. ibat: aoristus ab ειμι· iterum occurrit, N. 90, 191, P. 285, et εισομαι, Φ. 335, Ω. 462. Potuit etiam Fισατο scripsisse, Δ. 138. Scholiastes tria significare ait, ὡρμησε, εφανη, εγνω· vide B. 215.

132. ὡς ὁτε κε. ut quando tum: Ed. Pr. ὡς ὁτε· alii, ὡς οτε τε.

141. τειος. eousque: Vulgò, εἱως· A. 193, T. 189.

144. ιωχη. clamor: Vulgò, ιαχη· vide Δ. 456.

147. δεχαται. recipiunt: pro δεδεχαται a δεδεγμαι. κολοσυρτον, tumultum: Δοχμω, obliqui: κομπος, fragor:

156. ϝνιφαδες ὡς. Fundunt simul undique tela
Crebra *nivis* ritu. Æn. xi. 610.

Οἱ δ' ητοι τειος μεν εϋκνημιδας Αχαιους
Ορνυον, ενδον εοντες, αμυνεσθαι περι νηων·
Αυταρ επει δη τειχος επεϝσυμενους ενοησαν
Τρωας, αϝαρ Δαναων γενετ' ιωχη τε φοβος τε,
Εκ δε τω αϊξαντε, πυλαων προσθε μαχεσθην,
Αγροτεροισι συεσσι ϝεϝοικοτε, τω τ' εν ορεσσιν
Ανδρων ηδε κυνων δεχαται κολοσυρτον ιοντα,
Δοχμω τ' αϊσσοντε περι σφισι ϝαγνυτον ὑλην,
Πρυμνην εκταμνοντες, ὑπαι δε τε κομπος οδοντων
Γιγνεται, εισοκε τις τε βαλων εκ θυμον εϝληται·
Ὡς των κομπει χαλκος επι στηθεσφι φαεινος,
Αντην βαλλομενων· μαλα γαρ κρατερως εμαχοντο,
Λαοισιν καθυπερθε πεποιθοτες, ηδε βιηφιν.
Οἱ δ' αρα χερμαδιοισιν εϋδμητων απο πυργων
Βαλλον, αμυνομενοι σφων τ' αυτων, και κλισιαων,
Νηων τ' ωκυπορων· ϝνιφαδες δ' ὡς πιπτον εραζε,
Ἁς τ' ανεμος ζαης, ϝνεφεα σκιοεντα δονησας,
Ταρφειας κατεχευεν επι χθονι πουλυβοτειρῃ·
Ὡς των εκ χειρων βελε' εϝρεον, ημεν Αχαιων,
Ηδε και εκ Τρωων· κορυθες δ' αμφ' αυον αϋτευν,
Βαλλομεναι μυλακεσσι, και ασπιδες ομφαλοεσσαι.
Δη ϝρα τοτ' ῳμωξεν και ϝω πεπληγετο μηρω
Ασιος Ὑρτακιδης, και αλαστησας ϝεπος ηυδα·
Ζευ πατερ, η ϝρα νυ και συ φιλοψευδης ετετυξο
Παγχυ μαλ'· ου γαρ εγωγ' εφαμην ἡρωας Αχαιους
Σχησειν ἡμετερον γε μενος και χειρας ααπτους·

---

157. ζαης. fortiter spirans: a ζα, et αεω.

159. βελε' εϝρεον. tela fluebant: alii, βελεα ῥεον, quod ϝρεον esset.

160. κορυθες δ' αμφ' αυον αϋτευν. galeæ verò circum aridùm sonabant: sic, aridus altis Montibus audiri fragor. Georg. i. 357.

161. Βαλλομεναι μυλακεσσι. telis premit, omniaque armis
Advocat, et ramis, vastisque *molaribus* instat. Æn. viii. 249.

162. Δη ϝρα τοτ' ῳμωξεν, και ϝω πεπληγετο μηρω. Revera sanè tunc ingemuit, et sua sibi percussit femora: Vulgò, ῳμωξεν τε. Sic, palmis percussa lacertos. Æn. vii. 503.

Οἱ δ', ὡς τε σφηκες μεσον αιολοι, ηε μελισσαι,
Ϝοικια ποιησονται ὁδῳ επι παιπαλοεσσῃ,
Ουδ' απολειπουσιν κοιλον δομον, αλλα μενοντες
Ανδρας θηρητηρας, αμυνονται περι τεκνων·
Ὡς οἱγ' ουκ εθελουσι πυλαων, και δυ' εοντε,
Χασσασθαι, πριν γ' ηε κατακταμεν, ηε ϝαλωναι.
Ὡς εφατ', ουδε Διος πειθε φρενα, ταυτ' αγορευων·
Ἑκτορι γαρ ϝοι θυμος εβουλετο κυδος ορεξαι.
Αλλοι δ' αμφ' αλλῃσι μαχην εμαχοντο πυλῃσιν·
Αργαλεον δε με ταυτα, Θεον ὡς, παντ' αγορευσαι·
Παντῃ γαρ περι τειχος ορωρει θεσπιδαες πυρ
Λαϊνον· Αργειοι δε, και αχνυμενοι περ, αναγκῃ
Νηων ημυνοντο· Θεοι δ' ακαχειατο θυμῳ
Παντες, ὁσοι Δαναοισι μαχης επιταϝροθοι ησαν.
Συν δ' εβαλον Λαπιθαι πολεμον και δηϊοτητα·
Ενθ' αυ Πειριθοου υἱος, κρατερος Πολυποιτης,
Δουρι βαλεν Δαμασον, κυνεης δια χαλκοπαρηου·
Ουδ' αρα χαλκειη κορυς εσχεθεν· αλλα δια προ
Αιχμη χαλκειη ϝρηξ' οστεον· εγκεφαλος δε
Ενδον ἁπας πεπαλακτο· δαμασσε δε μιν μεμαωτα·
Αυταρ επειτα Πυλωνα και Ορμενον εξεναριξεν.
Υἱον δ' Αντιμαχοιο Λεοντευς, οζος Αϝρηος,
Ἱππομαχον βαλε δουρι, κατα ζωστηρα τυχησας.
Αυτις δ' εκ κολεοιο ϝερυσσαμενος ξιφος οξυ,

---

168. ὁδῳ επι παιπαλοεσσῃ. ad viam montosam: Vox sæpe occurrit, sed thema non liquet.

172. πριν γ' ηε κατακταμεν, ηε ϝαλωναι. antequam aut alios interficiant, aut ipsi morte capiantur: Β. 374, Ε. 487. Ita, θανατῳ ϝεϝμαρτο ϝαλωναι, Φ. 281.

175. αλλῃσι. alias: Hinc, et a Μ. 340, constat portas plures fuisse.

177. θεσπιδαες πυρ Λαϊνον. immanè ardens ignis Lapidosus: Ita, μαρναντο δεμας πυρος αιθομενοιο, Λ. 595, et vide Θ. 559. Homerus figuris fortibus gaudet. Knightius versus sex a 175 damnat.

200. Ορνις γαρ σφιν επηλθε.

Utque volans altè raptum cùm fulva draconem
Fert aquila, implicuitque pedes, atque unguibus hæsit;
Saucius at serpens sinuosa volumina versat,
Arrectisque horret squamis, et sibilat ore,

Αντιφατην μεν πρωτον, επαΐξας δι' ὁμιλου,
Πληξ' αυτοσχεδιην· ὁ δ' αρ ὑπτιος ουδει ερεισθη·
Αυταρ επειτα Μενωνα, και Ιαμενον, και Ορεστην,
Παντας επασσυτερους πελασε χθονι πουλυβοτειρῃ.
Ὀϝρ' οἱ τους εναριζον απ' εντεα μαρμαιροντα,
Τοϝρ' οἱ Πουλυδαμαντι και Ἑκτορι κουροι ἑποντο,
Οἱ πλειστοι και αριστοι εσαν, μεμασαν δε μαλιστα
Τειχος τε ϝρηξαι, και ενιπρησαι πυρι νηας·
Οἱ ϝρ' ετι μερμηριζον, εφεσταοτες παρα ταφρῳ·
Ορνις γαρ σφιν επηλθε περησεμεναι μεμαωσιν,
Αιετος ὑψιπετης, επ' αριστερα λαον εεργων,
Φοινηεντα δρακοντα φερων ονυχεσσι πελωρον,
Ζωον, ετ' ασπαιροντα· και ουπω ληθετο χαρμης·
Κοψε γαρ αυτον εχοντα κατα στηθος, παρα δειρην,
Ιδνωθεις οπισω· ὁ δ' απο ϝεθεν ἡκε χαμαζε,
Αλγησας οδυνῃσι, μεσῳ δ' ενι καββαλ' ὁμιλῳ·
Αυτος δε κλαγξας πετετο πνοιῃς ανεμοιο.
Τρωες δ' εϝριγησαν, επει ϝιδον αιολον ὑδρον
Κειμενον εν μεσσοισι, Διος τερας αιγιοχοιο.
Δη τοτε Πουλυδαμας θρασυν Ἑκτορα ϝειπε παραστας·
Ἑκτορ, εμ' αιει πως μεν επιπλησσεις αγορηθιν
Εσθλα φραζομενον· επει ουδε μεν ουδε ϝεϝοικε,
Δημον εοντα παρεξ αγορευεμεν, ουτ' ενι βουλῃ,
Ουτε ποτ' εν πολεμῳ, σον δε κρατος αιεν αεξειν.

Arduus insurgens; illa haud minùs urget obunco
Luctantem rostro, simul æthera verberat alis. Æn. xi. 751.

208. επει ϝιδον αιολον ὑδρον. postquam viderunt varium serpentem: Vulgò, ὁπως ιδον αιολον οφιν· ὁπως tamen loco non convenit, et οφιν in metrum peccat, et vox est Homero ignota; synonymum igitur a B. 723 arcessivi.

211. Ἑκτορ, εμ' αιει πως μεν. Hector, me semper quodammodo quidem: Vulgò, Ἑκτορ, αει μεν πως μοι· αει tamen vox non est Homerica, et επιπλησσω accusativum regit, Ψ. 580. Vulgò etiam, αγορῃσιν· B. 418.

213. Δημον εοντα παρεξ αγορευεμεν. Plebem existentem contra dicere: id est, nos, qui secundum te non nisi plebs simus. Potest etiam verti, Populum persuadere, ut Hector Polydamanti, μηκετι ταυτα νοηματα φαιν' ενι δημῳ, Σ. 295. Alii Δημον pro Δημοτην poni censent; tum verò, Δημου εοντα, vel, Δημοφιν οντα, dixisset, ut δημοφιν ανδρα, B. 198, M. 447.

Νυν δ' αυτ' εκϝερεω, ὡς μοι δοκεϊ ειναι αριστα.
Μη ιομεν Δαναοισι μαχησομενοι περι νηων·
Ὡδε γαρ εκτελεεσθαι οϊομαι, ει ετεον γε
Τρωσιν ὁδ' ορνις επηλθε περησεμεναι μεμαωσιν,
Αιετος ὑψιπετης, επ' αριστερα λαον εεργων,
Φοινηεντα δρακοντα φερων ονυχεσσι πελωρον,
Ζωον· αφαρ δ' αφεηκε, παρος φιλα ϝοικι' ἱκεσθαι,
Ουδ' ετελεσσε φερων δομεναι τεκεεσσιν εϝοισιν·
Ὡς ἡμεις, ει περ τε πυλας και τειχος Αχαιων
Ϝρηξομεθα σθενεϊ ϝμεγαλῳ, ϝειξωσι δ' Αχαιοι,
Ου κοσμῳ παρα ναυφιν ελευσομεθ' αυτα κελευθα·
Πολλους γαρ Τρωων καταλειψομεν, οὑς κεν Αχαιοι
Χαλκῳ δαιωσουσιν, αμυνομενοι περι νηων.
Ὡδε χ' ὑποκριναιτο θεοπροπος, ὁς σαφα θυμῳ
Ϝειδειη τεραων, και ϝοι πειθοιατο λαοι.
Τον δ' αρ ὑποδρα ϝιδων προσεφη κορυθαιολος Ἑκτωρ·
Πουλυδαμα, συ μεν ουκ ετ' εμοι φιλα ταυτ' αγορευεις·
Ϝοισθα και αλλον μυθον αμεινονα τουδε νοησαι.
Ει δ' ετεον δη τουτον απο σπουδης αγορευεις,
Εξ αρα δη τοι επειτα Θεοι φρενας ωλεσαν αυτοι·
Ὁς κελεαι Ζηνος μεν εριγδουποιο λαθεσθαι
Βουλεων, ἁς τε μοι αυτος ὑπεσχετο και κατενευσε·
Τυνη δ' οιωνοισι τανυπτερυγεσσι κελευεις
Πειθεσθαι· των ουτι μετατρεπομ', ουδ' αλεγιζω,
Ει τ' επι δεξι' ιωσι, προς Ηοα τ' Ηελιον τε,
Ει τ' επ' αριστερα τοιγε, ποτι ζοφον ηεροεντα.
Ἡμεις δε ϝμεγαλοιο Διος πειθωμεθα βουλῃ,
Ὁς πασι θνητοισι και αθανατοισι ϝανασσει.
Εἱς οιωνος αριστος, αμυνεσθαι περι πατρης.

---

218. Τρωσιν ὁδ' ορνις επηλθε. Trojanis hic avis venit: Aristarchus ηλθε voluit, cùm ορνις ultimam producere censeret, quòd ορνιθος in genitivo formet; iterum tamen corripit; Ω. 219.

224. ϝειξωσι δ' Αχαιοι. cedant verò Græci: MS. unus, ϝειξουσι.

243. Εἱς οιωνος αριστος, αμυνεσθαι περι πατρης. Sententiam pulcherrimam meritò mirati sunt omnes: Ita Cicero de Senectute. "Augurque cùm

Τιπτε συ δειδοικας πολεμον και δηϊοτητα;
Ει περ γαρ τ' αλλοι γε περικτεινωμεθα παντες
Νηυσιν επ' Αργειων, σοι δ' ου δεος εστ' απολεσθαι·
Ου γαρ τοι κραδιη μενεδηϊος, ουδε μαχημων.
Ει δε συ δηϊοτητος αφεξεαι, ηε τιν' αλλον
Παρφαμενος ϝεπεεσσιν αποτρεψεις πολεμοιο,
Αυτικ' εμῳ ὑπο δουρι τυπεις απο θυμον ολεσσεις.
  Ὡς αρα φωνησας ἡγησατο· τοι δ' ἁμ' ἑποντο,
Ϝηχῃ θεσπεσιῃ· επι δε Ζευς τερπικεραυνος
Ωρσεν απ' Ιδαιων ορεων ανεμοιο θυελλαν,
Ἡ ϝρ' ιθυς νηων κονιην φερεν· αυταρ Αχαιων
Θελγε νοον, Τρωσιν δε και Ἑκτορι κυδος οπαζε·
Του περ δη τεραεσσι πεποιθοτες, ηδε βιηθι,
Ϝρηγνυσθαι ϝμεγα τειχος Αχαιων πειρητιζον.
Κροσσας μεν πυργων ϝερυον, και ερειπον επαλξεις,
Στηλας τε προβλητας εμοχλεον, ἁς αρ Αχαιοι
Πρωτας εν γαιῃ θεσαν εμμεναι εχματα πυργων.
Τας οἱγ' αυ ϝερυον, ϝελποντο δε τειχος Αχαιων
Ϝρηξειν· ουδε νυ πω Δαναοι χαζοντο κελευθου·
Αλλ' οἱγε ϝρινοισι βοων φραξαντες επαλξεις,
Βαλλον απ' αυταων δαϊους ὑπο τειχος ιοντας.
Αμφοτερω δ' Αιαντε κελευτιοωντ' επι πυργων
Παντοσε φοιτητην, μενος οτρυνοντες Αχαιων·
Αλλον μειλιχιοις, αλλον στερεοις ϝεπεεσσι
Νεικεον, ὁντινα παγχυ μαχης μεθιεντα ϝιδοιεν·
  Ω φιλοι, Αργειων ὁς τ' εξοχος, ὁς τε μεσηεις,
Ὁς τε χερειοτερος· επει ουπω παντες ὁμοιοι
Ανερες εν πολεμῳ· νυν επλετο ϝεργον ἁπασι·
Και δ' αυτοι τοδε που γινωσκετε· μη τις οπισσω

---

esset, dicere ausus est, optimis auspiciis ea geri, quæ pro reipublicæ salute fierent."

253. ανεμοιο θυελλαν. venti procellam: Ita in clade Cannensi ventus adversus Romanis coortus multo pulvere in ipsa ora volvendo prospectum ademit. Liv. xxii. 46.

Τετραφθω προτι νηας, ὁμοκλητηρος ακουων.
Αλλα προσω ϝιεσθε, και αλληλοισι κελεσθε,
Αι κεν Ζευς δωησιν Ολυμπιος αστεροπητης,
Νεικος απωσαμενους, δαΐους προτι ϝαστυ διεσθαι.
Ὡς τωγε προβοῶντε μαχην ωτρυνον Αχαιων.
Των δ', ὡς τε ϝνιφαδες χιονος πιπτουσι θαμειαι
Ηματι χειμεριῳ, ὁτε κ' ωρετο μητιετα Ζευς
Ϝνιφεμεν ανθρωποισι, πιφαυσκομενος τα ϝα κηλα,
Κοιμησας δ' ανεμους χεει εμπεδον, ὀϝρα καλυψῃ
Ὑψηλων ορεων κορυφας και πρωονας ακρους,
Και πεδια ϝιοεντα, και ανδρων πιονα ϝεργα,
Και τ' εφ' ἁλος πολιης κεχυται λιμεσιν τε και ακταις,
Κυμα δε μιν προσπλαζον εϝρυκεται, αλλα τε παντα
Ϝειλυαται καθυπερθ', ὁτ' επιβρισῃ Διος ομβρος·
Ὡς των αμφοτερωσε λιθοι ποτοωντο θαμειαι,
Αἱ μεν αρ ες Τρωας, αἱ δ' εκ Τρωων ες Αχαιους·
Βαλλομενων, το δε τειχος ὑπερ παν δουπος ορωρει.
Ουδε κε πω τοτε γε Τρωες και φαιδιμος Ἑκτωρ
Τειχεος εϝρηξαντο πυλας και μακρον οχηα,
Ει μη αρ υἱον εϝον Σαρπηδονα μητιετα Ζευς
Ωρσεν επ' Αργειοισι, λεονθ' ὡς βουσι ϝελιξιν.
Αυτικα δ' ασπιδα μεν προσθ' εσχετο παντοσε ϝισην,
Καλην, χαλκειην, εξηλατον· ἡν αρα χαλκευς

---

277. προβοῶντε. conclamantes: a προβοαω. Alii, præeuntes: a προβαω.

280. πιφαυσκομενος τα ϝα κηλα. "Anne intrâsti in thesauros nivis, aut vidisti thesauros grandinis, quos in tempus tumultûs, in diem pugnæ et belli servavi." Job. c. 38. v. 22, 23.

283. Και πεδια ϝιοεντα. Et campos herbosos: Ε. 36. Vulgò, λωτευντα· sed vox non alibi occurrit, et in formas Homericas peccat, unde Knightius quatuor versus damnat.

286. Ϝειλυαται. Volvuntur: pro ϝειλυνται, a ϝειλυω. Nihil vetat, quin secunda corripiatur, ut in εϝρυαται, et tot aliis verbis, et ita Od. υ. 352. Heynius ϝειλυται vult.

287. ποτοωντο. volabant: Vulgò, πωτωντο· prætuli tamen formam usitatam exhibere; Β. 462.

289. Βαλλομενων. Percussis: Ita Μ. 152, 161, 339; vulgò malè cum Τρωων jungitur; sed vide Β. 463, Α. 244. Potuit etiam, Βαλλοντων, vel, Βαλλομενων δε τε, scripsisse.

Ηλασεν, εντοσθεν δε βοειας ϝραψε θαμειας,
Χρυσειης ϝραβδοισι διηνεκεσιν περι κυκλον·
Την αρ ὁγε προσθε σχομενος, δυο δουρε τινασσων,
Βη ϝρ' ιμεν, ὡς τε λεων ορεσιτροφος, ὁς τ' επιδευης
Δηρον εῃ κρεατων, κελεται δε ϝε θυμος αγηνωρ,
Μηλων πειρησοντα, και ες πυκινον δομον ελθειν·
Ει περ γαρ χ' εὑρησι παρ' αυτοθι βωτορας ανδρας
Συν κυσι και δουρεσσι φυλασσοντας περι μηλα,
Ου ϝρα τ' απειρητος μεμονε σταθμοιο διεσθαι·
Αλλ' ὁγ' αρ η ἡρπαξε μεταλμενος, ηε και αυτος
Εβλητ' εν πρωτοισι θοης απο χειρος ακοντι·
Ὡς ϝρα τοτ' αντιθεον Σαρπηδονα θυμος ανηκε
Τειχος επαϊξαι, δια τε ϝρηξασθαι επαλξεις.
Αυτικα δε Γλαυκον προσεφη, παιδ' Ἱππολοχοιο·
Γλαυκε, τιη δη νωϊ τετιμημεσθα μαλιστα
Ἑδρῃ τε, κρεασιν τ', ηδε πλειοις δεπαεσσιν,
Εν Λυκιῃ; παντες δε, Θεους ὡς, εισορωσι,
Και τεμενος νεμομεσθα ϝμεγα Ξανθοιο παρ' οχθας,
Καλον, φυταλιης και αρουρης πυροφοροιο·
Τῳ νυν χρη Λυκιοισι μετα πρωτοισιν εοντας,
Ἑσταμεν, ηδε μαχης καυστειρης αντιβολησαι·
Ὁϝρα τις ὡς ϝειπῃ Λυκιων πυκα θωρηκταων,
Ου μαν ακλεεες Λυκιην κατακοιρανεουσιν

---

290. Ουδε κε πω. Ajax et Teucer avocantur, ut Sarpedoni adversentur; iis amotis, Hector portas perfringit.

293. λεονθ' ὡς βουσι ϝελιξιν. leonem ut bobus nigris: vide Ι. 462.

295. εξηλατον. fabrefactum: id est, metallo coorpertum, ut ipse explicat.

296. Ϝραψε. Consuit: Analogia digamma postulat, et vox κακοϝραφια adscisere indicat.

297. ϝραβδοισι. virgis: Forsitan fila aurea erant, quibus coria ligno assuebantur, et virgæ vocabantur, quia his in scutis vimineis plectendis utebantur. Vox digamma postulat, Ω. 343.

302. παρ' αυτοθι. ibi, juxta eum locum: Vulgò, παρ' αυτοφι· sed παρα in hoc sensu dativum postulat. Ita Ν. 42, Ψ. 640.

317. Ὀϝρα τις ὡς ϝειπῃ. Ut aliquis sic dicat: Ita Bentleius; Knightius, ὡδε ϝεπῃ· Heynius, ὡδ' ερεῃ· vulgò, ὡδ' ειπῃ.

318. ακλεεες. ingloriosi: ab ακλεης· Η. 100; vulgò, ακλειεις· forsitan, ακλεϝεες· vide Λ. 337.

Ἡμετεροι βασιληες, εδουσι τε πιονα μηλα,
Ϝοινον τ' εξαιτον, μελιϝηδεα· αλλ' αρα και ϝις
Εσθλη, επει Λυκιοισι μετα πρωτοισι μαχονται.
Ω πεπον, ει μεν γαρ πολεμον περι τονδε φυγοντες,
Αιει δη μελλοιμεν αγηραω αθανατω τε
Εσσεσθ', ουτε κεν αυτος ενι πρωτοισι μαχοιμην,
Ουτε κε σε στελλοιμι μαχην ες κυδιανειραν·
Νυν δ', εμπης γαρ κηρες εφεστᾶσιν θανατοιο
Μυριαι, ἁς ουκ εστι φυγειν βροτον, ουδ' ὑπαλυξαι,
Ιομεν· ηε τῳ ευχος ορεξομεν, ηε τις ἡμιν.
Ὡς εφατ'· ουδε Γλαυκος απετραπετ', ουδ' απιθησε.
Τω δ' ιθυς βητην Λυκιων ϝμεγα ϝεθνος αγοντε.
Τους δε ϝιδων ϝριγησεν ὑϊς Πετεοιο Μενεσθευς·
Του γαρ δη προς πυργον ισαν, κακοτητα φεροντες·
Παπτηνεν δ' ανα πυργον Αχαιων, ει τιν' ὁρῷτο
Ἡγεμονων, ὁς τε ϝρα ϝαρην ἑταϝροισιν αμυναι·
Ες δ' ενοησ' Αιαντε δυω πολεμου ακορητω
Ἑσταοτας, Τευκρον τε νεον κλισιηθεν ιοντα
Εγγυθεν· αλλ' ουπως ϝοι εεν βοοωντι γεγωνειν·
Τοσσος γαρ κτυπος ηεν, αϋτη δ' ουρανον ἱκε,
Βαλλομενων σακεων τε και ἱπποκομων τρυφαλειων,
Και τε πυλεων· πασας γαρ επῳχετο· τοι δε κατ' αυτας
Ἱσταμενοι πειρῶντο βιῃ ϝρηξαντες εσελθειν.
Αιψα δ' επ' Αιαντα προϊει κηρυκα Θοωτην·

322. Ω πεπον, ει μεν γαρ. "Quod si immortalitas consequeretur præsentis periculi fugam,—cùm verò dies et noctes omnia nos undique fata circumstent, non est viri dubitare spiritum, quem naturæ debeat, patriæ reddere." Cicer. Philipp. 10.

> Stat sua cuique dies, breve et irreparabile tempus
> Omnibus est vitæ; sed famam extendere factis,
> Hoc virtutis opus. Æn. x. 467.

323. αγηραω. non senescentes: Vulgò, αγηρω τ'· sed forma contracta nusquam in Iliade postulatur.

328. ηε τῳ ευχος. aut alicui gloriam: Ita MSS. et ita N. 327. Alii, ηε τῳ κυδος. Vide B. 225, Λ. 299.

> Aut spoliis ego jam raptis laudabor opimis
> Aut letho insigni. Æn. x. 449.

331. ϝριγησεν ὑϊς. diriguit filius: vide Λ. 489. Ernestius cum MS. uno, ῥιγησεν υἱος· vulgò, ῥιγησ' υἱος.

Ερχεο, διε Θοωτα, θεων Αιαντε καλεσσον,
Αμφοτερω μεν μαλλον· ὁ γαρ κ' οχ' αριστον ἁπαντων
Ειη, επει ταχα τηδε τετευξεται αιπυς ολεθρος·
Ὡδε γαρ εβρισαν Λυκιων αγοι, οἱ το παρος περ
Ζαχρηεις τελεθουσι κατα κρατερας ὑσμινας·
Ει δε σφιν και κειθι πονος και νεικος ορωρεν,
Αλλα περ οιος ιτω Τελαμωνιος αλκιμος Αιας,
Και ϝοι Τευκρος ἁμ' ἑσπεσθω, τοξων εϋ ϝειδως.
Ὡς εφατ'· ουδ' αρα ϝοι κηρυξ απιθησεν ακουσας,
Βη δε θεειν παρα τειχος Αχαιων χαλκοχιτωνων·
Στη δε παρ' Αιαντεσσι κιων, ειθαρ δε προσηυδα·
Αιαντ', Αργειων ἡγητορε χαλκοχιτωνων,
Ηνωγει Πετεοιο Διοτρεφεος φιλος υἱος
Κεισ' ιμεν, ὀϝρα πονοιο μινυνθα περ αντιασητον·
Αμφοτερω μεν μαλλον· ὁ γαρ κ' οχ' αριστον ἁπαντων
Ειη, επει ταχα κειθι τετευξεται αιπυς ολεθρος·
Ὡδε γαρ εβρισαν Λυκιων αγοι, οἱ το παρος περ
Ζαχρηεις τελεθουσι κατα κρατερας ὑσμινας·
Ει δε και ενθαδε περ πολεμος και νεικος ορωρεν,
Αλλα περ οιος ιτω Τελαμωνιος αλκιμος Αιας,
Και ϝοι Τευκρος ἁμ' ἑσπεσθω, τοξων εϋ ϝειδως.
Ὡς εφατ'· ουδ' απιθησε ϝμεγας Τελαμωνιος Αιας.
Αυτικ' Οϊλιαδην ϝεπεα πτεροεντα προσηυδα·
Αιαν, σφωϊ μεν αυθι, συ και κρατερος Λυκομηδης,

---

333. ει τιν' ὁρῴτο. si quem videret: Ita Heynius; vulgò, ει τιν' ιδοιτο· Bentleius, ει κε ϝιδοιτο.

334. ὁς τε ϝρα ϝαρην ἑταϝροισιν αμυναι. qui sanè damnum a sociis depelleret: Vulgò, ὁστις οἱ αρην. Ϝαρη in uno loco digamma postulat, Π. 512, in quatuor admittit; Hesychius, Αρην, βλαβην, habet, et hinc ϝαραιος, et ϝεϝαρημενος.

337. βοοωντι γεγωνειν. clamanti vocare: Vulgò, βωσαντι· sed βοησαντι ita contrahi nequit; Knightius, βοαοντι· vide Κ. 463. γεγωνειν est clamare ita ut vox attingat.

340. πασας γαρ επῳχετο. omnes enim incessit: id est, κτυπος. Ita editiones et codices meliores; alii, πασας γαρ επῳχατο, id est, Trojani; alii perperam, πασαι γαρ επῳχατο, et ab εποιγω, occludo, deducunt; sed neque tale est verbum, neque esse potest. Vulgò, Και πυλεων· vide Η. 1.

350. Και ϝοι. Knightius versum damnat, ut et 363, 373, et 374.

365. Οϊλιαδην. Oilei filium: Knightius, ϝιλϝεϝιδην· nomen enim patris ϝιλϝεϝς fuisse censet; sed repugnat inter alia Λ. 93. Vera nomina Οϊκλεης,

Ἑσταοτες Δαναους οτρυνετε ϝιφι μαχεσθαι·
Αυταρ εγω κεισ' ειμι, και αντιοω πολεμοιο·
Αιψα δ' ελευσομαι αυτις, επει κ' ευ τοις επαμυνω.
Ὡς αρα φωνησας απεβη Τελαμωνιος Αιας,
Και ϝοι Τευκρος ἁμ' ηε κασιγνητος και οπατρος,
Τοις δ' ἁμα Πανδιων Τευκρου φερε καμπυλα τοξα,
Ευτε Μενεσθηος ϝμεγαθυμου πυργον ἱκοντο,
Τειχεος εντος ιοντες, επειγομενοισι δ' ἱκοντο.
Οἱ δ' επ' επαλξεις βαινον, ερεμνῃ λαιλαπι ϝισοι,
Ιφθιμοι Λυκιων ἡγητορες ηδε μεδοντες·
Συν δ' εβαλοντο μαχεσθαι εναντιον, ωρτο δ' αϋτη.
Αιας δε πρωτος Τελαμωνιος ανδρα κατεκτα
Σαρπηδοντος ἑταϝρον, Επικλεεα ϝμεγαθυμον,
Μαρμαρῳ οκριοεντι βαλων, ὁ ϝρα τειχεος εντος
Κειτο ϝμεγας παρ' επαλξιν ὑπερτατος· ουδε κε ϝρεια
Χειρι ϝε τῃ ἑτερῃ φεροι ανηρ, ουδε μαλ' ἡβων,
Οἱοι νυν βροτοι εισ'· ὁ δε ϝ' ὑψοθεν εμβαλ' αειρας·
Θλασσε δε τετραφαλον κυνεην, συν δ' οστε' αραξε
Παντ' αμυδις κεφαλης· ὁ δε ϝαρνευτηρι ϝεϝοικως,
Καππεσ' αφ' ὑψηλου πυργου, λιπε δ' οστεα θυμος.
Τευκρος δε Γλαυκον, κρατερον παιδ' Ἱππολοχοιο,
Ιῳ, επεϝσυμενον βαλε τειχεος ὑψηλοιο,
Ἡι ϝιδε γυμνωθεντα βραχιονα· παυσε δε χαρμης.
Αψ δ' απο τειχεος αλτο λαθων, ἱνα μη τις Αχαιων
Βλημενον αθρησειε, και ευχετοῳτο ϝεπεσσι·
Σαρπηδοντι δ' αχος γενετο, Γλαυκου απιοντος,
Αυτικ' επει τ' ενοησεν· ὁμως δ' ου ληθετο χαρμης·

---

et Οἴκλος fuisse suspicor, quorum a posteriore Οἰκλιαδης. Ita, Πατροκλεης et Πατροκλος. Οἴκλεης occurrit, Od. ο. 243.

367. οτρυνετε ϝιφι μαχεσθαι. incitate fortiter pugnare: Vulgò, οτρυνετον.

369. επει κ' ευ τοις επαμυνω. postquam bene his opitulatus fuero: Vulgò, επην.

381. ουδε κε ϝρεια. neque tum facilè: Vulgò, ουδε κε μιν ϝρεα· sed ϝρεα ita contrahi nequit, et pronomen in versu sequenti quærendum.

382. Χειρι ϝε τῃ ἑτερῃ. Manu eum alterâ portaret vir: Ajax verò longè jacit. Aristarchus, cùm hoc non satis mirabile censeret, teste Eustathio,

Αλλ᾽ ὁγε Θεστοριδην Αλκμαονα δουρι τυχησας
Νυξ᾽, εκ δ᾽ εσπασεν εγχος· ὁ δ᾽ ἑσπομενος πεσε δουρι
Πρηνης, αμφι δε ϝοι βραχε τευχεα ποικιλα χαλκῳ.
Σαρπηδων δ᾽ αρ επαλξιν εϝλων χερσι στιβαρῃσιν,
Ἑλχ᾽, ἡ δ᾽ ἑσπετο πασα διαμπερες· αυταρ ὑπερθεν
Τειχος εγυμνωθη, πολεεσσι δε θηκε κελευθον.
Τον δ᾽ Αιας και Τευκρος ὁμαρτησανθ᾽, ὁ μεν ιῳ
Βεβληκει τελαμωνα περι στηθεσσι φαεινον
Ασπιδος αμφιβροτης· αλλα Ζευς κηρας αμυνε
Παιδος ϝεου, μη νηυσιν επι πρυμνῃσι δαμειη·
Αιας δ᾽ ασπιδα νυξεν επαλμενος· ἡ δε διαπρο
Ηλυθεν εγχειη, στυφελιξε δε μιν μεμαωτα·
Χωρησεν δ᾽ αρα τυτθον επαλξιος, ουδ᾽ ὁγε παμπαν
Χαζετ᾽, επει ϝοι θυμος εϝελπετο κυδος αρεσθαι.
Κεκλετο δ᾽ αντιθεοισι ϝελιξαμενος Λυκιοισιν·
  Ω Λυκιοι, τι δ᾽ αρ ὡδε μεθιετε θουριδος αλκης;
Αργαλεον δε μοι εστι, και ιφθιμῳ περ εοντι,
Μουνῳ ϝρηξαμενῳ, θεσθαι παρα νηυσι κελευθον·
Αλλ᾽ εφομαρτειτε· πλεονων δε τε ϝεργον αμεινον.
  Ὡς εφαθ᾽· οἱ δε ϝανακτος ὑποδδεισαντες ὁμοκλην,
Μαλλον επεβρισαν βουληφορον αμφι ϝανακτα.
Αργειοι δ᾽ ἑτερωθεν εκαρτυναντο φαλαγγας
Τειχεος εντοσθεν, ϝμεγα δε σφισι φαινετο ϝεργον.
Ουτε γαρ ιφθιμοι Λυκιοι Δαναων εδυναντο
Τειχος ϝρηξαμενοι θεσθαι παρα νηυσι κελευθον·
Ουτε ποτ᾽ αιχμηται Δαναοι Λυκιους εδυναντο
Τειχεος αψ ωσασθαι, επει τα πρωτα πελασθεν.

Χειρεσσ᾽ αμφοτεραις, emendavit. Antiqua lectio, Χειρι γε τῃ ἑτερῃ, erat; ϝε pro γε substitui, ut et in versu sequenti pro αρ.

385. ὁ δε ϝαρνευτηρι ϝεϝοικως. is vero urinatori similis: Ita dictus, quia capite demisso ϝαρνων, agnorum, saltum imitetur. Vulgò, ὁ δ᾽ αρ αρνευτηρι.

401. περι στηθεσσι. circum pectora: vulgò, στεθεσφι· sed περι in hoc sensu dativum postulat.

412. πλεονων δε τε ϝεργον αμεινον. plurium verò opus melius: Ita Bentleius; Knightius, πλευνων δη. Vulgò, δε τοι.

Αλλ' ὡς τ' αμφ' ουροισι δυ' ανερε δηριαασθον,
Μετρ' εν χερσιν εχοντες, επιξυνῳ εν αρουρῃ,
Ὡ τ' ολιγῳ ενι χωρῳ εριζητον περι ϝισης·
Ὡς αρα τους διεεργον επαλξιες· οἱ δ' ὑπερ αυτεων
Δαιουν αλληλων αμφι στηθεσσι βοειας
Ασπιδας ευκυκλους, λαισηϊα τε πτεροεντα.
Πολλοι δ' ουταζοντο κατα χροα νηλεϊ χαλκῳ,
Ημεν τῳ στρεφθεντι μεταφρενα γυμνωθειη
Μαρναμενων, πολλοι δε διαμπερες ασπιδος αυτης.
Παντη δη πυργοι και επαλξιες αἱματι φωτων
Ϝεϝραδατ' αμφοτερωθεν απο Τρωων και Αχαιων.
Αλλ' ουδ' ὡς εδυναντο φοβον ποιησαι Αχαιων·
Αλλ' εχον, ὡς τε ταλαντα γυνη χερνητις αληθης,
Ἡ τε σταθμον εχουσα και ειριον, αμφις ανελκει
Ϝισαζουσ', ἱνα παισιν αϝεικεα μισθον αρηται.
Ὡς μεν των επι ϝισα μαχη τετατο πτολεμος τε·
Πριν γ' ὁτε δη Ζευς κυδος ὑπερτερον Ἑκτορι δωκε
Πριαμιδῃ, ὁς πρωτος εσηλατο τειχος Αχαιων·
Ηϋσεν δε διαπρυσιον Τρωεσσι γεγωνως·
Ορνυσθ', ἱπποδαμοι Τρωες, ϝρηγνυσθε δε τειχος
Αργειων, και νηυσιν ενιετε θεσπιδαες πυρ.
Ὡς φατ' εποτρυνων· οἱ δ' ουασι παντες ακουον,
Ιθυσαν δ' επι τειχος αολλεες· οἱ μεν επειτα

---

428. Ημεν τῳ στρεφθεντι. Certè quidem cui verso: Vulgò, ὁτῳ, vel, ὁτεῳ, sed hæ voces non sunt Homericæ. Knightius duos versus damnat, ut et 424.

431. Ϝεϝραδατο. Aspergebantur: a ϝραινω, Λ. 282; vulgò, Ερραδατο.

433. γυνη χερνητις. mulier quæ manibus net:

Cui tolerare colo vitam, tenuique Minervâ,
Impositum cinerem, et sopitos excitat ignes,
Noctem addens operi, castum ut servare cubile
Conjugis, et possit parvos educere natos. Æn. viii. 408.

Primùm hæc pudicè vitam parcè ac duriter
Agebat, lanâ ac telâ victum quæritans. Terent. Andr. 1.1.

438. εσηλατο. saltavit ad: aoristus primus ab εσαλλομαι. Ita ἁλσται, Φ. 536; potuit etiam, Αχαιων τειχος εσαλτο, scripsisse, Μ. 466.

Κροσσαων επεβαινον, ακαχμενα δουρατ᾿ εχοντες.
῾Εκτωρ δ᾿ ἁρπαξας λααν φερεν, ὁς ϝρα πυλαων
῾Εστηκει προσθεν, πρυμνος, παχυς, αυταρ ὑπερθεν
Οξυς εεν· τον δ᾿ ου κε δυ᾿ ανερε δημου αριστω
Ϝρηϊδιως επ᾿ αμαξαν απ᾿ ουδεος οχλισσειαν,
Οἱοι νυν βροτοι εισ᾿· ὁ δε μιν ϝρεα παλλε και οιος·
Τον ϝοι ελαφρον εθηκε Κρονου παϊς αγκυλομητεω.
῾Ως δ᾿ ὁτε ποιμην ϝρεια φερει ποκον αρσενος οιος,
Χειρι ϝλαβων ἑτερῃ, ολιγον δε μιν αχθος επειγει·
῾Ως ῾Εκτωρ ιθυς σανιδων φερε λααν αειρας,
Αἱ ϝρα πυλας εϝρυντο πυκα στιβαρως αραρυιας,
Δικλιδας, ὑψηλας· δοιοι δ᾿ εντοσθεν οχηες
Ειχον επημοιβοι, μια δε κληϊς επαρηρει.
Στη δε μαλ᾿ εγγυς ιων, και ερεισαμενος βαλε μεσσας,
Ευ διαβας, ἱνα μη ϝοι αφαυροτερον βελος ειη·
Ϝρηξε δ᾿ απ᾿ αμφοτερους θαιρους· λαας δε πεσ᾿ εισω
Βριθοσυνῃ, ϝμεγα δ᾿ αμφι πυλαι μυκον· ουδ᾿ αρ οχηες
Εσχεθετην, σανιδες δε διετμαγεν αλλυδις αλλη
Λαος ὑπο ϝριπης· ὁ δ᾿ αρ εσθορε φαιδιμος ῾Εκτωρ,
Νυκτι θοῃ αταλαντος ὑπωπια· λαμπε δε χαλκῳ
Σμερδαλεῳ, τον εϝεστο περι χροϊ· δοια δε χερσι
Δουρ᾿ εχεν· ου κεν τις μιν εϝρυκακοι αντιβολησας,
Νοσφι Θεων, ὁτ᾿ εσαλτο πυλας· πυρι δ᾿ οσσε δεδηει·

---

444. κροσσαι. pinnæ: id est, murorum fastigia; ita προκροσσαι, Ξ. 35; malè Scholiastes, scalæ, interpretatur.

449. ὁ δε μιν ϝρεα. is verò eum faciliter: Forsitan, ὁ δε ϝρεια ϝε· ϝρεια enim forma est usitatior.

450. Τον ϝοι ελαφρον εθηκε. Hunc ei levem fecit: Nunquam omnia ad Deum referre omittit; malè igitur Knightius versum damnat.

458. Ευ διαβας. Cruribus bene dispositis: Knightius versum damnat.

459. λαας δε πεσ᾿ εισω. Lapis verò cecidit intus: λαας vocatur, Μ. 445, 462. Vulgò, πεσε δε λιθος εισω, quod aut in metrum peccat, aut digamma indicat; ob unum tamen locum inferre nolo. Vide Ο. 478, Ρ. 17, Β. 196.

462. ὁ δ᾿ αρ εσθορε. ille verò sanè ad eas saliit; id est, ad portas; sic εσαλτο πυλας, Μ. 466.

464. εϝεστο. indutus erat: plusquam perfectum a ϝεω, Γ. 57.

Κεκλετο δε Τρωεσσι, ϝελιξαμενος καθ' ὁμιλον,
Τειχος ὑπερβαινειν· τοι δ' οτρυνοντι πιθοντο·
Αυτικα δ' οἱ μεν τειχος ὑπερβασαν, οἱ δε κατ' αυτας
Ποιητας εσεχυντο πυλας· Δαναοι δ' εφοβηθεν
Νηας ανα γλαφυρας· ὁμαδος δ' αλιαστος ετυχθη.

VOL. PRIM. FIN.

C. WHITTINGHAM EXCUDIT.

